Напечатано по распоряженію Императорской Академіи Наукъ.
Іюль 1911 года. Непремѣнный Секретарь, Академикъ *С. Ольденбургъ.*

LOAN STACK

Типографія Императорской Академіи Наукъ. В. О., 9 л., № 12.

BX375 M-P2 1911 v.1

Praefatio.

Postquam anno 1906, dum fontibus historiae Chersonesi Tauricae cxaminandis studeo, vitas sanctorum episcoporum Chersonensium e codice Mosquensi bibl. Synod. 376 Vlad. post S. Seraphimovium edidi diligentissima Petri B. f. Nikitini collatione adiutus (v. infra in indice vitarum ex hoc codice editarum), huius textus aetatem accuratius definiendam esse in animum induxi. Quam ob causam cum alias vitas ex eodem codice editas examinare coepissem, vidi eas cum sermone dispositioneque, tum epilogis adeo inter se similes esse, ut eiusdem esse auctoris omnes mihi persuaserim[1]). Cum vero in vitam S. Pauli *ἐν τοῖς Καϊουμᾶ* ab *'Α. Παπαδοπούλῳ-Κεραμεῖ* e codice Hierosolymitano S. Sep. № 17[2]) publici iuris factam[3]) incidissem eandemque illam similitudinem deprehendissem[4]), vidi quam maxime mea interesse, ut omnes utriusque codicis vitae, quarum maxima pars inedita adhuc latet, praesto mihi essent examinandae.

Itaque mense Martio a. 1909 Mosquam profectus sum maioremque partem codicis 376 in bibliotheca Synodali ipse exscripsi et vitas ex eodem codice antea editas qua par erat diligentia contuli, nonnullarum vero vitarum, quarum apographa propter temporis angustias facere ipse non potui, imagines photographica quae dicitur arte per Nicolaum

1) Hoc iam ante nos A. Ehrhard animadvertit. Vide eius «Forschungen zur Hagiographie der griechischen Kirche vornehmlich auf Grund der hagiograph. Handschriften von Mailand, München und Moskau» (*Römische Quartalschrift für christl. Alterthumskunde und für Kirchengeschichte*, 11 Jahrg. 1897), pp. 121, 132, 138. Cf. eiusdem adnotationes in *Byzant. Zeitschrift*, v. 19 (1910), pp. 538—543.

2) Codex ab eodem auctore descriptus est in *'Ιεροσολυμιτικὴ Βιβλιοθήκη*, v. I *(ἐν Πετρουπ. 1891)*, pp. 69—71.

3) *'Ανάλεκτα 'Ιεροσολυμιτικῆς σταχυολογίας*, v. IV *(ἐν Πετρουπ. 1897)*. pp. 247—251.

4) De hac similitudine commentatione peculiari egi, inserta operi periodico cuius titulus est *«Извѣстія Отдѣленія русскаго яз. и слов. Имп. Академіи Наукъ»*, v. 13 (1908), fasc. 3, pp. 1—17.

895

P. f. Popovium v. cl. bibliothecae custodem exprimendas curavi (scilicet foliorum 136^r—163^r, 173^r—189^r, 210^r—242^r), ex quibus eiusdem anni auctumno ipse domi textum descripsi. Totius autem codicis Hierosolymitani apographum eodem anno 1909 Ath. Papadopulus-Kerameus qua solet esse erga nos benignitate nobis praestitit, partim a Cleopa Coecylide patriarchae Hierosolymitani archidiacono, partim ab aliis amicis eius et discipulis Hierosolymis degentibus confectum sumptibus classis historicae et philologicae Academiae scientiarum Petropolitanae.

Itaque cum utriusque codicis apographa iam in manibus haberem, quorum Mosquensi menologium mensium Februarii et Martii contineri constat, Hierosolymitano vero Iunii Iuliique et Augusti, vitas perlegens mihi persuasi uni eidemque auctori facile omnes posse adscribi dignasque esse, quae in lucem ederentur, eo magis, quod his annis novissimis multi iam viri docti explicandis eis operam suam conferunt. Adii igitur socios classis historicae et philologicae Academiae scientiarum Petropolitanae, ut edendorum codicum sumptus classis in se susciperet, quod a collegis ornatissimis summa benignitate mihi concessum est.

Totum opus in tres distribuere partes placuit, quarum prima, hoc nempe fasciculo, quem iam in lucem emitto, Februarii et Martii menologium e codice Mosq. 376 typis excussi, alter fasciculus, qui prelo iam traditus est, menologium Iunii Iuliique et Augusti continebit e codice Hierosolym. 17 depromptum, tertia denique parte, quam patrio sermone sum conscripturus, ab uno auctore totum hoc menologium compositum esse, cuius quinque menses aetatem tulerunt, demonstrandum mihi proposui aetatemque, qua auctor vixerit, indagandam et fontes, quibus in opere componendo sit usus, pro parte virili perquirendos.

Utrumque codicem singulas vitas singulis mensium diebus adscriptas continere constat. Diebus festis pro vitis leguntur sermones (exempli causa *Λόγος εἰς τὴν ὑπαπαντὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ* d. 2 m. Februarii, *λόγος εἰς τὸν Εὐαγγελισμὸν τῆς Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας* d. 25 m. Martii etc.). Vitas et orationes, quae codice Mosquensi continentur, anonymus in codicis descriptione praemissa collectioni codicis imaginum[1]) et Vladimirus archiman-

1) Фотографическіе снимки съ миніатюръ греческихъ рукописей, наход. въ Москвѣ. Изданіе Московскаго Публичнаго музеума. Вып. 2-й. — Copies photographiées des miniatures des manuscrits Grecs conservés à Moscou. Publié par le musée de Moscou. Deuxième livraison. Moscou 1863. Fol. Pag. 5—6.

drita in descriptione sua enumeraverunt [1]), codicem ipsum post eundem anonymum Petrus B. f. Nikitin in editione passionis martyrum Amorensium qua solet esse *ἀκριβείᾳ* descripsit (v. infra in indice vitarum ex hoc codice editarum). Sed cum observationes eius ad huius passionis solius textum maxime pertineant, hoc quoque loco de codice copiosius agendum videtur.

Codex Mosquensis bibl. synod. 183/CLXXXIV (376 Vlad.), olim monasterii Constamoneti in monte Atho [2]), Mosquam ab Arsenio Suchanov, ut videtur, medio saeculo XVII asportatus [3]), membranaceus est, formae oblongae (0,316 m. × 0,244), saeculo XI binis columnis una eademque manu ab initio usque ad finem accurate exaratus [4]). Singulae columnae pleraeque sunt versuum 29. Habet codex, ut nunc est, folia 269, quorum 11 scriptura vacant (v. infra). Nonnulla folia perierunt antequam numeris notata sunt. Nempe inter folia 18 et 19 duo, ut videtur, folia desunt, quae alteram partem passionis martyrum MIII (d. 6 m. Februarii) continebant et initium vitae S. Parthenii (d. 7 Febr.), inter folia 184 et 185 unum periit, cui initium vitae S. Codrati sociorumque eius erat inscriptum (d. 10 m. Martii); quam iacturam iam is animadvertit, qui codicis folia numerorum distinxerat notis (v. quae p. 216 adnotavimus). Folium quod f. 244 proxime subsequebatur (in vita Ss. Phileti et Lydiae, d. 27 m. Martii), in religando codice suo loco motum folio 257 postpositum est et numero 258 signatum. Post f. 251 aliquot folia perierunt maximam vitae Ss. Marci et Cyrilli partem continentia (decem folia deesse putat is qui folia numeris notavit; v. notam eius p. 293 a nobis exscriptam), pro quibus

---

1) Систематическое описаніе рукописей Московской Синодальной (Патріаршей) библіотеки. Составилъ Архим. Владиміръ. Часть I. Рукописи греческія. Москва 1894, стр. 561—566.

2) Cf. notam f. 269^v manu recentiore (saeculi fere XVI) scriptam: «*Αὕτη ἡ βίβλος ἔχουσα μαρτύρια τῶν ἁγίων δύο μηνῶν Φεβρουαρίου καὶ Μαρτίου ὑπάρχει τῆς μονῆς τοῦ ἁγίου πρωτομάρτυρος καὶ Ἀρχιδιακόνου Στεφάνου, ἡ ἐπονομαζομένη τοῦ Κωνσταμονήτου*». (Ita legitur in Vladimiri archim. descriptione, plenius in editione imaginum supra commemorata (v. p. II, n. 1), p. 4). Primo et ultimo codicis foliis sigilla monasterii Constamoneti impressa sunt.

3) Cf. С. А. Бѣлокуровъ. Арсеній Сухановъ. Ч. I (М. 1891), p. 403 et 404.

4) Foliorum 3^r, 158^r, 179^r imagines naturali magnitudine factae exstant in collectione imaginum quam supra (p. II, n. 1) laudavimus. Folii 200^r imaginem item naturali magnitudine dedit А. Гезенъ, Исторія славянскаго перевода символовъ вѣры. Критико-палеограф. замѣтки (Спб. 1884), tab. III. Nos folii 239^r imaginem in dimidiam fere partem verae magnitudinis reductam phototypica quae dicitur arte huic libello adponendam curavimus.

novem folia (252—257 et 259—262) chartacea scriptura vacantia inserta sunt et folium 258 suo loco, ut modo diximus, motum.

Folio 1 continetur *πίναξ* mensis Martii eadem aetate scriptus, qua codex ipse, f. 2 *πίναξ* mensis Februarii recentiore manu additus, a f. 3 incipit passio S. Tryphonis (d. 1 m. Februarii).

Itaque e 59 vitis et orationibus mutilae sunt quattuor, reliquae integrae.

Singulis vitis et sermonibus praemissae erant imagines vel sanctorum, quorum sequuntur vitae, vel dierum festorum, auro et coloribus scite admodum et eleganter depictae *(miniatures)*; quarum satis multae adhuc bene sunt conservatae, aliae temporis iniuria plus minusve laesae [1]). Supersunt imagines 57, desunt duae, scilicet Ss. Parthenii (7 Febr.) et Codrati sociorumque eius (10 Mart.), quoniam perierunt, ut supra monuimus, folia his imaginibus ornata.

Eis paginis, quibus singulae vitae incipiunt, dierum notae rubro inscriptae sunt (*μηνὶ Φεβρουαρίῳ α'*, *μηνὶ τῶι αὐτῶι β'*, *γ'*, *δ'* etc.) et quidem semper in summo margine ad sinistram. In infimo margine primae paginae unius cuiusque vitae manu recentiore (eius, ut videtur, viri, qui codicis folia numeris signaverat) notis Graecis et Arabicis adscriptum est, quot foliis vita contineatur (exempli causa f. 3^r: $\overset{\lambda\lambda'}{\varphi\upsilon}$: ε. 5; f. 136^r: $\overset{\lambda\lambda'}{\varphi\upsilon}$: ς. 6; f. 142^r: $\overset{\lambda\lambda'}{\varphi\upsilon}$: ζ. 7; f. 200^r: $\overset{\lambda\lambda'}{\varphi\upsilon}$: β. 2).

Singularum vitarum tituli rubrica scripti sunt litteris paulo maioribus, quam textus. Item primae vitarum litterae rubricatae, interdum etiam auro inductae sunt. Vitarum capitula sive potius paragraphos scriba grandibus litteris distinxit item rubrica scriptis et versui incipienti adpositis. Si paragraphus medio versu incipit, littera rubricata initio versus proxime insequentis adponitur, et hic quidem saepe in media voce. Has litteras rubrica scriptas in apparatu critico enotavimus. In vitarum epilogis ubique fere binae voces litteris rubricatis distinguuntur (et hic quidem non semper versu incipiente, sed interdum etiam medio), quarum prior a M littera incipit (ut *Μῆκος*, *Μή-*

---

1) Harum picturarum imagines descriptae et photographica arte expressae editae sunt in collectione rarissima, cuius titulum supra dedimus (v. p. II, n. 1). Imaginem S. Gregorii papae (f. 200^r) coloribus pictam praebet A. Heesen l. l. supra (p. III, n. 4), tab. IV. Breviter imagines descripsit Н. П. Кондаковъ, Исторія Византійскаго искусства и иконописи въ миніатюрахъ греч. рукописей (Od. 1876), p. 211 (=N. Kondakoff, Histoire de l'art Byzantin, trad. par M. Trawinski, t. 2, Paris. 1891, p. 109).

κιστον, Μέγιστον et sim., vide si placet in singulis vitis), altera a *Π* littera (saepissime quidem in *πᾶς* pronominis formis).

Scripturae compendia in fine versuum saepius obveniunt, notissimis modis designata, in mediis versibus non nisi raro in vocibus usitatissimis, ut *ἄν(θρωπ)ος*, *θ(εό)ς*, *θ(εοτό)κος*, *κ(ύριο)ς*, *Ἰ(ησοῦ)ς* *Χ(ριστό)ς*, *ἰ(σρα)ήλ*, *π(ατ)ήρ*, *πν(εῦμ)α* et sim. Itacismi qui dicitur exempla item perraro occurrentia in apparatu critico a nobis enotata sunt. Animadvertendum est in formis 2 p. sing. conj. aor. pass. pro *ῇ* constanter fere scribi *εἰ*, ut formae similes fiant nominativo sing. masc. g. participiorum aor. pass. (*ἀναχθεὶς* pro *ἀναχθῇς*, *βουληθεὶς* pro *βουληθῇς*, *μνησθεὶς* pro *μνησθῇς* et sim.), in formis vero ind. aor. pass. verbi quod est *ἀγγέλλω* et compositorum item ubique fere *Λ* litteram duplicari (*ἀπηγγέλλη*, *ἀνηγγέλλη* et sim.). Similiter pro *μέλει*, *ἔμελε* scribitur *μέλλει*, *ἔμελλε*. Imperfecta et aoristi verborum interdum sine augmento quod dicitur temporali scribuntur, veluti *ἐξομολογεῖτο* p. 6,6; *δρῶντο* 25,6; *δρμᾶτο* 42,13; *κατόρθωσε* 58,6; *ὁλοκάρπωσαν* 125,20; *ὀνείδιζε* 167,1; *διορίσατο* 174,22; *ἐφόρμων* 183,5; *προσομίλησας* 266,7. Praepositiones disyllabae persaepe cum vocibus proxime subsequentibus in unam vocem coalescunt, ut *διατί*, *διατοῦτο*, *διαπαντός*, *καταλεπτόν*, *καταπολύ*, *κατεξαίρετον*, *κατουδέν* s. *κατουδένα*, *παρελπίδα* et sim.

Ἰῶτα quod dicitur mutum nunquam dativis et verborum formis subscribitur, sed aut omittitur aut adscribitur, hoc quidem maxime in articuli et pronominum dativis, ut *τῶι*, *τῆι*, *αὐτῶι*, *τούτωι*, saepe etiam *θ(ε)ῶι*; verborum quoque formae in *ω* exeuntes occurrunt *ἰῶτα* muto temere adscripto praeditae, ut *γενέσθωι*, *ἔγνωι*, *γινώσκωι*, *θύωι* et sim. Verborum formas cum iota muto scriptas in apparatu critico enotavi, reliquas vero, quibus *ἰῶτα* mutum additum sit aut non sit, enotare supersedi.

Spiritus et accentus signa haud raro priori diphthongi litterae superponuntur, velut *ἔιπον*, *ὅυτοι*, *αὐτὸις* et sim., interdum etiam accentus signa consonae proxime praecedenti superponuntur (*δυναστ'ειαν*, *ὀλ'εθριος* et sim.). *Μὲν* et *δὲ* particulae articulum *ὁ* substantivi sensu positum proxime subsequentes semper fere duplicem habent accentum (*ὁ μὲν*, *ὁ δὲ* et sim.). Accentus in encliticis non ita positos, ut nunc ponere solemus, in apparatu critico enotavimus, non tamen, ut nunc quidem videmus, qua par erat diligentia. Substantiva et adjectiva gen. fem. primae decl. in *-αια* et *-εια* exeuntia saepe *προπερισπῶνται*, velut *Ἰουδαῖα*, *ῥομφαῖα*, *τελευταῖα*, *Δαρεῖα*, *θεῖα*, *τελεῖα* et sim. (cf. etiam *οἷα* p. 19,20; *ἀνδρῶαν* 139,9; *ποῖα* 208,24); contra ea adiectiva gen. fem., quorum masculina tertiae sunt declinationis, saepius *παροξύ-*

τονα sunt, velut *βραχεία, γλυκεία, ταχεία*. Vocativus substantivi *γυνή* constanter fere *προπερισπᾶται (γῦναι)*, item 3 p. sing. imperfecti activi verbi *ἐρωτᾶν* et compositorum *(ἠρῶτα, διηρῶτα, ἐπηρῶτα)*. *Μηδὲ* saepe duplicem habet accentum *(μὴδὲ)*, *μηδεμία* triplicem *(μὴδὲμία)*. Pro *τῷ τοι* (=*ἔνθεν τοι*, itaque) constanter scribitur *τῶτοι*. Haec de codicis scripturis praemonenda esse duxi.

E vitis sanctorum, quae codice nostro continentur, editae sunt hucusque, quantum scimus, hae:

1. *Μαρτύριον τοῦ ἁγίου ἱερομάρτυρος Ἀβραμίου τοῦ Πέρσου* (3 Febr.). Ed. H. Delehaye, Les versions grecques des actes des martyrs Persans sous Sapor II (R. Graffin—F. Nau, Patrologia orientalis. T. II, fasc. 4. Paris. 1905), p. 452.

2. *Μαρτύριον τῶν ἁγίων Παπία, Διοδώρου καὶ Κλαυδιανοῦ* (4 Febr.). Ed. Pio Franchi de' Cavalieri, Note agiografiche, fasc. 3. *Studi e testi*, v. 22 (Roma 1909), app. III, pag. 118—119[1]).

3. *Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Μαρτινιανοῦ* (13 Febr.). Ed. *Ἀ. Παπαδόπουλος-Κεραμεύς*, *Православный Палестинскій Сборникъ*, fasc. 57 (Petrop. 1907), pag. 103—114, № VI, cum nostra versione Rossica (ibid. p. 2, pag. 117—130).

4. *Βίος καὶ πολιτεία καὶ μερικὴ θαυμάτων διήγησις τοῦ ὁσίου πατρὸς ἡμῶν Αὐξεντίου* (14 Febr.). *E* codice bibl. Marcianae cl. VII n° 25 saec. XI edidit L. Clugnet, *Revue de l' Orient chrétien*, v. 8 (1903), pp. 3—14[2]).

5. *Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀγαπητοῦ ἐπισκόπου Συναοῦ*. (18 Febr.). Ed. *Ἀ. Παπαδόπουλος-Κεραμεύς*, Varia graeca sacra. *Записки ист.-филол. факультета Имп. С.-Петербургскаго университета*, ч. XCV (Petrop. 1909), pp. 114—129.

6. *Βίος καὶ μαρτύριον τοῦ ἁγίου Πολυκάρπου ἐπισκόπου Σμύρνης* (23 Febr.). Ed. *Ἀ. Παπαδόπουλος-Κεραμεύς*, *Ἀνακοινώσεις ἐξ ἱστορίας τῆς Σμυρναϊκῆς ἐκκλησίας. Ἐν Πετρουπόλει*[3]). 1894, p. 6—9.

---

1) Hic liber praesto mihi nondum erat, cum vitae Ss. Papiae et Nestoris (v. infra n. 7) typis excuderentur. Ideo lectiones variantes editionis Cavalerianae in addendis et corrigendis enotavi (v. pag. 358).

2) Hic quoque liber praesto mihi non erat. Lectiones variantes v. in addendis et corrigendis.

3) Revera hunc libellum non Petropoli, sed Smyrnae prodiisse nobis dixit auctor, qui summa comitate exemplum libelli rarissimi nobis dono dedit.

7. *Βίος καὶ πολιτεία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Πορφυρίου ἐπισκόπου Γάζης* (26 Febr.). In appendice Marci Diaconi vitae Porphyrii episcopi Gazensis ediderunt societatis philologae Bonnensis sodales (Lips. ap. Teubnerum, 1895), pp. 94—109, apographo usi Christiani Boehm.

8. *Μαρτύριον τοῦ ἁγίου ἱερομάρτυρος Νέστορος ἐπισκόπου Πέργης τῆς Παμφυλίας* (27 Febr.). Ed. Pio Franchi de' Cavalieri, l. l. supra ad n. 2, app. II, p. 115—117.

9. *Μαρτύριον τῶν ἁγίων τεσσαράκοντα καὶ δύο μαρτύρων* (6 Mart.). Ed. П. В. Никитинъ, Сказанія о 42 Аморійскихъ мученикахъ и церковная служба имъ. *Записки Имп. Академіи Наукъ по ист.-филол. Отд.*, т. VII, № 2 (Petrop. 1905), p. 1—7, textus *A*. Codicis descriptionem v. pag. 114.

10. *Μαρτύριον τῶν ἁγίων ἱερομαρτύρων καὶ ἐπισκόπων Χερσῶνος Βασιλέως, Καπίτωνος καὶ τῶν σὺν αὐτοῖς* (7 Mart.). Edd. прот. С. Серафимовъ, *Зап. Имп. Одесскаю Общества ист. и древн.*, v. VII (1868), p. 120—131, ad apographum C. Nevostruievi; В. В. Латышевъ, Житія св. епископовъ Херсонскихъ. *Записки Имп. Академіи Наукъ по ист.-филол. Отд.*, т. VIII, № 3 (Petrop. 1906), pp. 58—62. Nobis textum a Seraphimovio editum cum codice contulit P. Nikitin.

11. *Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοφάνους τοῦ ὁμολογητοῦ* (12 Mart.). Ed. C. Krumbacher, Eine neue Vita des Theophanes Confessor. *Sitzungsberichte d. philosoph.-philolog. u. d. hist. Classe der k. b. Akademie der Wissenschaften zu München* 1897, Heft 3, p. 389—399.

12. *Μαρτύριον τοῦ ἁγίου ἱερομάρτυρος Πιονίου καὶ τῆς συνοδίας αὐτοῦ* (15 Mart.). Ed. *Ἀ. Παπαδόπουλος-Κεραμεύς*, l. l. supra ad n. 6, p. 14—18.

13. *Μαρτύριον τοῦ ἁγίου Δομετίου καὶ τῶν μαθητῶν αὐτοῦ* (24 Mart.). Ed. anonymus *Analectorum Bollandianorum* v. XIX (1900), pp. 318—320, ad fidem apographi Rudolphi Abicht.

14. *Μαρτύριον τῶν ἁγίων Ἰωνᾶ καὶ Βαραχησίου καὶ τῆς συνοδίας αὐτῶν* (28 Mart.). Ed. H. Delehaye, l. l. supra ad n. 1, pp. 437—339, cui excripsit N. Popov.

Menologio e codice 376 edito appendicem adieci, qua vitas quattuor adhuc ineditas propono, quas menologii scriptor proxime secutus in breviorem formam redegit, scilicet Ss. Parthenii (7 Febr.), Nicephori (9 Febr.), Blasii (11 Febr.), martyrum XL (9 Martii). Ex his primam, quae in codice 376, ut vidimus, initio mutila est, ipse e codice Mosquensi bibl.

synod. 184/CLXXXV (377 Vlad.) anno 1909 exscripsi et cum codice Parisino bibl. nat. 1529 contuli, qui vere a. 1910 Academiae nostrae rogatu e bibliotheca Parisina in usum meum huc erat missus[1]), reliquas Nicolaus I. f. Novossadski professor Mosquensis ex eodem codice 377 Vlad. summa diligentia exscripsit et cum codice eiusdem bibliothecae 182/LXXXII (389 Vlad.) contulit[2]).

Omnes vitas ineditas ipse in capitula distinxi, in editis priorum editorum divisiones secutus sum.

In calce libelli index nominum additus est a Nicolao N. f. Thomassov collega compositus. Indicem verborum notabiliorum non dedi, quoniam de elocutione auctoris nostri in commentatione Rossica, quam supra commemoravi, satis copiose sum tractaturus.

Quod superest, ex animo gratias ago viris doctissimis ornatissimis Nicolao I. f. Novossadski, *'Α. Παπαδοπούλῳ-Κεραμεῖ,* Nicolao P. f. Popov, quos optime de hoc libello meritos esse supra monui, praeterea Nicolao N. f. Thomassov et Georgio C. f. Schmid, quorum ille in textu a me exscripto cum imaginibus photographicis conferendo strenue me adiuvit et indicis nominum componendi munus ingratum in se suscepit, hic plerorumque foliorum plagulas typis expressas attentissime perlegit dataque occasione observationes doctrinae et acuminis plenas mecum communicavit.

B. Latyšev.

Petropoli scribebam m. Iunio a. MCMXI.

1) Codex descriptus est in Catalogo codicum hagiograph. graecorum bibl. nat. Parisiensis, quem ediderunt hagiographi Bollandiani et Henricus Omont (Brux.-Paris. 1896), pp. 225—227. Cf. quae nos adnotavimus in praefatione passionis S. Georgii Theodoro Daphnopatae adscriptae et a nobis nuperrime editae (*Правосл. Палестинскій Сборникъ*, вып. 59 (окончаніе). Спб. 1911), p. V.

2) Hos codices Mosquenses descripsit Vladimirus, Систем. опис. pp. 566—568 et 584—586. Cf. P. Nikitin, Сказанія о 42 Амор. мученикахъ (v. supra in indice vitarum editarum n° 9), p. 227; Г. Ф. Церетели, Житіе иже во святыхъ отца нашего Арсенія Великаго (*Зап. ист.-фил. фак. Имп. Спб. унив.*, ч. L, вып. I, Спб. 1899), praef. p. VII.

ΠΙΝΑΞ ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ.

Μηνὸς Φεβρουαρίου.

		Pag.
α'.	Μαρτύριον τοῦ ἁγίου μεγαλομάρτυρος Τρύφωνος	1— 7
β'.	Λόγος εἰς τὴν Ὑπαπαντὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ	7— 10
γ'.	Μαρτύριον τοῦ ἁγίου ἱερομάρτυρος Ἀβρααμίου τοῦ Πέρσου	10— 12
δ'.	Μαρτύριον τῶν ἁγίων Παπία, Διοδώρου καὶ Κλαυδιανοῦ	12— 14
ε'.	Μαρτύριον τῆς ἁγίας μεγαλομάρτυρος Ἀγάθης	14— 18
ϛ'.	Μαρτύριον τῶν ἁγίων χιλίων καὶ τριῶν μαρτύρων τῶν ἐν Νικομηδείᾳ μαρτυρησάντων (*in fine mutila*)	19— 20
ζ'.	[Βίος τοῦ ἁγίου Παρθενίου ἐπισκόπου πόλεως Λαμψάκου] (*initio mutila*)	20— 28
η'.	Μαρτύριον τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου τοῦ Στρατηλάτου	28— 36
θ'.	Μαρτύριον τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος Νικηφόρου.	36— 41
ι'.	Μαρτύριον τοῦ ἁγίου μάρτυρος Χαραλάμπους	41— 47
ια'.	Μαρτύριον τοῦ ἁγίου μεγαλομάρτυρος Βλασίου	47— 53
ιβ'.	Βίος καὶ πολιτεία τῆς ὁσίας μητρὸς ἡμῶν Μαρίας τῆς μετονομασθείσης Μαρίνου	53— 57
ιγ'.	Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Μαρτινιανοῦ	58— 67
ιδ'.	Βίος καὶ πολιτεία καὶ μερικὴ θαυμάτων ἐξήγησις τοῦ ὁσίου πατρὸς ἡμῶν Αὐξεντίου	68— 79
ιε'.	Ὑπόμνημα εἰς τὸν ἅγιον ἀπόστολον Ὀνήσιμον τὸν τοῦ ἁγίου ἀποστόλου Παύλου μαθητήν	79— 83
ιϛ'.	Μαρτύριον τοῦ ἁγίου ἱερομάρτυρος Παμφίλου καὶ τῆς συνοδίας αὐτοῦ	83— 86
ιζ'.	Μαρτύριον τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου τοῦ Τήρωνος.	86— 92
ιη'.	Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀγαπητοῦ ἐπισκόπου Συναῶν	93—106
ιθ'.	Μαρτύριον τῶν ἁγίων Μαξίμου, Θεοδότου καὶ Ἀσκληπιοδότης.	106—111
κ'.	Βίος καὶ πολιτεία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Λέοντος ἀρχιεπισκόπου Κατάνης	111—118
κα'.	Μαρτύριον τοῦ ἁγίου ἀποστόλου Ἀρχίππου, Φιλήμονος καὶ Ἀπφίας	118—119
κβ'.	Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐσταθίου πατριάρχου Ἀντιοχείας τῆς μεγάλης	120—123

Pag.

κγ'. Βίος καὶ μαρτύριον τοῦ ἁγίου Πολυκάρπου ἐπισκόπου Σμύρνης . . . . . 123—126
κδ'. Λόγος εἰς τὴν εὕρεσιν τῆς τιμίας κεφαλῆς τοῦ ἁγίου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου . . . . . 126—131
κε'. Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ταρασίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως . . . . . 131—140
κϛ'. Βίος καὶ πολιτεία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Πορφυρίου ἐπισκόπου Γάζης . . . . . 140—150
κζ'. Μαρτύριον τοῦ ἁγίου ἱερομάρτυρος Νέστορος ἐπισκόπου Πέργης τῆς Παμφυλίας . . . . . 151—153
κη'. Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Μαρουθᾶ ἐπισκόπου Σοφανινῶν τῆς Ἀρμενίας καὶ μνήμη τῶν ἐν Μαρτυροπόλει κειμένων ἁγίων μαρτύρων . . . . . 154—158

Μηνὸς Μαρτίου.

α'. Βίος καὶ μαρτύριον τῆς ὁσίας μητρὸς ἡμῶν Εὐδοκίας . . . . 158—165
β'. Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀνδρονίκου καὶ Ἀθανασίας τῆς συμβίου αὐτοῦ . . . . . 166—173
γ'. Μαρτύριον τῶν ἁγίων Εὐτροπίου, Κλεονίκου καὶ Βασιλίσκου . 174—179
δ'. Μαρτύριον τῶν ἁγίων Παύλου καὶ Ἰουλιανῆς τῆς ἀδελφῆς αὐτοῦ καὶ τῶν σὺν αὐτοῖς . . . . . 179—184
ε'. Βίος καὶ μαρτύριον τοῦ ὁσίου πατρὸς ἡμῶν Ὑπατίου ἐπισκόπου γεγονότος τῆς Γάγγρων μητροπόλεως . . . . . 185—190
ϛ'. Μαρτύριον τῶν ἁγίων τεσσαράκοντα καὶ δύο μαρτύρων Θεοδώρου, Κωνσταντίνου, Καλλίστου, Θεοφίλου, Βασόη καὶ τῆς συνοδίας αὐτῶν . . . . . 190—197
ζ'. Μαρτύριον τῶν ἁγίων ἱερομαρτύρων καὶ ἐπισκόπων Χερσῶνος Βασιλέως, Καπίτωνος καὶ τῶν σὺν αὐτοῖς . . . . . 197—202
η'. Βίος καὶ μαρτύριον τοῦ ὁσίου πατρὸς ἡμῶν Κόνωνος τοῦ Ἰσαύρου . . . . . 203—208
θ'. Μαρτύριον τῶν ἁγίων τοῦ Χριστοῦ τεσσαράκοντα μαρτύρων . 209—215
ι'. [Μαρτύριον τῶν ἁγίων μαρτύρων Κοδράτου, Κυπριανοῦ, Διονυσίου, Κρίσκεντος καὶ τῆς συνοδίας αὐτῶν]. (*Dimidia fere pars deest*) . . . . . 216—218
ια'. Μαρτύριον τοῦ ἁγίου Σαβίνου . . . . . 218—221
ιβ'. Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοφάνους τοῦ ὁμολογητοῦ . . . . . 221—229
ιγ'. Λόγος εἰς τὴν ἀνακομιδὴν τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νικηφόρου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως . . . . . 230—233
ιδ'. Βίος καὶ πολιτεία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου πάπα τῆς πρεσβυτέρας Ῥώμης . . . . . 233—236
ιε'. Μαρτύριον τοῦ ἁγίου ἱερομάρτυρος Πιονίου καὶ τῆς συνοδίας αὐτοῦ . . . . . 236—240
ιϛ'. Μαρτύριον τοῦ ἁγίου ἱερομάρτυρος Μενίγνου . . . . . 241—245
ιζ'. Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀλεξίου τοῦ ἀνθρώπου τοῦ Θεοῦ . . . . . 245—252

Pag.

ιη'. Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν ἀββᾶ Παύλου τοῦ ἁπλοῦ . . . . 252—256
ιθ'. Μαρτύριον τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Χρυσάνθου καὶ Δαρείας . . . . 256—262
κ'. Μαρτύριον τῆς ἁγίας Φωτεινῆς τῆς Σαμαρείτιδος καὶ τῶν σὺν αὐτῇ . . . . 262—266
κα'. Μαρτύριον τῶν ἁγίων μαρτύρων Τροφίμου καὶ Θαλλοῦ, μαρτυρησάντων ἐν Λαοδικείᾳ . . . . 266—269
κβ'. Μαρτύριον τοῦ ἁγίου Καλλιοπίου . . . . 269—272
κγ'. Μαρτύριον τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Τροφίμου καὶ Εὐκαρπίωνος . . . . 273—275
κδ'. Μαρτύριον τοῦ ἁγίου Δομετίου καὶ τῶν μαθητῶν αὐτοῦ . . . 275—278
κε'. Λόγος εἰς τὸν Εὐαγγελισμὸν τῆς Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας . . . . 278—281
κς'. Μαρτύριον τοῦ ἁγίου Εἰρηναίου ἐπισκόπου Σιρμίου . . . . . 281—283
κζ'. Μαρτύριον τοῦ ἁγίου Φιλητοῦ καὶ τῆς γυναικὸς αὐτοῦ Λυδίας καὶ τῶν τέκνων Μακεδόνος καὶ Θεοπρεποῦς, Ἀμφιλοχίου δουκὸς καὶ Κρονίδου . . . . 284—288
κη'. Μαρτύριον τῶν ἁγίων Ἰωνᾶ καὶ Βαραχησίου καὶ τῆς συνοδίας αὐτῶν . . . . 288—292
κθ'. Ἄθλησις τῶν ἁγίων ἱερομαρτύρων Μάρκου ἀρχιεπισκόπου Ἀρεθουσίων καὶ Κυρίλλου διακόνου . . . . 293—294
λ'. Λόγος ἐν ἐπιτομῇ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ τῆς κλίμακος . . . . 294—298
λα'. Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Ἀκακίου ἐπισκόπου Μελιτηνῆς τοῦ ὁμολογητοῦ . . . . 298—300

Appendix.

Βίος καὶ πολιτεία καὶ θαυμάτων ἐξήγησις τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Παρθενίου ἐπισκόπου γενομένου πόλεως Λαμψάκου . . . . 303—317
Μαρτύριον τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος Νικηφόρου . . . 317—328
Μαρτύριον τοῦ ἁγίου ἱερομάρτυρος Βλασίου . . . . 328—336
Μαρτύριον τῶν ἁγίων τεσσαράκοντα μαρτύρων . . . . 337—347
Index nominum . . . . 348—357
Addenda et corrigenda . . . . 357—358

Μηνὶ Φεβρουαρίῳ α΄. f. 3

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΤΡΥΦΩΝΟΣ.

1. Τρύφων ὁ θαυμάσιος, ὁ τῆς ἀκηράτου καὶ θείας τρυφῆς ἐπώνυμος, τὸ μακάριον ὄντως τῆς ἐκκλησίας φυτόν, γῆς μὲν ὥρμηται τῆς Φρυγῶν, κώμης δὲ τῆς Καμψάδου, Ἀπαμείᾳ γειτονούσης τῇ πόλει. γονέων τοίνυν εὐσεβῶν ὁ Τρύφων εὐσεβέστερον τέκνον ἐκφὺς οὕτως ἐκ πρώτης ἡλικίας ἀξιόθεος ἦν, ὡς πλουσίας παραυτίκα τυχεῖν τῆς ἐνεργείας τοῦ πνεύματος· καὶ | διὰ τοῦτο ποικίλαι col. 2 *νόσοι σωμάτων καὶ δαιμόνων ἅπαν τὸ φῦλον ὀνόματι μόνῳ Τρύφωνος ἐδραπέτευον. ἀλλὰ περὶ πάντων μὲν αὐτοῦ τῶν θαυμάτων ἄρτι διαλαβεῖν οὐ τοῦ παρόντος καιροῦ· ἑνὸς δὲ μόνον μνησθεὶς καὶ δείξας ὥσπερ ἐξ ὀλίγου γεύματος τὸ πᾶν, ἐπὶ τὴν μαρτυρίαν ἐκείνου τρέψομαι τὴν διήγησιν.*

2. Χρόνων ἐνενήκοντα καὶ διακοσίων μετὰ τὴν Αὐγούστου τελευτὴν ἤδη παρῳχηκότων Γορδιανὸς τῶν σκήπτρων ἐπιλαμ||βά- f. 3v *νεται, ἀνὴρ Ἕλλην μὲν τὴν θρησκείαν, οὐ βαρὺς δὲ τοσοῦτον χριστιανοῖς. τούτῳ γίνεται θυγάτηρ μονογενής, τῷ κάλλει καὶ τῇ τῆς ψυχῆς εὐφυΐᾳ διαπρεπής· διὸ καὶ πρὸς γραμμάτων αὐτὴν μάθησιν ἤγαγεν ὁ πατήρ, καὶ πολλὴ τούτῳ σπουδὴ μηδένα ταύτης μῶμον ἐπιτριβῆναι τῇ παρθενίᾳ, πολλῶν ἀξιούντων τοῦ γάμου ταύτης ἐπιτυχεῖν.*

3. Ταύτην δαιμόνιον πονηρὸν αἴφνης ἐπελθὸν ἐσπάραττεν ἀφειδῶς, πυρὶ καὶ ὕδασιν ἐπερρίπτει καὶ πᾶσι τρόποις διετίθει κακῶς· οὕτως μὲν αὐτὴν ὁ δαίμων ἐμάστιζεν· ἐκείνη δὲ τὰ τῶν

Paragraphorum notae (litterae rubro scriptae) in codice sunt hae: v. 1 ***Τ**ρύφων*, v. 12 ***Χ**ρόνων*, v. 20 *δαι|**Μ**όνιον*.

γονέων σπλάγχνα διὰ τούτων κατεδαπάνα· καὶ γὰρ ἰατροὶ μὲν ἅπαν-
τες ἀπηγόρευον, σοφοὶ δὲ ἠπόρουν, ἐπίνοια δὲ οὐδεμία πρὸς ἴασιν,
col. 2 ἕως αὐτὸ τὸ πο|νηρὸν πνεῦμα δυνάμει κρείττονι συνωθούμενον
ἐβόα ἰσχυρῶς καὶ τὸν οἰκεῖον μὲν ὡμολόγει διώκτην, τῆς δὲ πα-
σχούσης κόρης θεραπευτήν, «Εἰ μὴ Τρύφων ἔλθοι» λέγον, «οὐκ ἐκ-
στήσομαι ταύτης».

4. Αὐτίκα τοίνυν γράμματα βασιλικὰ καὶ μηνύματα κατὰ πᾶσαν
ἐφοίτα τὴν οἰκουμένην, καὶ διὰ πάσης γλώττης Τρύφων ᾔδετο,
Τρύφων ἠρευνᾶτο, Τρύφων ἀνεκαλεῖτο. ἐπεὶ δὲ καὶ μέχρι Φρυγίας
ἡ ζήτησις ἦν, δῆλος ὁ Τρύφων ἤδη καθίσταται καὶ πρὸς τῇ Καμ-
ψάδου κώμῃ διατρίβων εὑρίσκεται, χηνῶν ἐπιμελητὴς καὶ νομεὺς ὁ
τοσοῦτος· ὁμολογήσας δὲ αὐτὸς εἶναι Τρύφων, αὐτὸς ὁ ζητούμενος,
παραπέμπεται μὲν αὐτίκα διὰ τῶν εὑρηκότων τοῖς ὑπάρχοις Πομ-
f. 4 πιανῷ καὶ Προτεστάτῳ· αὐτοὶ δὲ τοῦτον ἵπποις || τοῖς δημοσίοις
ἐπιβιβάσαντες εἰς Ῥώμην τῷ αὐτοκράτορι διαπέμπουσι.

5. Ὁ μὲν οὖν ἤνυεν ὀξύτατα τὴν ὁδοιπορίαν· ἔτος δὲ ἦν αὐτῷ
τότε τῆς ἡλικίας ἑπτακαιδέκατον· τὸ πνεῦμα δὲ τῆς αὐτοῦ παρου-
σίας αἰσθόμενον κακῶς ἐποίει τὴν κόρην· ἔπειτα καὶ κλαίων ὥσπερ
ὁ δαίμων «Οὐκέτι μοι» ἔλεγεν «οἰκῆσαι συγχωρηθήσεται ἐν τῇδε τῇ
κόρῃ· ἰδοὺ γὰρ ἡμέραι τρεῖς, καὶ Τρύφων ὁ τὴν καθ' ἡμῶν ἐξουσίαν
λαβὼν παραγίνεται». οὕτω πολλὰ κράξας καὶ διασπαράξας τὴν κό-
ρην ἐξῄει, μηδὲ αὐτὴν ὑπομεῖναι θαρρήσας τὴν τοῦ Τρύφωνος
παρουσίαν.

6. Μετὰ τρίτην δὲ τῆς ἀπαλλαγῆς ἡμέραν καταλαμβάνει τὴν
Ῥώμην ὁ ἅγιος καὶ προσάγεται παραχρῆμα Γορδιανῷ· ὃν ἀσμένως
col. 2 ἐκεῖνος δεξάμενος οὐκ ἠγνόησεν | αὐτὸν εἶναι τῆς θυγατρὸς τὸν
θεραπευτὴν ἀπὸ τῆς τῶν ἡμερῶν προθεσμίας· ἵνα δὲ καὶ μείζονα
δῷ τῷ πράγματι πίστιν, ἠξίου τὸν Τρύφωνα θεατὸν αὐτῷ γενέσθαι
τὸν δαίμονα καὶ περὶ ὧν ἀνερωτηθείη μὴ συγκαλύψαι, ἀλλ' εἰς
φῶς ἀγαγεῖν· ἐν ἓξ τοιγαροῦν [ἡμέρ]αις νηστείᾳ καὶ δ[εήσ]ει πρὸς
Θεὸν ὁ Τρύφων ἑαυτὸν ἐκδούς, ἤδη τῆς ἑβδόμης ἐφισταμένης
παρῆν μὲν περὶ αὐγὰς ἡλίου ὁ βασιλεύς, παρῆν καὶ πᾶν τὸ ὑπή-
κοον. ὁ μέντοι θεῖος Τρύφων τὸ πονηρὸν μεταστειλάμενος πνεῦμα,
«Σοὶ λέγω» φησὶν «ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, ἐμφάνηθι τοῖς
παροῦσι καὶ τὴν ἀσχημοσύνην τὴν σὴν ἄρτι καὶ τὴν ἀσθένειαν
δήλην γενέσθαι πᾶσι καὶ καταφανῆ παρασκεύασον». οὔπω πέρας
f. 4v εἶχεν ὁ λόγος, καὶ κύων ὡρᾶτο || σφόδρα δυσειδής, τὸ χρῶμα μέ-

Rubro: v. 7 *Τοίνυν*, v. 16 *Ὁ μέν*, v. 24 *Τῆς*, v. 30 *Ἐν ἕξ*.

28 τὸ πράγματι v. 30 in vocibus ἡμέρας et δεήσει litterae uncis inclusae codicis membrana perrupta perierunt.

λας, τοὺς ὀφθαλμοὺς ἔχων ὡς πῦρ ἀφιέντας, τὴν δὲ κεφαλὴν τῇ γῇ κεκυφώς· πρὸς ὃν ὁ Τρύφων «Λέγε μοι» φησίν, «ὦ κατάρατε, τίς ὁ πέμψας σε, τίς ὁ τῆς κόρης καταδραμεῖν σε ποιήσας καὶ πῶς τοιούτῳ ζόφῳ κά[τοχος] ὢν καὶ τὴν δύν[αμιν ἀσ]θενὴς καὶ ἄτιμος πλάσμα Θεοῦ τὸ τίμιον βλάψειν ἐτόλμησας;» ὁ δὲ δαίμων ὥσπερ ὑπὸ κέντρων τῶν λόγων πληττόμενος ὑπὸ τοῦ οἰκείου ἔφησεν ἀπεστάλθαι πατρός, εἶναι δὲ αὐτοῦ τὸν πατέρα τὸν σατανᾶν, «Παρ' οὗ καὶ τὴν παῖδα ταύτην ἐπιτέτραμμαι βασανίσαι».

7. «Ποία δὲ» ὁ Τρύφων «ἐξουσία» φησὶ «τῷ ἄρχοντι τῆς κακίας κατὰ τοῦ πλάσματος τοῦ Θεοῦ;» ὁ δὲ κύων ἐκεῖνος, ψεύστης ὢν φύσει, ὅμως τὸ ἀ|ληθὲς καὶ ἄκων ἐπὶ πᾶσιν ὁμολογεῖ· «Ἡμῖν» col. 2 εἶπεν «οὐδεμία τίς ἐστιν ἐξουσία κατὰ τῶν εὐσεβούντων εἰς τὸν Θεόν, ὃν Πέτρος ἐνταῦθα καὶ Παῦλος ἐκήρυξαν, εἰ μὴ ὅτι πεῖραν αὐτοῖς ἐπάγομεν ἔξωθεν· τούτων δὲ κρατοῦμεν τῶν προσκειμένων τοῖς ἡμῖν φίλοις ἔργοις, ἅτινά εἰσι προηγουμένως εἰδωλολατρεία, βλασφημία, μοιχεία, φαρμακεία, φόνοι, ὑπερηφανία. διὰ τούτων γὰρ καὶ τῶν τοιούτων οἱ ἄνθρωποι καὶ τοῦ Θεοῦ ἀλλοτριοῦνται καὶ ἡμῖν συνάπτονται».

8. Τούτων ὑπ' αὐτοῦ λαλουμένων φόβος μετὰ θαύματος αὐτόν τε βασιλέα καὶ τοὺς ὑπ' αὐτοῦ εἰσῆλθε, καὶ πολλοὶ μὲν τῶν ἀπίστων ἐπίστευσαν εἰς Χριστόν, τοῖς δὲ πιστοῖς βεβαίωσις γέγονεν ἔτι περὶ τὴν πίστιν ἐκ τῆς τοῦ ἐχθροῦ μαρτυρίας. τὸ μέντοι πονηρὸν || δαι- f. 5 μόνιον ἐπιτιμηθὲν ἀφανὲς ᾤχετο. ὁ δὲ Καῖσαρ, θαυμάσας τὸν ἄνδρα τῆς κατὰ δαιμόνων ἰσχύος, τιμαῖς θεραπεύει καὶ δωρεαῖς καὶ μετὰ πρεπούσης θεραπείας οἴκαδε παραπέμπει. ὅσα μέντοι παρὰ βασιλέως ἐδόθη τούτῳ, χεῖρες κατὰ τὴν ὁδὸν πενήτων ἐλάμβανον· αὐτὸς δὲ οἴκοι γενόμενος τοῖς πεπλανημένοις ὡδήγει πρὸς τὴν ἀλήθειαν.

9. Γορδιανοῦ δὲ τελευτήσαντος εἰς Φίλιππον τὸν εὐσεβῆ τὰ τῆς βασιλείας μεταβαίνει σκῆπτρα· κἀκείνου θᾶττον ἐν πολέμῳ τῷ τῶν Τρωγλοδυτῶν ἀνῃρημένου Δέκιος μετ' αὐτὸν βασιλεύει, ὠμὸς ἀνήρ, ἀναιδὴς ψυχή, αἵμασι καὶ σφαγαῖς καὶ βασάνοις ἐνευφραινόμενος. ἦν οὖν δεινὸς τότε κατὰ χριστιανῶν διωγμός, καὶ ἐπεὶ πάντες ἐχειροῦντο | τοῖς ἀσεβέσι καὶ ταῖς κολάσεσιν ἐξεδίδοντο, ἀνάγεται καὶ col. 2 περὶ Τρύφωνος τῷ τῆς ἀνατολῆς ἐπάρχῳ—'Ακυλῖνος ὄνομα τούτῳ ἦν—ὡς ἀνήρ τις 'Απαμεὺς τὸ γένος, ἰατρὸς τὴν τέχνην, μυκτηρίζει μὲν βασιλεῖς, μυκτηρίζει δὲ καὶ θεοὺς καὶ Χριστόν τινα μόνον πρεσβεύει Θεὸν καὶ ταῖς καινολογίαις πολλοὺς ἀπατᾷ.

Rubro: v. 5 Ὁ δέ, v. 12 Οὐδεμία, v. 19 Ὑπ' αὐτοῦ, v. 23 Καῖσαρ, v. 28 Γορδιανοῦ.

v. 4 litterae uncis inclusae membrana perrupta perierunt.

10. Εὐθὺς οὖν γράμματα στέλλονται ὅτι τάχος αὐτῷ τὸν ζητούμενον παραστῆσαι. καὶ ὃς οὐ πρὸς ἐρήμους εὐθὺς ἀποβλέπει, οὐ πρὸς ἕτερόν τινα τόπον κρυπτόν, ἀλλὰ τοῖς ζητοῦσι φαιδρὸς ἐμφανίζεται καὶ πρὸς τὸν Ἀκυλῖνον σὺν ἡδονῇ παραπέμπεται, κατὰ Νίκαιαν διατρίβοντα. βήματος οὖν αὐτῷ διαρθέντος ὑψηλοῦ Πομπιανὸς σκρινιάριος τῆς μεγίστης τάξεως εἶπεν· «Ὁ ἐκ τῆς Ἀπα- f. 5v μείας || παρὰ Φρόντωνος τοπάρχου πρὸς τὴν ὑμετέραν μεγαλειότητα πεμφθεὶς τῷ καθαρωτάτῳ βήματι παρέστηκε τῆς ὑμῶν ἐξουσίας». Ἀκυλῖνος ἔπαρχος εἶπεν· «Ὁ παρεστὼς πρῶτον εἰπάτω τὸ ὄνομα, τὴν πατρίδα, τὴν τύχην, ἔπειτα καὶ τὸ σέβας». ὁ ἅγιος Τρύφων· «Ἐμοὶ τὸ ἀπὸ γῆς ὄνομα Τρύφων, πατρὶς δὲ ἡ κώμη Καμψάδος, Ἀπαμείᾳ τῇ πόλει γείτων ὑπάρχουσα· τύχη δὲ παρ' ἡμῖν οὔτε ἐστὶν οὔτε λέγεται· ἐλεύθερός τε καὶ τὸν τρόπον εἰμὶ καὶ ἑνὶ μόνῳ Χριστῷ δεδούλωμαι· Χριστὸς γάρ ἐμοὶ τὸ σέβας, Χριστὸς ἐμοὶ δόξα καὶ στέφανος ἤδη καυχήσεως».

11. Πρὸς ταῦτα ὁ ἔπαρχος «Φαίνῃ μοι ἀγνοῶν» εἶπε «τὴν τοῦ βασιλέως κέλευσιν, ὡς βιαίῳ θανάτῳ προστάττει παραδίδοσθαι col. 2 τοὺς ἀπειθεῖς· ἀλλὰ σὺ | πείθου μοι καὶ ἀπόστηθι τῆς τοιαύτης ἀπάτης, ἵνα μὴ καὶ πυρὶ καὶ ταῖς ἄλλαις κολάσεσι σεαυτὸν παραδῷς». ὁ ἅγιος Τρύφων «Εἴθε μοι γένοιτο» ἔφη «καὶ πυρὶ καὶ βασάνοις ὑπὲρ τοῦ ἐμοῦ Χριστοῦ καταναλωθῆναι». ὁ ἔπαρχος εἶπεν· «Θῦσον, ὦ Τρύφων, παραινῶ, τοῖς θεοῖς· ὁρῶ γάρ σου τὸ φρόνημα τέλειον καὶ οὐ βούλομαί σε, μὰ τοὺς θεούς, κακῶς ἀποθανεῖν». ὁ ἅγιος Τρύφων «Τέλειον ἔξω τὸ φρόνημα» εἶπεν, «εἰ τελείαν προσάξω τῷ Θεῷ μου καὶ τὴν ὁμολογίαν». ὁ ἔπαρχος πῦρ καὶ πάλιν ἀπειλεῖ καὶ βασάνους αὐτῷ. καὶ ὁ ἅγιος «Ἐμοὶ πῦρ ἀπειλεῖς» ἔφη «σβεννύμενον σύ, ἐγὼ δέ σοι τὸ ἄσβεστον καὶ διαιωνίζον ἀνταπειλῶ, εἰ μὴ τῆς νῦν ἀποστῇς ἀπάτης καὶ γνῷς τὸν ὄντως Θεόν».

12. Ἐξήφθη πρὸς ὀργὴν ὁ ἀνόσιος καὶ σπαθίζεσθαι κελεύει τὸν f. 6 μάρτυρα· || διὸ καὶ γυμνοῦται τὸ σῶμα, τῷ ξύλῳ τε ἀναρτᾶται, τὰς χεῖρας περιαγκωνίζεται καὶ τὰς σάρκας κόπτεται. ἐν τρισὶ δὲ ὥραις οὕτω σπαθιζομένου καὶ ἡσυχῇ τὰς πληγὰς ὑπομένοντος, ὁ ἔπαρχος Ἀκυλῖνος «Μετάγνωθι, Τρύφων», ἔφη «τῆς ἐνστάσεως καὶ θῦσον τοῖς θεοῖς· οὐ γάρ ἐστιν, ὃς μὴ ποιῶν τὸ τοῦ βασιλέως πρόσταγμα τὰς κολάσεις ἐκφυγεῖν δυνηθῇ». καὶ ὁ ἅγιος· «Κἀγώ σοί φημι, ὅτι μηδεὶς τὸν οὐράνιον βασιλέα Χριστὸν ἀρνησάμενος τῆς αἰωνίας οὐκ ἐκπεσεῖται ζωῆς, πρὸς δὲ καὶ πυρὶ ἀσβέστῳ κατακριθήσεται».

Rubro: v. 1 **Γράμματα**, v. 5 **Αὐτῶι**, v. 9 ἔ|**Παρχος** , v. 16 **Ταῦτα**, v. 20 **Εἶθε**, v. 23 **Ὁ** ἅγιος, v. 26 **Καί**, v. 32 **Οὕτω**, v. 35 **Κἀγώ**.

3 ἕτερον τινὰ   13 ἐλεύθερος τὲ   24 τελεῖαν   34 γάρ ἐστιν

καὶ ὁ ἔπαρχος «Οὐράνιος πάντως βασιλεὺς οὐκ ἄλλος ἢ ὁ μέγας Ζεύς ἐστιν» ἔφη. καὶ ὁ Τρύφων «Ὅμοιοι γένοιντο» εἶπε «Διῒ τῷ θεῷ σου οἱ θεὸν αὐτὸν εἶναι πιστεύοντες καὶ πάντες ὅσοι πεποίθασιν ἐπ' αὐτῷ». | col. 2

13. Τούτων ῥηθέντων ὑπὸ τοῦ μάρτυρος ὁ Ἀκυλῖνος κελεύει τοῦ ξύλου τοῦτον κατενεχθῆναι καὶ ἀκολουθεῖν αὐτῷ δεδεμένον πρὸς κυνηγίαν. ἦν οὖν πικροτάτην ὁρᾶν τῷ μάρτυρι τὴν βάσανον ἐπαγομένην· καὶ γὰρ αἱ βάσεις αὐτῷ τῶν ποδῶν διερρήγνυντο ἐν ὥρᾳ χειμῶνος γυμναὶ προβαλλόμεναι, ἔτι καὶ τοῖς τῶν ἵππων ποσὶ συμπατούμεναι, ὡς καὶ τὰς σάρκας καταρρέειν εἰς γῆν. ὁ δὲ «Κατάρτισαι, κύριε, τὰ διαβήματά μου» ἔλεγεν «ἐν ταῖς τρίβοις σου, ἵνα μὴ σαλευθῶσι», καὶ πάλιν «Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου», εἶτα καὶ «Κύριε, μὴ στήσαις αὐτοῖς τὴν ἁμαρτίαν ταύτην», ὡς ὁ πρώταθλος ηὔχετο.

14. Ὡς οὖν ἀπὸ τῆς θήρας ἐπανέλθοι ὁ Ἀκυλῖνος, τὸν ‖ μάρ- f. 6v τυρα μετακαλεσάμενος, «Ἀλλὰ κἂν νῦν πείθῃ» φησίν, «ἄθλιε, σώφρονι χρήσασθαι λογισμῷ καὶ θῦσαι τοῖς θεοῖς, ἢ ἔτι τῆς προτέρας ἔχῃ μανίας;» ὁ ἅγιος Τρύφων λέγει· «Μανίας ἀλόγου σὺ μεστὸς εἶ, μὴ δυνηθεὶς ἐπιγνῶναι τὸν τῶν ὅλων Θεόν· ἐγὼ δὲ σώφρων εἰμὶ τῷ ὄντι, μὴ ἀφιστάμενος αὐτοῦ». οὐδὲν πρὸς ταῦτα ὁ Ἀκυλῖνος, ἀλλὰ πρὸς τοὺς παρεστῶτας ἐπιστραφεὶς «Ἑλκέσθω τέως εἰς τὸ δεσμωτήριον ὁ γεννάδας» φησὶ «καὶ πρὸς ἑτέραν ἐξέτασιν φυλαττέσθω, μὴ καὶ ἴσως μεταμάθοι τὸ βέλτιον». οὕτως εἰπὼν ἐπὶ τὰς πλησιαζούσας ἔξεισι πόλεις.

15. Ἡμερῶν δέ τινων διαγενομένων αὖθις τὴν Νίκαιαν εἰσελθὼν καὶ Τρύφωνα τὸν μέγαν παραστησάμενος «Ἀλλ' ἀπειθῆ σε τυγχάνοντα» ἔφη «ὁ χρόνος | νενουθέτηκεν ἂν καὶ μετέπεισε τοῖς σωτῆρσι col. 2 λατρεῦσαι θεοῖς;» ὁ ἅγιος ἀπεκρίνατο· «Ὁ Θεός μου καὶ κύριος Ἰησοῦς ὁ Χριστὸς νουθετῶν ἐνουθέτησε καὶ τὴν τοῦ χρόνου παράτασιν εἰς βεβαίωσιν μᾶλλον τῆς ἀληθείας πεποίηκεν». οὐκ ἤνεγκε τῶν λόγων τὴν παρρησίαν ὁ τῆς ἀληθείας ἐχθρός· διὸ καὶ ἧλοι τοῖς ποσὶν αὐτοῦ κατεπήγνυντο καὶ τυπτόμενος διὰ μέσης τῆς πόλεως ἐξηλαύνετο. τῶν αἱμάτων οὖν τὴν γῆν φοινισσόντων ἔκπληξις εἶχε τὸν Ἀκυλῖνον, καὶ «Μέχρι τίνος, ὦ Τρύφων», φησίν, «οὐκ αἰσθήσῃ τῶν ἀλγεινῶν; μέχρι τίνος οὐχ ἅψεταί σου τὸ δριμὺ τῶν κολάσεων;» καὶ ὁ ἅγιος «Μέχρι τίνος καὶ αὐτὸς» εἶπεν «οὐ συνήσεις τὴν δύναμιν τοῦ ἐν ἐμοὶ κατοικοῦντος Χριστοῦ;» θυμοῦται ὁ ἄρχων καὶ

Rubro: v. 2 **Καὶ**, v. 5 **Τούτων**, v. 15 **Ἀπὸ**, v. 18 **Ὁ** ἅγιος, v. 25 **Δέ** τινων, v. 28 **Ὁ** Θεος, v. 33 **Οὖν**, v. 36 **Καὶ** ὁ ἅγιος. 10 Κατάρτισαι κτλ. Ps. 16 (17), 5. 12 Τὰ διαβήματα κτλ. Ps. 118 (119), 133. 13 Κύριε κτλ. Act. Ap. 7, 60.

f. 7 κελεύει περιαγκωνισθέντα τὸν ἅγιον τύπτεσθαι ῥάβδοις, || εἶτα ταῖς πλευραῖς αὐτοῦ πυρὸς λαμπάδας ὑφάπτεσθαι. τούτων οὖν μετὰ πολλῆς τῆς σφοδρότητος τῶν βασάνων ἐπαγομένων θεία τις οὐρανόθεν δύναμις στέφανον αὐτῷ προτείνει περικαλλῆ καὶ ὡραῖον· ὅπερ εἰς γῆν καταπεσεῖν τοὺς κολαστὰς παρεσκεύασεν. ὁ δὲ τοῦ Χριστοῦ μάρτυς ἐξωμολογεῖτο τῷ Θεῷ λέγων· «Κύριε δέσποτα, εὐχαριστῶ σοι, ὅτι οὐ κατέλιπές με εἰς χεῖρας ἐχθρῶν, ἀλλ' ἔδωκάς μοι ὑπερασπισμὸν σωτηρίας, καὶ ἡ δεξιά σου ἀντελάβετό μου· καὶ νῦν δέομαί σου, παράστηθί μοι καὶ ἐνίσχυσον καλῶς τὸν ὑπὲρ σοῦ διανῦσαι ἀγῶνα· ὅτι μόνος εἶ δεδοξασμένος εἰς τοὺς αἰῶνας. ἀμήν».

16. Πάλιν οὖν ὁ δικαστὴς κολακείαις ὑπελθὼν τὸν ἅγιον, col. 2 «Θῦσον» ἔλεγε «τῷ μεγάλῳ Διΐ, Τρύφων, καὶ προσκύνησον τῇ | εἰκόνι Καίσαρος, κἀγὼ μεγίστης σε τιμῆς ἀξιώσω». ἐφ' οἷς μειδιάσαντα τὸν ἅγιον φάναι· «Εἰ αὐτοῦ σου τοῦ Σεβαστοῦ κατεφρόνησα καὶ τῶν αὐτοῦ προστάξεων, τῇ ἀψύχῳ τούτου εἰκόνι ἀνέξομαι προσκυνεῖν;» εἶτα τοὺς ἀθέους αὐτοῦ διασύρειν καὶ ἐξελέγχειν ἤρξατο θεούς, εἴ τινες ἄρα καὶ εἶεν καὶ ὡς ψευδέσιν ὀνόμασι παρὰ τῶν Ἑλλήνων ἀλληγορικῶς ὠνομάσθησαν.

17. Θυμὸς ἐπὶ τούτοις ἔσχε τὸν Ἀκυλῖνον· διὸ καὶ τιμωρεῖσθαι τὸν μάρτυρα τῆς ἀληθείας διεκελεύετο· καὶ πάλιν σπαθιζόμενος ἦν. ἐπεὶ δὲ τὴν πολλὴν αὐτοῦ καὶ ὑπερφυῆ καρτερίαν ὁ ἄρχων ἑώρα, δίδωσι κατ' αὐτοῦ τὴν ἀπόφασιν οὕτως· «Τρύφων ὁ Ἀπαμεύς, τῷ τοῦ Σεβαστοῦ Καίσαρος προστάγματι ἀντειπὼν καὶ μήτε f. 7v βασιλεῖ μήτε θεοῖς ὅλως εἶξαι || πεισθείς, μετὰ πολλὴν πεῖραν βασάνων τὸ τελευταῖον καὶ τὴν κεφαλὴν ἐκκοπήτω».

18. Εὐθὺς οὖν οἱ στρατιῶται κατὰ τὸν τῆς τελειώσεως τόπον ἦγον αὐτόν· ὁ δὲ χεῖρας ἄρας εἰς οὐρανόν, «Δέσποτα» εἶπε «κύριε, Θεὲ θεῶν, βασιλεῦ βασιλέων, εὐχαριστῶ σοι, ὅτι κατηξίωσάς με καλῶς τὸν ἀγῶνα τελέσαι· καὶ νῦν δέομαί σου, μὴ ἅψηταί μου ἡ ἐπίβουλος τοῦ πονηροῦ χείρ, μὴ πρὸς ἀπωλείας με βυθὸν κατασπάσῃ· ἀλλὰ διὰ ἁγίων ἀγγέλων σου τὴν ἐμὴν ψυχὴν ἐν εἰρήνῃ παραλαβὼν εἰς τὰς ἐπιποθήτους σου μονὰς εἰσάγαγε· τοῖς δὲ μεμνημένοις τοῦ ἐμοῦ ὀνόματος καὶ θυσίας σοι προσάγειν χάριν ἐμὴν βουλομένοις, ἀντικατάπεμψον αὐτοῖς δαψιλεῖς τὰς εὐεργεσίας σου, ὅτι μόνος εἶ col. 2 ἀγαθὸς εἰς τοὺς αἰῶνας. ἀμήν». ταῦτα προσευξάμενος πρὸ τοῦ πληγῆναι τῷ ξίφει παραδίδωσι τὴν ψυχήν. οἱ δὲ κατὰ Νίκαιαν συνδραμόντες, σινδόσι καθαραῖς τὸ τίμιον λείψανον ἐνειλήσαντες

Rubro: v. 2 Μετά, v. 11 δι|Καστής, v. 19 Ἐπί, v. 26 Εὐθύς, v. 36 Κατά.
3 θειά τις 6 ἐξομολογεῖτο.

ἐβούλοντο τῇ ἑαυτῶν πόλει φυλακτήριον αὐτὸ καταθέσθαι· ὁ δὲ ἅγιος ὄναρ ἐπιστὰς εἰς τὴν αὐτοῦ κώμην Καμψάδων μετακομίσειν ἐνετείλατο τοῦτο· ὃ δὴ καὶ πιστῶς πεποιήκασιν.

19. Οὕτως οὖν, ὦ μακάριε Τρύφων, ἐξ ἁπαλῶν ὀνύχων καθιερωθεὶς τῷ Θεῷ καὶ πολλοὺς μὲν τῇ Χριστοῦ πίστει προσαγαγών, πολλὰς δὲ νόσους ἀνθρώπων ἰασάμενος, πλείστας δὲ μετὰ ταῦτα τιμωριῶν ἰδέας ὑπὲρ τῆς ἀληθείας διενεγκών, τὸν τῆς ἀφθαρσίας στέφανον ἀνεδήσω. καὶ νῦν Θεῷ τῷ ἀγωνοθέτῃ παριστάμενος εὐπρεπῶς, αἴτησαι χαρισθῆναι βασιλεῖ ἡμῶν τῷ ὀρθοδόξῳ ‖ καὶ *fol. 8* φιλομάρτυρι μενούσης θείας τρυφῆς τὴν γλυκεῖαν μέθεξιν, ἰσχύος Θεοῦ κράτος κατὰ τῶν ἀντιπάλων, χλαμύδα σωτηρίας καὶ ἱμάτιον εὐφροσύνης, ἀγγελικῆς χορείας τὴν συναυλίαν, ἡλιακῆς ἀκτῖνος τὴν λαμπροτάτην χύσιν, πάσης χάριτος θείας τὴν εὐτυχίαν καὶ βασιλείας οὐρανῶν κληρουχίαν· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ β'.

ΛΟΓΟΣ
ΕΙΣ ΤΗΝ ΥΠΑΠΑΝΤΗΝ ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ.

1. Πολλοῖς τῶν μεγάλων ἀνθρώπων ἡ παρθενία καὶ εἰκότως θαυμάζεται· καὶ γάρ ἐστι τῷ ὄντι θαυμαστὴ καὶ γάμων ὑψηλότερον κεκτημένη τὸ πλεονέκτημα· καὶ μάρτυς αὐτὸς Χριστὸς ὁ Θεὸς ἡμῶν ἐκ παρθένου γεννώμενος, οὐκ ἀτιμάζων τὸν γάμον, τιμῶν δὲ μᾶλλον, ὡς παρθενίας αἴτιον· τίμιος γὰρ ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος, Παῦλός φησιν ὁ τῆς οἰκουμένης διδάσκαλος. ἔνθεν τοι καὶ τιμητέον ἑκάτερα κατὰ ‖ τὸν ἀπαιτούμενον λόγον, ὡς ἀλληλόχρεα. πλὴν οὐχ *f. 8ᵛ* ἁπλῶς οὕτω μοι προήχθη τὰ περὶ αὐτῶν καὶ περιττῶς εἰς διήγησιν, ἀλλὰ διὰ τὰ σήμερον ἐν τοῖς θείοις Εὐαγγελίοις ἀνεγνωσμένα· ὅτε γὰρ ἐπλήσθησαν, φησίν, αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν κατὰ τὸν νόμον Μωσέως (πλήρωσις δὲ ἡμερῶν ἡ τεσσαρακοστὴ ἦν), ἀνήγαγον τὸ παιδίον Ἰησοῦν εἰς Ἱεροσόλυμα παραστῆσαι τῷ κυρίῳ καθὼς γέγραπται ἐν νόμῳ κυρίου, ὅτι πᾶν ἄρσεν διανοῖγον μήτραν ἅγιον

Rubro: v. 4 Οὕτως, v. 10 Μενούσης, v. 13 Πάσης, v. 19 Πολλοῖς.
31 μῆτραν.
23 τίμιος κτλ. Hebr. 13, 4. 28 ἐπλήσθησαν κτλ. Luc. 2, 22—24.

τῷ κυρίῳ κληθήσεται, καὶ τοῦ δοῦναι θυσίαν κατὰ τὸ εἰρημένον ἐν νόμῳ κυρίου, ζεῦγος τρυγόνων ἢ δύο νεοσσοὺς περιστερῶν.

2. Καὶ τοῦτο μὲν οὕτως· πλὴν ἄξιον τὸ δοκοῦν ἐναντιολογεῖσθαι τοῖς εὐαγγελισταῖς ἐπιλῦσαι· πῶς Ματθαῖος μὲν μετὰ τὴν γέννησιν col. 2 εἰς Αἴγυπτον ἀπάγει τὸν | Ἰησοῦν, οὗτος δέ, ὁ θεῖος δηλονότι Λουκᾶς, μετὰ τεσσαράκοντα διέλευσιν ἡμερῶν εἰς Ἱεροσόλυμα κατὰ τὰ νῦν ἐν τοῖς Εὐαγγελίοις ἀνεγνωσμένα. οὐδὲν οὖν ἀπᾷδον λέγουσιν ἀλλήλοις, οὔτε μὴν τῇ ἀκολουθίᾳ τοῦ πράγματος προσιστάμενον. δεύτερον γὰρ ἔτος ἤδη μετὰ τὴν γέννησιν παρελθὸν εἰς Αἴγυπτον ὁ Χριστὸς ἀπάγεται. Λουκᾶς τοίνυν τὰ ἐντὸς τούτου γενόμενα τοῦ χρόνου καὶ ἃ παρῆκε Ματθαῖος, τὰ τῆς περιτομῆς δηλονότι διαλαμβάνει καὶ τοῦ καθαρισμοῦ, καὶ ἰδού, λέγων, ἄνθρωπος ἦν ἐν Ἱερουσαλήμ, ὄνομα αὐτῷ Συμεών, καὶ ὁ ἄνθρωπος δίκαιος, καὶ πνεῦμα ἅγιον ἦν ἐπ' αὐτῷ· ὃς καὶ ἦλθεν ἐν τῷ πνεύματι, φησίν, εἰς τὸ ἱερὸν καὶ τὰς ἀγκάλας ὑπέσχε Χριστῷ πρὸς ὑποδοχήν· δεξάμενος γὰρ αὐτὸν ἐν αὐταῖς εὐλόγησε τὸν Θεὸν καὶ εἶπε· «Νῦν f. 9 ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ ‖ τὸ ῥῆμά σου ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου».

3. Τί σοι, ὦ πρεσβῦτα, τὸ σωτήριον τοῦτο εἶναι βούλεται; αὐτός, φησιν, ὁ ποθούμενος Ἰησοῦς· τοῦτο γὰρ διασαφεῖ καὶ τὸ ὄνομα· ἡτοίμαστο δὲ αὐτοῦ τὸ μυστήριον ἐπὶ σωτηρίᾳ πάντων, οὐκ Ἰουδαίοις μόνοις, ἀλλὰ καὶ τῷ κόσμῳ παντί· τοῦτο γὰρ τὸ πάντων τῶν λαῶν βούλεται, ὥσπερ δὴ καὶ τὸ φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ. ὅρα δέ μοι καὶ τοῦ εὐαγγελιστοῦ τὴν ἀκρίβειαν· καὶ ἦν γάρ, φησιν, Ἰωσὴφ καὶ ἡ μήτηρ αὐτοῦ θαυμάζοντες ἐπὶ τοῖς λαλουμένοις περὶ αὐτοῦ· τὴν μὲν μητέρα εἶπεν ἅτε δὴ καὶ ἀληθῶς οὖσαν, ἀπ' αὐτῆς καλέσας τῆς σχέσεως, τὸν δὲ ἀπὸ ψιλοῦ τοῦ ὀνόματος, ὡς πατέρα δοκοῦντα μέν, μὴ ὄντα δὲ πρὸς col. 2 ἀλήθειαν. διά τοι τοῦτο καὶ ἀμφοτέρους | ὁ Συμεὼν εὐλογεῖ. ἀπολιπὼν δὲ τὸν Ἰωσήφ, πρὸς Μαρίαν διαλέγεται, ὡς διακόνῳ γενομένῃ θείας βουλῆς· ἰδοὺ γάρ, φησιν, οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν καὶ εἰς σημεῖον ἀντιλεγόμενον· εἰς πτῶσιν μὲν τῶν ἀπιστησάντων δηλαδὴ τῇ θείᾳ τούτου οἰκονομίᾳ, ἀνάστασιν δὲ τῶν τὴν αὐτοῦ πίστιν προσδεξαμένων καὶ ἐκ τοῦ τῆς ἁμαρτίας ἀναστάντων πτώματος. τὸ δὲ εἰς σημεῖον ἀντιλεγόμενον τὸν σταυρόν φησι πάντως· οὐ παύονται γὰρ ζυγομαχοῦντες περὶ τῆς ἐνανθρωπήσεως τοῦ κυρίου, οἱ μὲν ἀληθῶς ἀνειληφέναι τοῦτον σῶμα καὶ σταυρω-

Rubro: v. 7 Οὐδὲν, v. 10 Τοίνυν, v. 19 πρε|Σβῦτα, v. 24 Καὶ τοῦ.
4 ἐπιλύσαι 7 ἀπάδων.
4 Ματθαῖος: 2, 13 sqq. 12 ἰδοὺ κτλ. Luc. 2, 25—30. 31 ἰδοὺ κτλ. Luc. 2, 34.

θῆναι καλῶς λέγοντες, οἱ δὲ φαντασίᾳ τινὶ τὴν διὰ τοῦ σώματος οἰκονομίαν πληρῶσαι ληρωδοῦντες αὐτόν, καὶ ἄλλοι μὲν χο||ϊκόν, f. 9v ἄλλοι δὲ ἐπουράνιον σῶμα φάσκοντες εἶναι τὸ προσληφθέν, καὶ οἱ μὲν προαιώνιον τὴν ὕπαρξιν, οἱ δὲ ἀπὸ τῆς παρθένου καὶ ἀχράντου Μαρίας τὴν ἀρχὴν ἐσχηκέναι. καὶ γὰρ καὶ ὁ θεῖος τοῦ κυρίου σταυρὸς τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστὶ κατὰ τὸν ἀπόστολον, τοῖς δὲ σωζομένοις ἡμῖν δύναμις Θεοῦ ἐστι.

4. Πῶς δέ σοι ληφθήσεται τῷ φιλολόγῳ ἀκροατῇ τὸ «Καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία»; τί ποτε ἄρα τὴν ῥομφαίαν ταύτην ὑποληπτέον; ἢ τὴν ἀμφιβολίαν, τὸν σκανδαλισμόν, τὸ πειρατήριον, τὸν κριτικὸν λόγον τῶν ἐνθυμήσεων, ἅπερ ἐν τῷ καιρῷ τοῦ σταυροῦ τὴν τῆς Μαρίας διῆλθε ψυχήν· καὶ σοῦ οὖν αὐτῆς, ἥτις καλῶς τὰ τοῦ κυρίου ἄνωθεν ἐδιδά|χθης, μετὰ τὴν col. ἀπόρρητον γνῶσιν τῆς θείας σαρκώσεως, μετὰ τὴν μεγάλην τῶν θαυμάτων ἐκείνων θέαν ἅψεταί τις σάλος, καὶ ἔσῃ διακρίνουσα καθ' ἑαυτὴν καὶ διαλογιζομένη πολλά· εἰκὸς δὲ καὶ τὴν λύπην διὰ τῆς ῥομφαίας ᾐνίξατο, ἥτις κατὰ τὸν καιρὸν τοῦ πάθους συνέσχεν αὐτήν, ἀγνοοῦσαν, ὡς καὶ αὐτοῦ θανάτου ἔσται περικρατὴς ὁ Χριστός· ἐπεὶ καὶ τοῦτο δηλοῦν βούλεται, τὸ ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί, ὅτι μετὰ τὰ σκάνδαλα δηλαδὴ ταῦτα, ὅσα γέγονεν ἐπὶ τῷ σταυρῷ τοῖς τε μαθηταῖς καὶ αὐτῇ τῇ παναγίᾳ παρθένῳ καὶ Θεοτόκῳ, ταχεῖά τις ἐπέλαμψε παρὰ Θεοῦ θεραπεία, τὰς ψυχὰς αὐτῶν γαλήνης πληροῦσα καὶ πρὸς τὴν αὐτοῦ βε||βαιοῦσα πίστιν τῷ μεγαλείῳ τῆς ἀναστάσεως. τοῦ ἀνθρωπίνου f. 10 οὖν τότε τὸ σαθρὸν διηλέγχθη, ἵνα τὸ ἰσχυρὸν τοῦ κυρίου δειχθῇ καὶ ὅτι, φησίν, οἱ λογισμοὶ πάντων δῆλοι καὶ σαφεῖς γενήσονται· τίς μὲν ὁ ἀγαπῶν αὐτὸν καὶ μέχρι θανάτου τὴν εἰς αὐτὸν ἀγάπην ἐνδεικνύμενος, τίς δὲ ὁ ἐπίπλαστον ἔχων τὴν εἰς αὐτὸν πίστιν καὶ σκανδάλου πληρωθεὶς διὰ τὸν σταυρόν· καὶ γὰρ καὶ ἡ Ἄννα ἡ πρεσβῦτις καὶ προφῆτις αὐτῇ τῇ ὥρᾳ ἐπιστᾶσα θερμῶς ἀνθωμολογεῖτο τῷ κυρίῳ καὶ ἐλάλει περὶ αὐτοῦ πᾶσι τοῖς προσδεχομένοις λύτρωσιν ἐν Ἱερουσαλήμ. ηὐχαρίστει, φησί, τὴν σωτηρίαν ὁρῶσα τοῦ τε κόσμου τοῦ τε Ἰσραὴλ τὸν Χριστὸν καὶ ἐλάλει περὶ αὐτοῦ, ὅτι αὐτὸς εἴη ὁ λυτρωτής, αὐτὸς ὁ σωτήρ.

5. Καὶ ταῦτα μὲν εἰς τοσοῦτον· σὺ δέ, ὦ | δέσποινα παρθένε col. 2 καὶ Θεοτόκε, τὸ πάντων τῶν χριστιανῶν καταφύγιον, ἡ ἀντίληψις, ἡ σκέπη τῶν εἰς σὲ πεποιθότων, τὸ περιχαράκωμα, τὸ περίτειχισμα

Rubro: v. 8 *Δέ σοι*, v. 16 *Καὶ τήν*, v. 32 *ηὐ|Χαρίστει*, v. 35 *Δέσποινα*.
2 *ληροδοῦντ(ες)* 8 *συλληφθήσεται?* 9 *ῥομφαῖα*
6 *κατὰ τὸν ἀπόστολον*: 1 Cor. 1, 18. 8 *Καὶ σοῦ κτλ.* Luc. 2, 35.

τῆς ἡμῶν πόλεως, τὸ βασιλέως ἡμῶν τοῦ πιστοῦ κραταίωμα, τὸ ἔρεισμα, τὸ στήριγμα τούτου, τὸ καύχημα, ἡ ὅλη πεποίθησις, μήκιστον αὐτῷ παράσχου τὴν ζωὴν καὶ ἀπήμονα, ἰλύος παθῶν ἐλευθέραν καὶ ἄχραντον, χώρας τῶν τῆς Ἄγαρ τὴν δούλωσιν, ἀΰλων μονῶν τὴν κατοίκησιν, ἥμερον καὶ συμπαθῆ τὸν κατὰ σάρκα σου υἱὸν καὶ Θεὸν ἡμῶν, καὶ ζώντων κριτὴν καὶ νεκρῶν, λειμώνων τῶν νοητῶν τὴν ἀπόλαυσιν, πάντων τῶν καλῶν τὴν μέθεξιν καὶ βασιλείας οὐρανῶν τὴν ἐπίτευξιν· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

f. 10ᵛ *Μηνὶ τῷ αὐτῷ γʹ.*

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΑΒΡΑΑΜΙΟΥ ΤΟΥ ΠΕΡΣΟΥ.

1. Ἄρτι τῆς Περσικῆς ἀπονοίας ὅλῳ θυμῷ χωρούσης κατὰ χριστιανῶν καὶ ὁ μακαρίτης Ἁβράμιος, ἐπίσκοπος τῆς πόλεως Ἀρβὴλ γεγονώς, συλλαμβάνεται καὶ τῷ τοῦ ἀρχιμάγου Ἀδερφορᾶ προσάγεται βήματι. καὶ αὐτίκα τοῦτον ἐκεῖνος, μεθ᾽ ὃ μάθοι ὅστις εἴη καὶ ὡς χριστιανὸς τὸ σέβας καὶ τῆς αὐτῶν προεστὼς ἐκκλησίας, *col. 2* ἁπαλῶς μὲν τὰ πρῶτα καὶ θωπευτικῶς, εἶτα καὶ θρασέως | καὶ αὐστηρῶς «Εἰ μή γε θύσεις» εἶπεν «ἡλίῳ καὶ τῷ φανοτάτῳ πυρί, ποικίλαις σου πρότερον, Ἁβράμιε, τὸ σῶμα κολάσεσι παραδούς, οὕτω σε καὶ πυρὶ παραδώσω· νῦν γοῦν, εἴ μοι πείθῃ τὰ λυσιτελῆ συμβουλεύοντι, τὸ προσταττόμενον ποίει· εἰ δ᾽ οὖν, ἀλλὰ γνώσῃ πάντως, ὡς οὐκ εἰς συμφέρον σοι τὰ τῆς ἀπειθείας προβήσεται».— «Οὐ λυσιτελῆ τυγχάνει τὰ κελευόμενα», πρὸς τὸν μάγον ὁ δίκαιος εἶπε, «ψυχοβλαβῆ δὲ καὶ Θεοῦ πόρρω βάλλοντα· τίς γὰρ νοῦν ἔχων *f. 11* ἄνθρωπος, τὸν ἡλίου καὶ πυρὸς λιπὼν || ποιητήν, τὰ ποιήματα προσκυνεῖν ἀνάσχοιτο; λοιπὸν ὃ βούλει ποίει· Ἁβράμιος γάρ οὔ σοι τὸ παράπαν πεισθείη, μὴ συμφερόντως διδάσκοντι. τί δέ μοι καὶ πῦρ ἀπειλεῖς τὸ ὁμόδουλον, ὃ νεύματι τοῦ ποιήσαντος ψυχρότερον χιόνος

Rubro: v. 2 *Μήκιστον*, v. 7 *Πάντων*, v. 13 *Ἄρτι* (auro), v. 24 *Τυγχάνει*.
11 In titulo *Ἀβρααμίου*, in vita ubique *Ἁβράμιος*.

φανήσεται; ἄλλως τε δὲ καὶ σῶμα μὲν ἴσως παραβλάψαι δυνήσῃ, ψυχὴν δὲ τὴν ἐμὴν οὐμενοῦν οὐδαμῶς· μὴ φοβηθῆτε γάρ, ὁ διδάσκαλος ἡμῶν ἐν τοῖς Εὐαγγελίοις φησίν, ἀπὸ τῶν ἀποκτεννόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ».

2. Τούτων οὕτω ῥηθέντων ὑπὸ τοῦ μάρτυρος ὁ ἀρχιμάγος τοσοῦτον αὐτὸν ταῖς μάστιξι κατὰ παντὸς τοῦ σώματος ἔκοψεν, ὡς αἵματος μὲν πληρωθῆναι | τὸ ἔδαφος, θέαμα δὲ τοῦτον ἐλέους col. 2 ἄξιον οἰκτίρμοσιν ὀφθαλμοῖς προκεῖσθαι καὶ συμπαθέσι ψυχαῖς. ἀλλ᾽ ὁ δεινὸς ἄρχων ἐκεῖνος, καίπερ οὕτως ἔχοντα βλέπων τὸν ἀθλητήν, ὅμως θυμομαχῶν πρὸς ἄρνησιν ἐξεκαλεῖτο Χριστοῦ καὶ θύειν ἡλίῳ κατηνάγκαζε καὶ πυρί. τοῦ δὲ χριστιανὸν ἑαυτὸν διαρρήδην ὁμολογοῦντος καὶ μὴ ἂν ἀρνήσασθαί ποτε τὸν Χριστὸν εἴ τι καὶ γένοιτο λέγοντος, ὁ ἀρχιμάγος τί τῶν δεινῶν οὐκ ἐπῆγεν αὐτῷ; μάστιξιν αὐτὸν ᾔκιζε, σιδηροῖς ὄνυξιν ἔξαινε, λαμπάσι πυρὸς κατέφλεγε, θηρίοις ὑπέβαλλε, πᾶν εἶδος αὐτῷ χαλεπῶν βασάνων ἐπέφερε, «Ποίησον», καθ᾽ ἑκάστην τῶν κολάσεων ἐπιλέγων, «Ἀβράμιε, τὸ τοῦ βασιλέως πρόσταγμα· θῦσον τοῖς θεοῖς καὶ ἀπαλλάττου τῶν τιμωρούντων σε». || ἐφ᾽ οἷς ὁ τοῦ Χριστοῦ μάρτυς «Καὶ σέ, τύ- f. 11v ραννε», εἶπε, «καὶ τὸν ἀσύνετον βασιλέα σου ὡς παρανόμους καὶ ἀσεβεστάτους περιφρονῶ καὶ τοὺς θεοὺς ὑμῶν διαπτύω καὶ καταρῶμαι, ὅτι ἐπικατάρατοί εἰσι καὶ αὐτοὶ καὶ οἱ σεβόμενοι αὐτούς. καὶ γὰρ ὅσῳ σπουδάζετε τὴν Χριστοῦ ποίμνην ἐκτρίψαι, τοσούτῳ πλέον καὶ κρατύνεται καὶ προστίθεται. ὑμεῖς δὲ προσταλαιπωρεῖτε ἀνηνύτοις ἐπιχειροῦντες καὶ παρὰ πᾶσιν ἐξουθενημένοι καὶ ἐστὲ καὶ ὁρᾶσθε».

3. Τούτων ἀκούσας ὁ τύραννος τῶν κατὰ βασιλέως καὶ θεῶν καὶ αὐτοῦ χαλεπωτάτων ὕβρεων, αὐτίκα θυμῷ ληφθεὶς ἀσχέτῳ ξίφει κελεύει διακοπῆναι τὴν αὐτοῦ κεφαλήν. ἤχθης οὖν, ὦ πανάριστε ἱερόμαρτυς, πρὸς τὸν τῆς τελειώσεως τόπον, Θέλαμον ἐγχωρίως ὀνομαζόμενον, | δέχῃ τὴν ποθεινὴν ἐκείνην σοι προθύμως τομὴν col. 2 καὶ χερσὶ Θεοῦ παραδίδως τὸ πνεῦμα, τρίτην ἀναβαίνοντος τοῦ Φεβρουαρίου μηνός. καὶ νῦν ταῖς οὐρανίαις ἐμφιλοχωρῶν σκηναῖς σὺν ἅπασι τοῖς δικαίοις, τῶν πολλῶν σου τούτων καμάτων ἀπολαμβάνεις τὰς ἀμοιβάς. χάρισαι οὖν ταῖς πρὸς Χριστὸν εὐκτικαῖς ἱκεσίαις σου, ὑπὲρ οὗ τὸν μαρτυρικὸν τοῦτον ἤνυσας δίαυλον, οὗ καὶ θύτης καὶ μύστης μυστικῶς ἐχρημάτισας, βασιλεῖ ἡμῶν τῷ

Rubro: v. 6 Οὕτω, v. 10 Ἐκεῖνος, v. 19 Ἐφ᾽ οἷς, v. 27 Ὁ τύραννος, v. 29 Οὖν.
3 ἀποκτε|νόντων 32 παραδίδος
2 μὴ φοβηθῆτε κτλ. Matth. 10, 28 (ubi legitur μὴ φοβεῖσθε).

ὀρθοδόξῳ καὶ φιλομάρτυρι μονῶν ἀϊδίων τὴν κατοικίαν, ἵλεων αὐτὸν καὶ συμπαθῆ καὶ ἥμερον τὸν ἀδέκαστον καὶ φοβερὸν δικαστήν, χορείας ἀγγέλων τὴν ξυναυλίαν, ἀγαθῶν ἀνεκλείπτων τὴν μετουσίαν, ἡλίου δόξης τὴν φαιδρὰν κληρουχίαν, παντὸς τέρποντος ἀθα- f. 12 νάτου τὴν δόσιν καὶ τὸν || φωτισμὸν τῆς θείας λαμπηδόνος· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μηνὶ τῷ αὐτῷ δ'.

ΜΑΡΤΥΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΠΑΠΙΑ, ΔΙΟΔΩΡΟΥ ΚΑΙ ΚΛΑΥΔΙΑΝΟΥ.

1. Δέκιος ὁ δυσσεβὴς βασιλεύς, διωγμὸν κατὰ χριστιανῶν μέγαν κεκινηκώς, διατάγματα κατὰ πᾶσαν ἔπεμψε τὴν ὑπὸ Ῥωμαίοις ἀρχήν, ὥστε τοὺς εὑρισκομένους χριστιανοὺς καὶ μὴ θύειν πειθομένους εἰδώλοις μετὰ πολλὰς τὰς βασάνους τῇ διὰ ξίφους ὑπάγεσθαι τελευτῇ.

Ταῦτα τοίνυν τὰ παράνομα διαγγέλματα καὶ Πόπλιος ὁ Παμ- col. 2 φυλίας | δεξάμενος ἡγεμὼν σπουδὴν ἔθετο τὴν βασιλέως θεραπεῦσαι μανίαν καὶ παραυτίκα στρατιώτας μὲν ἀνὰ πᾶσαν ἐκείνην ἐξαποστείλας τὴν χώραν ἐκέλευσε τοὺς εὑρισκομένους χριστιανοὺς συλλαμβάνοντας τῷ βήματι τούτου προσάγειν· αὐτὸς δὲ τὴν τῶν Ἀτταλέων πόλιν καταλαβὼν τῆς ὁμοίας ἐρεύνης καὶ ἐξετάσεως f. 12v εἴχετο καὶ εἴ πού τινας εὕρισκε τῶν πιστῶν, μετὰ πλείστας τὰς || τιμωρίας καὶ τῷ διὰ ξίφους καθυπῆγε θανάτῳ.

2. Τότε τοίνυν συλλαμβάνονται καὶ οἱ καλλίνικοι τοῦ Χριστοῦ στρατιῶται Παπίας, Διόδωρος καὶ Κλαυδιανὸς καὶ τῷ τοῦ παρανόμου βασιλέως παρανομωτάτῳ ἄρχοντι κατὰ τὴν δηλωθεῖσαν πόλιν προσάγονται. καὶ ὃς πρῶτα μὲν τίνες τε εἶεν καὶ ὅθεν καὶ τίνα τὰ τούτων ὀνόματα διηρώτα, εἶτα καὶ πρὸς θυσίαν αὐτοὺς ἐξεκάλει· ὡς δὲ μηδὲν οἱ ἀήττητοι πρὸς τὰς ἐρωτήσεις ἔλεγον, ἀλλ' ἀκλινεῖς εἱστήκεσαν σιωπῶντες καὶ μηδὲν ὅλως τῶν ἐκείνου φροντίζοντες, ὁ δυσσεβὴς κρεμασθῆναι τούτους κελεύει· «Ἐμοί» φησι

Rubro: v. 1 *Μονῶν*, v. 4 *Παντός*, v. 11 *Δέκιος*, v. 16 *Τά*, v. 24 τό|*Τε*.
21 ἀττάλ(εων) 22 τινὰς 25 στρατιῶται 27 τίνες τὲ
28 διηρῶτα

λέγων «οὐ λαλεῖν βούλεσθε; ἢ οὐκ οἴδατε, ὡς οὐ τοῦτο ποιοῦντας τιμωρίαις ὑμᾶς χαλεπαῖς καθυποβαλῶ; εἴπατε τοίνυν τὸ τάχος, πρὶν ἅψομαι | [col. 2] τῶν σαρκῶν ὑμῶν, τίνα τὰ ὀνόματα καὶ τίνα τὰ ἐπιτηδεύματα καὶ ὁποῖον ὑμῖν τὸ σέβας;» οἱ δὲ ἅγιοι ὡς ἐξ ἑνὸς ἀπεκρίθησαν στόματος· «Μιαρῷ ἄρχοντι καὶ δαιμόνων ἐκδικητῇ προσλαλεῖν οὐμενοῦν συμφέρον ἡγούμεθα οὐδὲ δίκαιον κρίνομεν· πλὴν οὐ πτοούμενοί σου τὰς ἀπειλάς, ἀλλὰ διὰ τὸν παρεστῶτα ὄχλον λέξομεν· χριστιανοὶ ἡμεῖς, ἄρχων, καὶ Χριστοῦ δοῦλοι τυγχάνομεν καὶ αὐτῷ μόνῳ προσκυνεῖν δεδιδάγμεθα καὶ πλὴν αὐτοῦ θεὸν ἄλλον οὐκ οἴδαμεν».

3. Καὶ ὁ τύραννος «Τὰς ἐκ γενετῆς ὑμῶν εἴπατε κλήσεις» ἔφη «καὶ μὴ μωραίνειν ἐθέλετε καὶ τὰ ἐπιτηδεύματα». καὶ ὁ θαυμαστὸς πρὸς τοῦτο Παπίας «Ἐγὼ μὲν» εἶπε «Παπίας παρὰ τῶν τεκόντων ὠνόμασμαι, Διόδωρος οὗτος κἀκεῖνος Κλαυδιανός, κτηνοτρόφοι τὸ ἐπιτήδευμα καὶ Χριστοῦ, || [f. 13] ὥσπερ εἴρηται, δοῦλοι· καὶ μή τινας διὰ ταῦτα τῶν ἀγεννῶν καὶ ἀμυήτων ἢ ἁπλοϊκῶν πρὸς τὴν τοῦ Χριστοῦ πίστιν ἡμᾶς ὑπολάμβανε κἀντεῦθεν συλήσειν ἔλπιζε· στερροὶ γὰρ ἡμεῖς καὶ ἀμετάθετοι τὴν ὁμολογίαν· τὸν δέ γε βίον τοῦτον ἐπανηρήμεθα, τὴν μεθ' ὑμῶν ἀποστρεφόμενοι συναναστροφήν».

Καὶ ὁ τύραννος· «Ποίας τυγχάνετε πόλεως ἢ ποίας κώμης;» — «Τί ζητεῖς» εἶπον οὗτοι, «ποίας ἐξορμώμεθα κώμης ἢ καὶ πόλεως; τί γάρ σοι ταῦτα συντελέσει πρὸς τὸν σκοπόν; χριστιανοὶ ἐσμέν, εἴπομεν καὶ πάλιν λέγομεν, χριστιανοὶ καὶ Χριστοῦ δοῦλοι. ποίει τοιγαροῦν ὃ βούλει· Χριστὸς γὰρ ἡμᾶς ἐξαπέστειλε ματαίας σου τὰς ἐπινοίας καὶ ἀσθενεῖς ἀπελέγξαι· ὃς καὶ σύνεστιν ἡμῖν ἀοράτως καὶ θάρσος ἐντίθησι ταῖς ἡμετέραις ψυχαῖς».— | [col. 2] «Καὶ ὄντως» εἶπεν ἐκεῖνος «ὁ Χριστὸς ὑμᾶς βιαίως θανεῖν ἐξαπέστειλε καὶ τοιαύταις ἀμείβεται χάρισι τοῖς πεπιστευκόσιν αὐτῷ· καλά γε ὑμῶν τὰ δῶρα καὶ τοῖς πᾶσιν ἐπέραστα».

Καὶ ὁ ἅγιος Παπίας «Καὶ λίαν» ἔφη «καλά· διὰ γὰρ τοὺς μικροὺς τούτους πόνους καὶ κόπους αἰωνίας τοῖς εἰς αὐτὸν πιστεύουσι παρέχει τὰς ἀντιδόσεις καί, ἵνα μὴ μηκύνω τὸν λόγον, ταῦτα, ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη· τί γάρ; εἰ καὶ μὴ ταῖς βασάνοις σου ταύταις τὰς ψυχὰς ἀποθήσομεν, οὐκ ἀποθανούμεθα πάντως; τίς οὖν οὐκ ἂν πρόοιτο νοῦν ἔχων ἄνθρωπος τὴν μιαρὰν ταύτην ζωὴν καὶ ἣν θάνατος ὀψέ ποτε διαδέξεται τῆς ἀτελευτήτου καὶ μακαρίας»;

Rubro: v. 11 *Καί*, v. 20 *Τύραννος*, v. 30 *Παπίας*.
33 οὐκ οἶδε
32—34 ἃ ὀφθαλμὸς κτλ. 1 Cor. 2, 9.

f. 13v *4. Τούτων ὁ τύραννος ἀ||κούσας τῶν λόγων καὶ τὸν θυμὸν ἀναζέσας κελεύει κρεμασθέντας τοὺς μάρτυρας ξέεσθαι. ἐπὶ τοσοῦτον οὖν οἱ κολασταὶ τὰς τῶν ἁγίων κατέκοψαν σάρκας, ὡς περιλιμνασθῆναι τὸ ὑποκείμενον ἔδαφος τοῖς αἵμασι τούτων καὶ θέαμα τούτους ἐλεεινὸν τοῖς πᾶσιν ὁρᾶσθαι καὶ δακρύων ἄξιον. ἐπὶ πολὺ τοίνυν οὕτως ἀλγυνομένων αὐτῶν καὶ τῶν δημίων εἰς ἅπαν ἠτονηκότων, ὁ θηρίον μᾶλλον ἢ ἄνθρωπος ἄρχων ἑτέρους ἀκμαίους τὴν ἰσχὺν εἰς τὸ κολάζειν κατέστησε. καὶ ἦν ἰδεῖν σάρκας ἀποσπωμένας καὶ καταπιπτούσας εἰς γῆν, ὀστᾶ γυμνωθέντα τούτων, φλέβας ἐκραγείσας καὶ κρουνοὺς αἵματος ἐκβλυζούσας. ὡς δὲ ταῦτα πάντα*
col. 2 *γενναίως ἑώρα τοὺς μάρτυρας | ὑπομένοντας καὶ πρὸς μηδὲν ἐνδιδόντας τῶν παρ' ἐκείνου γεγενημένων, ξίφει κελεύει τὰς παντίμους αὐτῶν κεφαλὰς ἐκτμηθῆναι.*

5. Οὗ δὴ γεγονότος, ὦ πανθαύμαστοι μάρτυρες καὶ θεράποντες Χριστοῦ γνησιώτατοι, καὶ χερσὶ μὲν αὐτοῦ τὰ ὑμῶν παραθέμενοι πνεύματα, τῇ γῇ δὲ τὰ σώματα καταλείψαντες, ἃ χεῖρες πιστῶν καλῶς συνέστειλάν τε καὶ ἔθαψαν, νῦν οἰκεῖτε φαιδρῶς τὰς ἀθανάτους σκηνάς· γένοισθε τοιγαροῦν ὑπὲρ βασιλέως ἡμῶν τοῦ ὀρθοδόξου καὶ φιλομάρτυρος πρέσβεις εἰς Θεὸν θερμότατοι, χαριζόμενοι τούτῳ μῆκος ζωῆς ἀπήμονος, ἴασιν ψυχῆς τε καὶ σώματος, χρηστότητα Θεοῦ καὶ νίκας κατ' ἐναντίων, ἀύλου δόξης καὶ βασιλείας
f. 14 *τὴν μέθεξιν, ἡλίου τοῦ νοητοῦ τὴν ἔλλαμψιν,||πάντων τῶν ἐν οὐρανοῖς καλῶν τὴν μετάληψιν καὶ βασιλείας Θεοῦ τὴν ἐπίτευξιν· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.*

Μηνὶ τῷ αὐτῷ ε'.

ΜΑΡΤΥΡΙΟΝ ΤΗΣ ΑΓΙΑΣ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΑΓΑΘΗΣ.

1. Ἡ περικαλλὴς μάρτυς καὶ τῆς ἀγαθῆς μερίδος Ἀγάθη πατρίδα μὲν ἔσχε τὴν Σικελίαν, πόλιν περιφανῆ τῶν Πανορμιτῶν, γένος λαμπρὸν καὶ ἐπίσημον καὶ πλούτῳ κομῶντας τοὺς τεκόντας πολλῷ. εἶχε δὲ καὶ τὸ κάλλος ὡραῖον εἴπερ τις ἄλλη τῶν κατ' ἐκεῖνο

Rubro: v. 1 **Τούτων**, v. 10 **Ταῦτα**, v. 14 **Δή**, v. 20 **Μῆκος**, v. 22 **Πάντων**, v. 27 **Ἡ**.

17 *οἰκεῖται* 20 *χρηστότα*.

καιροῦ γυναικῶν· συνεξήνθει γὰρ τούτῳ καὶ τὸ τῆς ψυχῆς μᾶλλον | καὶ οἷον διηύγαζε ταῖς τε κατὰ Θεὸν ἀρεταῖς καὶ τοῖς ἄλλοις col. 2 *καλοῖς.*

2. Κατὰ γοῦν τοὺς χρόνους Δεκίου τοῦ δυσσεβοῦς, ἡγεμονεύοντος Κυντιανοῦ τῆς Σικελῶν ἐπαρχίας, συλλαμβάνεται παρὰ τῶν διωκτῶν καὶ τῷ βήματι τούτου προσάγεται. ἦν γὰρ καὶ λόγῳ καὶ βίῳ περίβλεπτος ἡ παρθένος. πρὸς ἣν ἀποβλέψας ὁ ἡγεμὼν ἔπαθέ τι τὴν ψυχήν, τῷ κάλλει|| ταύτης, ἀλλὰ δὴ καὶ τῷ πλούτῳ τρωθείς. f. 14v *ἔνθεν τοι καί τινι γυναικὶ παραδίδωσι ταύτην, Ἀφροδισίᾳ τὴν κλῆσιν, τῆς Κατάνης κατοίκῳ. ταύτῃ γὰρ ὁ ἡγεμὼν ἐνεδήμει· δύο θυγατέρων αὕτη ἐγνωρίζετο μήτηρ· τί διασκοπήσας καὶ τί βουλευσάμενος; ἵν' ὑπ' αὐτῶν λόγοις ἀπατηλοῖς χαυνωθεῖσα ἐνδόσιμος πρός τε τὰς ἀλόγους θυσίας καὶ κατὰ σκοπὸν αὐτῷ γένηται. ἀλλ' εἰς κενὸν ἤλπισεν ὁ ἀναιδής. «Μή μου» γὰρ ἔφησε πρὸς αὐτὰς ἡ γενναία «τὸν λογισμὸν ἐλπίζετε συλήσειν ποτέ· τεθεμελίωται γὰρ ἐπὶ πέτραν ἄσειστον τὸν Χριστόν, οὗ χωρισθῆναί με τὸ παράπαν ἀδύνατον· μὴ οὖν κάμνετε, γυναῖκες, κενὰ μελετῶσαι καὶ μάταια· λόγοι γὰρ ὑμῶν καὶ τεχνάσματα πτηνοῖς | ὁμοίως ἀπέπτησαν». ταῦτα λέγουσα πρὸς* col. 2 *αὐτὰς δακρύων ἐπλήρου τὴν ὄψιν.*

Ἡ τοίνυν Ἀφροδισία τὸν ἡγεμόνα καταλαβοῦσα «Μὴ οἴου» πρὸς αὐτὸν ἔφη «τὴν κόρην ταύτην ἢ ἀγαθῶν ἐπαγγελίαις ἢ κολάσεων ἀπειλαῖς μεταπείσειν ποτέ· λίθου γὰρ φύσιν πρότερον ἄν τις ἁπαλῦναι δυνήσεται, ἢ ταύτην μετακαλεῖν τοῦ σκοποῦ».

3. Πληροῦται θυμοῦ τούτων ἀκούσας Κυντιανὸς καὶ παραυτίκα τῷ βήματι ταύτην παρίστησι καὶ «Λέγε μοι» φησί, «γύναι, τὸ γένος καὶ τὴν ἀναστροφὴν καὶ τὴν πίστιν αὐτήν». καὶ ἡ ἁγία· «Περιφανοῦς ἐγὼ γένους, ἡγεμών, καὶ πλούτῳ λαμπρά».—«Καὶ ἵνα τί μὴ καὶ τὸ ἦθος εὐγενὲς ἔχεις» φησὶν ὁ τύραννος, «εὐσεβεῖς δὲ καὶ τὰ πρὸς θεούς, ἀλλὰ δουλικῷ τῷ σχήματι περιάγεις;»—«Ὅτι καὶ δούλη» || φησὶν ἡ μάρτυς «Χριστοῦ πάντως ἐγώ, ὅπερ πάσης ἐμοὶ f. 14r *δόξης, ἐλευθερίας τε καὶ εὐγενείας μεῖζόν ἐστιν. οὐδὲ γὰρ ἔστιν ἄλλως ἐλεύθερον εἶναί τινα, μὴ δοῦλον πρότερον γεγενημένον Χριστοῦ». καὶ ὁ Κυντιανός· «Οὐκοῦν ἡμεῖς οὐκ ἐλεύθεροι, μὴ ὄντες δοῦλοι Χριστοῦ;»—«Ναί» φησὶν ἡ καλλίνικος, «εὖ εἶπας· εἰς τοσαύτην γὰρ δουλείαν καὶ αἰχμαλωσίαν ἐλεύθεροι γεγονότες ὑπήχθητε, ὡς μὴ μόνον ἁμαρτίας ὑμᾶς, ἀλλὰ καὶ βδελυκτῶν ξοάνων ἢ μᾶλλον εἰπεῖν δαιμόνων δούλους γενέσθαι».*

Rubro: v. 4 *Κατά,* v. 20 *Ἀφροδισία,* v. 24 *Πληροῦται,* v. 28 *Τὸ ἦθος,* v. 33 *Κυν|Τιανός.*

22 *πότερον* 25 *γῦναι* 31 *γάρ ἐστιν* 32 *εἶν(αι) τινά.*

4. Καὶ ὁ ἡγεμὼν «Τῆς τοσαύτης» ἔφη «φρενοβλαβείας ἀποστᾶσα τοῦτο δίδαξον· τίνος χάριν τὸ σέβας τῶν θεῶν διαπτύεις;» — «Μὴ θεῶν» ἡ μάρτυς εἶπεν «λέγε, ἀλλὰ δαιμόνων, ὥσπερ δὴ καὶ εἰσίν». — «Οὐ συνετὸν ἀσπάζῃ λογισμὸν» ὁ τύραννος ἔφη «καὶ col. 2 ἐνυβρίσεις πάντως | σου τὴν εὐγένειαν, εἰθ' οὕτω μετὰ πολλὰς βασάνους θύσεις καὶ τοῖς θεοῖς, Διὶ καὶ Ἀφροδίτῃ τοῖς ἀθανάτοις». — «Μή σοι εἴη καλῶς» ἡ μάρτυς εἶπεν, «ἀνόσιε, ἵν' ἐγὼ θύσω ποτὲ τοῖς βδελυκτοῖς σου ξοάνοις· γένοιτο γάρ σου ἡ γυνὴ ὡς Ἀφροδίτη καὶ σὺ καθὰ δὴ Ζεὺς ὁ θεός σου».

5. Τούτων ἀκούσας ὁ δυσσεβὴς ῥαπίζεσθαι ταύτην ἐκέλευσεν εἰς τὸ πρόσωπον, «Ὕβριν» λέγων «τῷ ἄρχοντι ὑπερηφάνῳ στόματι μὴ ἐπίφερε». — «Καὶ μὴν οὐ βούλει» πρὸς αὐτὸν ἔφησεν ἡ καλλίνικος «σύμψηφος τοῖς σοῖς γενέσθαι θεοῖς; ἐκπλήττομαί σου τὴν ἄνοιαν· πῶς ὕβριν ἡγήσω τοῦτο καὶ μὴ θέλεις τῆς τῶν θεῶν σου ζωῆς μετασχεῖν, ὥσπερ ηὐξάμην σοι; εἰ δὲ τὸ σύγκληρος εἶναι τούτοις οὐ βούλει, μυσαροὺς αὐτοὺς εἰδὼς καὶ λίαν αἰσχρούς, f. 15v δεῦρο || σὺν ἐμοὶ καλῶς ποιῶν πίστευσον εἰς Χριστόν, δι' οὗ ὁ κόσμος σέσωσται καὶ ζωογονεῖται τὸ πᾶν». καὶ ὁ τύραννος «Ταύτας» εἶπε «τὰς περιττολογίας καταλιποῦσα θῦσον, Ἀγάθη, τοῖς θεοῖς· εἰ δ' οὖν, ἀλλὰ ποικίλαι σε κολάσεις ἐκδέξονται». καὶ ἡ μάρτυς «Οὐδὲν τούτων χωρίσει με τῆς ἀγάπης» εἶπεν «τοῦ Χριστοῦ. αὐτὸς γάρ μοι παρίσταται βοηθὸς καὶ ἀνωτέραν με θήσει θηρίων καὶ πυρὸς καὶ μαστίγων καὶ τῶν ἄλλων κακῶν». ἤκουσεν ὁ ἀνόσιος καὶ τῇ φυλακῇ τὴν μάρτυρα δίδωσι. τῆς δὲ ἐπιούσης ἄγει πάλιν ταύτην ἐπὶ τοῦ βήματος καὶ «Ἕως τίνος» λέγει «μὴ τὴν σωτηρίαν σου πραγματεύσῃ, γύναι, θυσίαν θεοῖς προσάγουσα καὶ τῶν ἐπηρτη- col. 2 μένων σοι ῥυομένη δεινῶν;» καὶ ἡ καλλίμαρτυς «Πρὸ πολ|λοῦ» ἔφη «τὴν σωτηρίαν ἐγὼ τὴν ἐμὴν πεπραγμάτευμαι, ἥτις ἐστὶ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος· θυσίαν δὲ πρότερον αὐτὸς προσοίσεις Χριστῷ, ἢ τοῖς ἀσεβέσι σου θεοῖς ἐγώ».

6. Τότε κελεύει Κυντιανός, καὶ ἀναρτᾶται τῷ ξύλῳ καὶ σπαθίζεται δεινῶς τὰς σάρκας ἡ μάρτυς, εἶτα τέμνεται, φεῦ, τὸν μαστὸν ἀπηνῶς· ἐφ' ᾧ καὶ δριμυτέρας αἰσθομένη τῆς ἀλγηδόνος, «Ἀσεβέστατε» εἶπε «καὶ ὠμότατε τύραννε, οὐκ ᾐδέσθης εἰς θήλειαν διαπραξάμενος τοῦτο; οὐκ ἐκ μαστοῦ ποτε καὶ αὐτὸς κεκοινώνηκας, ὡς οὐκ ὤφελε, γάλακτος;» ὠργίσθη τοῖς λόγοις ὁ βέβηλος καὶ τῇ φυλακῇ τὴν μάρτυρα δίδωσι, μηδένα ἰατρῶν κελεύσας συγχωρηθῆναι

Rubro: v. 1 **Ἡγεμών,** v. 4 **Συνετόν,** v. 7 **Μή** σοι, v. 10 ἀ|**Κούσας,** v. 18 τύ|**Ραννος,** v. 24 **Ἐπιούσης,** v. 27 **Καλλίμαρτυς,** v. 31 **Τότε,** v. 36 **Τοῖς.**

26 γῦναι 35 ποτὲ

21. Οὐδὲν τούτων κτλ. cf. Rom. 8, 35.

πρὸς αὐτὴν εἰσελθεῖν, μὴ ἄρτον αὐτῇ, μὴ ὕδωρ δοθῆναι|| f. 16 τὸ σύνολον. περὶ μέσας οὖν νύκτας ὁ πρωτόκλητος αὐτῇ φαίνεται τῶν ἀποστόλων Πέτρος ἱερεῖ παρόμοιος, παῖδα προηγούμενον ἔχων, λαμπάδα φωτὸς κατέχοντα, ναὶ δὴ καὶ ἰατρείας δῆθέν τινας διαβαστάζων ὡς ἰατρός, καὶ τὸν μαστὸν ὑποδεῖξαι κελεύων· ὡς οὖν μὴ δέον ἔλεγεν εἶναι δῆλα τούτῳ τὰ παρθενικὰ μέλη γενέσθαι, μήτε δὲ φάρμακόν τι τεθῆναι τῷ ἑαυτῆς σώματι, τὸν Χριστὸν ἰατρὸν πλουτοῦσα καὶ θεραπευτὴν ταχύτατον, ἐκεῖνος «Κἀγὼ τούτου δοῦλός εἰμι καὶ ἀπόστολος» ἔφη «καὶ παρ' αὐτοῦ σοι τὴν τοῦ μαστοῦ θεραπείαν ἀπέσταλμαι δοῦναι· πλὴν ἴδε, ὑγιὴς γέγονας, μηδέν σοι πονήρως ἔχοντος αὐτοῦ». καὶ ταῦτα εἰπὼν ἀπέπτη τῶν ὀφθαλμῶν αὐτῆς. ἡ δὲ κατανοήσασα ἑαυτὴν | col. 2 τεθεραπευμένον τὸν μαζὸν καὶ ὑγιῆ ὡς τὸ πρότερον εἶδεν, ἐφ' ᾧ καὶ οὐ διέλιπεν εὐχαριστοῦσα Θεῷ καὶ τῷ ἀποστόλῳ καὶ πρώτῳ τῶν αὐτοῦ μαθητῶν. φῶς οὖν περὶ αὐτὴν δι' ὅλης ἦν τῆς νυκτὸς ἐκείνης.

7. Μετὰ δὲ τετάρτην ἡμέραν τῷ βήματι ταύτην παρίστησι πάλιν ὁ ἄρχων καὶ «Μέχρι τίνος ἐμμένεις» λέγει πρὸς αὐτὴν «τῇ ὀλεθρίῳ ἐνστάσει σου καὶ μὴ προσιοῦσα θύεις;» ἡ δὲ ἁγία «Πάντα σου ταῦτα» ἔφη «ῥήματα μάταια, τύραννε, καὶ πάντα σου τὰ προστάγματα παράνομα, βέβηλε· τίς γὰρ οὕτως ἀνόητος λίθους καὶ ξύλα προσκυνεῖν ἀνάσχοιτο, καταλιπὼν ζῶντα Θεόν, τὸν μεγάλα τέρατα ποιεῖν καὶ σημεῖα δυνάμενον· ἴδε γάρ· οὐχ οὗτος, ὃν αὐτὸς ἐξέ||κοψας f. 16v μαστόν; κατάμαθε, τίς ὁ ἰατρὸς καὶ πόση τούτῳ δύναμις καὶ ἰσχύς; τοῦτον οὖν καταλιποῦσα τὸν ἐμὸν Χριστὸν καὶ δεσπότην θύσω δαίμοσιν ἐγὼ βεβήλοις; οὐ μὰ τοὺς ὑπὲρ εὐσεβείας ἀγῶνας καὶ τὰ παλαίσματα». καὶ ὁ ἡγεμὼν αὐτίκα κελεύει, καὶ ὄστρακος ὑποστρώννυται καὶ ἄνθρακες πυρὸς ἐπιτίθενται καὶ τούτων ἄνωθεν ἡ καλλίνικος ἐφαπλοῦται. καὶ γίνεται σεισμὸς κατὰ τὸν τόπον μέγας καὶ μέρος τι πεσὸν τῶν οἰκοδομῶν κατέχωσε τὸν τοῦ ἄρχοντος σύμπονον, Σιλουανὸν οὕτω καλούμενον, καὶ τὸν σύμβουλον αὐτῷ Φαλκώνιον. οὐ μὴν ἀλλὰ καὶ πᾶσα τῶν Καταναίων ἡ πόλις πολὺν ὑπέστη τὸν κλόνον, ὥστε γνόντας τοὺς πολίτας διὰ τὴν μάρτυρα ταῦτα τούτοις συμβῆναι | col. 2 τάχος καταλαβεῖν τὸ πραιτώριον καὶ τὸν ἄρχοντα φόβοις ἐκταράξαι καὶ ἀπειλαῖς· τὸν δὲ φόβῳ περιληφθέντα τῇ φυλακῇ καὶ αὖθις τὴν καλλίνικον παραπέμψαι· ἥτις καὶ τὴν φυλακὴν εἰσελθοῦσα εὐχαῖς ἐδυσώπει τὸ θεῖον τὸν παρόντα βίον ἀλλάξαι καὶ πρὸς τὴν ἀμείνω μεταβῆναι ζωήν. ὃ δὴ καὶ γίνεται,

Rubro: v. 5 *Ὡς οὖν*, v. 12 *Ἡ δέ*, v. 26 *Καὶ ὁ*
8 *δοῦλος εἰμὶ* 31 *κατανέων*

καὶ τὴν ἁγίαν ἡ μάρτυς χερσὶ τοῦ πλάσαντος ψυχὴν ἀποτίθεται. τὸ δὲ σῶμα ταύτης τὸ τίμιον πιστῶν περιστείλασαι χεῖρες σεμνῶς ἐν τόπῳ τιμίῳ κατέθεντο.

8. Νεανίσκος δέ τις, πλῆθος νεωτέρων ἑπόμενον ἔχων, περικαλλὴς καὶ λαμπρὸς τὴν μορφήν, ἄγνωστος ὁραθεὶς τοῖς πολίταις, ἔνθα τὸ τῆς ἁγίας σῶμα τέθειται ἀφικόμενος, πλάκα μαρμάρου f. 17 πρὸς τὸν τάφον || ἐκόμισε, γράμματα ταύτῃ διατυπωσάμενος οὕτως· «Νοῦς ὅσιος, αὐτοπροαίρετος, τιμὴ εἰς Θεὸν καὶ πατρίδος λύτρωσις». ἣν πρὸς τῇ κεφαλῇ τῆς μάρτυρος θέμενος ᾤχετο, μή πού τινι τῶν πολιτῶν ἔκτοτε θεαθείς. ὅθεν καὶ ἀγγέλων ἀρχηγὸν αὐτὸν σὺν τάγματι ἁγίῳ τὸ πλῆθος ὑπενόησαν εἶναι, ὥσπερ ἄρα καὶ ἦν, τιμῶντος τοῦ Θεοῦ κἀν τούτῳ τὴν μάρτυρα.

9. Ὁ γοῦν ἀνόσιος Ἀκυντῖνος κατὰ πόδας εὗρε τὴν ἄμυναν. ποταμὸν γάρ τινα διαπερῶν, Ψίμυθος αὐτῷ ὄνομα, λακτίσμασιν ἵππων συντρίβεται καὶ τοῖς ὕδασι δίδοται καὶ οὕτως ἐν κακῷ τὴν ψυχὴν ἀποτίθεται. γίνεται δέ τι καὶ θαῦμα περὶ τὴν Κατάνην, τῆς col. 2 μάρτυρος ὑπεμφαῖνον τὴν δύναμιν· τῆς Αἴτνης τὸ πῦρ | ποταμοῦ δίκην κατὰ τῆς πόλεως οἱ πολῖται δεινῶς ὁρῶντες φερόμενον ὅμως, καίπερ τὰ Ἑλλήνων καὶ τιμῶντες καὶ σέβοντες, τὴν ἐπικειμένην τῷ τῆς μάρτυρος τάφῳ χλαμύδα λαβόντες κατὰ πρόσωπον ἔστησαν τοῦ πυρός· καὶ ἦν ἰδεῖν τεῖχος ὡς ἄλλο ταύτην, ἀποτρέπον τὸ πῦρ, τὸ παράδοξον, καὶ τὴν ῥύμην ὅλως ἀναχαιτίζον αὐτοῦ. πέμπτη τοῦ Φεβρουαρίου μηνὸς ἐνειστήκει τὸ τηνικαῦτα, ἥτις δή σου καὶ τὸ μαρτύριον πρό γε χρόνων εἶδέ τινων, Ἀγάθη τρισόλβιε.

10. Καὶ νῦν τῷ δεσποτικῷ θρόνῳ παρισταμένη καὶ τῶν ἀγώνων κομιζομένη τὰς ἀμοιβάς, αἴτησαι καὶ βασιλεῖ ἡμῶν τῷ φιλομάρτυρι καὶ τὰ πρὸς ἡμᾶς εὐμενεῖ μυριάδων ὁλκάδων Ἀγαρηνῶν τὴν περι- f. 17v τροπήν, || ἰσχύος αὐτῶν καὶ τοῦ θράσους κατάλυσιν, χώρας ὅλης αὐτῶν τὴν ἀπάλειψιν, ἀπείρων αὐτῶν στρατευμάτων τὴν ἐξολόθρευσιν, ἥσυχον ὡς ἂν τὸ βασίλειον ἕξοι, λαμπρὸν ἐν νίκαις καὶ col. 2 τροπαίοις μεγίστοις, πᾶσαν παράσχου τῶν | καλῶν τούτῳ δόσιν καὶ τῆς τάξεως τῶν ἐκλεκτῶν τὴν στάσιν· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Rubro: v. 4 **Πλῆθος**, v. 13 **Ἀκυντῖνος**, v. 25 **Νῦν**, v. 27 **Μυριάδων**, v. 31 **Πᾶσαν**.

6 τέθηται 10—11 συντάγματι 18 πολίται 24 εἶδε τινῶν

Μηνὶ τῷ αὐτῷ ς΄.

ΜΑΡΤΥΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΧΙΛΙΩΝ ΚΑΙ ΤΡΙΩΝ ΜΑΡΤΥΡΩΝ ΤΩΝ ΕΝ ΝΙΚΟΜΗΔΕΙΑι ΜΑΡΤΥΡΗΣΑΝΤΩΝ.

1. [Δ]ιοκλητιανοῦ τοῦ δυσσεβεστάτου καὶ ἀπηνοῦς διωγμὸν κινήσαντος κατὰ τῶν εἰς Χριστὸν πιστευόντων ὁ μακαρίτης | ἐπίσκοπος col. 2 *Θεόπομπος καὶ Θεωνᾶς ὁ μάγος μετά γε τῶν τεσσάρων προτικτόρων, οἷς ὁ θαυμαστὸς ἐπίσκοπος Ἀλεξανδρείας Πέτρος εἰς τήρησιν παρεδόθη, καὶ τῶν αὐτοῖς συνοικουσῶν γυναικῶν τὸν μαρτυρικὸν διὰ Χριστὸν ὑπελθόντες || ἀγῶνα τῆς νίκης τοὺς στεφάνους* f. 18 *ἠνέγκαντο. οἱ τούτων οὖν τῶν προτικτόρων ὑπηρέται καὶ ὅσοι κατ᾽ οἴκους ἐτύγχανον (εὐγενεῖς γὰρ οἱ ἄνδρες ἐγνωρίζοντο καὶ τῶν πλούτῳ κομώντων), γνώμην ἀγαθὴν εἰς νοῦν εἰληφότες καὶ μία, ὡς ἂν εἴποι τις, καὶ ψυχὴ γενόμενοι καὶ βουλή, «Στῶμεν» εἶπον εἰς ἀλλήλους, «ὦ ἄνδρες, ἑδραῖοι τῇ εἰς Χριστὸν πίστει καὶ ἀμετάθετοι καὶ τοῦτον Θεὸν ἐνώπιον βασιλέως κηρύξωμεν· ἔχομεν γὰρ ὑπόδειγμα καλὸν Πέτρον ἐκεῖνον τὸν ἰσαπόστολον καὶ τοὺς καλοὺς ἡμῶν καὶ ἀγαθοὺς ἐκείνους δεσπότας, οἳ καλῶς τὸν ἀγῶνα τελέσαντες νῦν εἰσιν ἐν οὐρανοῖς εὐφραινόμενοι καὶ τῶν ἀϊδίων ἐκείνων ἀπολαύοντες ἀγαθῶν. τί γὰρ καὶ ἔσται ἡμῖν κέρδος τῆς παρούσης ζωῆς; κἂν γὰρ μὴ νῦν ἐ|πιδόξως οὕτως ἀποθανοῦμεν,* col. 2 *ἀλλὰ τεθνηξόμεθα πάντως ἀδόξως καὶ τῇ γενέσει τὸ ὀφειλόμενον λειτουργήσομεν».*

2. Ταῦτα καλῶς οὕτω καὶ συνδιασκεψάμενοι καὶ εἰπόντες, πάντες ὁμοῦ χίλιοι καὶ τρεῖς συναριθμηθέντες τέκνοις ἅμα καὶ γυναιξί, τῷ βήματι τοῦ βασιλέως παρέστησαν, «Χριστιανοί ἐσμεν» κράζοντες, «χριστιανοί, βασιλεῦ, καὶ τοῖς ἡμῶν δεσπόταις ὁμόγνωμοι». τῷ ἀνελπίστῳ τοίνυν τούτῳ τῆς βοῆς ὁ βασιλεὺς ἐκπλαγεὶς καὶ συσκευήν τινα τὰ πρῶτα νομίσας εἶναι τοῦ πλήθους κατ᾽ αὐτοῦ, ἐπεὶ μεμάθηκε τὴν τῶν ἀνδρῶν γνώμην, οἵα, καὶ τί βούλοιντο καὶ ὡς ἑαυτοὺς ἐκδεδώκασι τῇ ἐξουσίᾳ, πρῶτα μὲν ἠπίως αὐτοῖς διελέχθη καὶ ὁμαλῶς, || «Ἵνα τί οὕτω» λέγων «ἑαυτοὺς τῇ βασιλικῇ f. 18v *ὀργῇ προδεδώκατε καὶ τὸ θανεῖν τοῦ ζῆν προκεκρίκατε, καθὰ δὴ καὶ Συνέσιος (τοῦτο γὰρ ὄνομα τῷ πρώτῳ τῶν προτικτόρων) καὶ οἱ σὺν αὐτῷ; ἀλλ᾽ εἴπερ ὑμεῖς τὰς γνώμας μεταβαλόντες θύσειν*

Rubro: v. 4 *Διοκλητιανοῦ* (*Δ* littera evanuit), v. 23 *ταῦ|Τα*, v. 27 *Τοίνυν*
29 *οἷα* 31 *διηλέχθη*

ἐθελήσητε τοῖς θεοῖς, ἕξετε Διοκλητιανὸν ἐμὲ καλῶς ὑμῶν ἀντιλαμβανόμενον· καὶ δώροις ἀμειβόμενον καὶ τιμαῖς οὔτι μετρίαις,· ἀλλὰ καὶ λίαν ὅτι μεγίσταις καὶ ὑψηλαῖς· εἰ δ' οὖν, ἀλλὰ κολάσεις πάντως ὑμᾶς διαδέξονται καὶ τότε τὸν μετάμελον ποιοῦντες ἔσεσθε, ὅτε μηδὲν ὠφελήσετε».

3. «Οὐδὲν» εἶπον οἱ μάρτυρες «οὔτε τῶν προτεινομένων σου καλῶν ἡμᾶς ἰσχύσειε τοῦ σκοποῦ μεταπεῖσαι, οὔτε τῶν ἀπειλουμένων
col. 2 κακῶν | παραβλάψαι· θυσίαν γὰρ Θεῷ ἡμῶν τῷ ἁγίῳ τὴν καθαρὰν ὡς καθαρῷ προσενεγκεῖν ὅλῃ σπεύδομεν τῇ ψυχῇ· ποίει τοίνυν ὃ βούλει, παρανομώτατε». Μὴ ἐνεγκὼν οὖν ὁ δυσσεβὴς τὸ πεπαρρησιασμένον τῶν λόγων, ἀλλὰ τὴν σύντροφον ὥσπερ ὑπεκκαύσας ὀργήν, τὴν μεταβολὴν τῶν μαρτύρων πάντως ἀπηλπικώς, κελεύει, καὶ περιίστανται τούτους κύκλοθεν οἱ στρατιῶται· εἶθ' οὕτω πρὸς αὐτοὺς οὗτος «Πείσθητε, ὦ ἄνδρες», εἶπεν «ἐμοὶ χρηστὰ συμβουλεύοντι καὶ θῦσαι θεοῖς προθυμήθητε, καὶ τὰς οἰκίας ὑμῶν ἀβλαβεῖς σὺν τέκνοις καὶ γυναιξὶν ἀπολήψεσθε· εἰ δὲ μὴ τοῦτο κακῶς φρονοῦντες ποιήσετε, τί γε ἄλλο ἀλλ' ἢ ξίφος ὑμᾶς σὺν αὐτοῖς κατακόψει καὶ οὕτω πικρῶς ζωὴν ἀποθήσεσθε...

(Reliqua desunt codicis folio deperdito).

[Μηνὶ τῷ αὐτῷ ζ'].

[ΒΙΟΣ ΤΟΥ ΑΓΙΟΥ ΠΑΡΘΕΝΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΠΟΛΕΩΣ ΛΑΜΨΑΚΟΥ].

(Initium deest).

f. 19 ...[Φι]λητὸς ὁ τῆς Μελιτουπόλεως ἐπίσκοπος, ἀνὴρ ἀγαθὸς ὤν, μετακαλεῖται τὸν ἄνδρα καὶ πολλὰ μὲν παραινεῖ, πείθει δὲ μόλις καὶ χειροτονεῖ πρεσβύτερόν τε καὶ περιοδευτὴν τῆς κατ' αὐτὸν ἐκκλησίας. εἶτα τῆς θείας χάριτος πλουσίως διὰ βίου καθαρότητα ἐνσκηνωσάσης αὐτῷ, πλῆθος ἠκολούθει θαυμάτων.

α' *2.* Προϊὼν γάρ ποτε κατὰ τὴν ὁδὸν ὁ Παρθένιος ἀνθρώπῳ τινὶ συναντᾷ πληγέντι τὸν ὀφθαλμὸν ὑπὸ ταύρου καὶ τοῦτον ἐκπεπηδηκότα διαβαστάζοντι καὶ θρήνοις πρὸς ἔλεον τὰς συμπαθεῖς ἐκκαλουμένῳ ψυχάς· ὃν ἐκεῖνος φιλανθρώποις ἰδὼν ὀφθαλμοῖς τὸν μὲν ὀφθαλμὸν λαμβάνει τῇ δεξιᾷ λίαν ὁμαλῶς καὶ πεφυλαγμένως καὶ

Rubro: v. 6 *Οὐδέν*, v. 10 *Μὴ ἐνεγκών*, v. 27 *Προϊὼν*
27. Miraculorum numeri α'—ιζ' (v. pag. 26) exstant in codice.
24 μόλλις **29** ἔλαιον

αὐτὸν | αὖθις τῷ τόπῳ ἐντίθησι καὶ τρισὶν ἐφ' ἡμέραις ὕδατι διαβρέχων col. 2 ὑγιᾶ δείκνυσιν ἀκριβῶς ὡς τὸ πρότερον.

3. Καρκίνῳ χαλεπῷ πάθει περιπίπτει γυνή· γίνεται δὲ ταύτῃ τὸ β' πάθος διπλοῦν, ἐν κρυπτοῖς μέρεσι τοῦ σώματος ἐκφυέν, ὥστε καὶ ὀδυνᾶσθαι σφοδρῶς τὴν πάσχουσαν καὶ πρὸς ἰατρείαν εὐλαβεῖσθαι τὴν δεῖξιν. σφραγῖδα τοίνυν τὴν τοῦ Χριστοῦ μόνην τῷ μετώπῳ τῆς γυναικὸς ὁ Παρθένιος ἐπισημηνάμενος αὐτό τε τὸ πάθος ἐκπεσεῖν ἀθρόως ποιεῖ καὶ τὴν γυναῖκα εὐφήμῳ στόματι Χριστὸν μεγαλύνειν παρασκευάζει.

4. Ἀρρώστου ποτὲ πρὸς ἐπίσκεψιν ὁ μέγας ἀπήει καὶ αὐτῷ γ' κύων ἐπιπηδᾷ παμμεγέθης, οὐκ οἴκοθεν ἴσως, ἀλλ' ὑπὸ τοῦ ἀ||φανοῦς f. 19v κυνὸς ἢ μᾶλλον εἰπεῖν δράκοντος ὁρμηθείς. ὁ δὲ θαυμάσιος ἐμφύσημα μόνον ἐμβαλὼν χάσματι τοῦ στόματος αὐτοῦ καὶ Χριστοῦ τὸν σταυρὸν ἐπισφραγισάμενος νεκρὸν εὐθὺς καὶ ἄπνουν ἀπὸ τῶν ὤμων τὸν φοβερὸν ἐκεῖνον εἰς γῆν κατέβαλε.

5. Ταῦτα καὶ ἄλλα τούτοις πολλὰ παραπλήσια εἰς ἀκοὴν εἰληφὼς ὁ Κυζίκου πρόεδρος — Ἀχόλιος οὗτος ἦν, — μεταστειλάμενος τὸν Παρθένιον καί, ὃ δὴ λέγεται, πάντα λίθον κινήσας πείθει καὶ πρὸς τὸν τῆς ἐπισκοπῆς θρόνον ἀνάγει καὶ τῇ πόλει Λαμψάκῳ χαρίζεται. ἣν εὑρὼν ὁ μέγας ἐσχάτως νοσοῦσαν, εἴδωλά φημι προσκυνοῦσαν, ἠνιᾶτο σφοδρῶς, ἐδυσφόρει, πυρὶ ζήλου τὴν καρδίαν ἐφλέγετο καὶ δὴ καὶ πᾶσι τρόποις | οὐ διέλιπε νουθετῶν, παρακαλῶν, ἐπιτιμῶν, col. 2 ἰώμενος τοὺς ἀρρώστους αὐτῶν, ἕως εἵλκυσεν εἰς τὴν τῆς ἀληθείας ἐπίγνωσιν.

6. Ἔνθεν τοι καὶ προκόπτοντας ὁρῶν ἐν τῇ πίστει καὶ εἴδωλα παρ' οὐδὲν τιθεμένους, τὴν βασιλίδα πόλιν καταλαμβάνει καὶ τῷ βασιλεῖ ἀπιόντι πρὸς τὴν τῶν τοῦ σίτου ὡρείων ἐπίσκεψιν ὑπαντᾷ καὶ ταύτην ποιεῖται δέησιν, τὸ καθελεῖν μὲν τοὺς τῶν εἰδώλων ναούς, ἱεροὺς δὲ Χριστῷ ἀντ' αὐτῶν ἀνεγεῖραι. νεύει πρὸς τὴν αἴτησιν ὁ βασιλεὺς καὶ κελεύει τοῦτον προάγειν εἰς τὰ βασίλεια. ἐπανελθὼν δὲ μετακαλεῖται τὸν ὅσιον καὶ δεξιὰν προτείνει καὶ χείλη χείλεσι προσάγει τοῖς ἐκείνου τὰ ἑαυτοῦ καὶ ὑπὲρ αὐτοῦ δεῖσθαι τοῦ Θεοῦ ἀξιοῖ.|| εἶτα καὶ διατάγματα τὸ τάχος ἐτίθει τὴν f. 20 τῶν εἰδωλικῶν ναῶν καθαίρεσιν ἐπιτρέποντα. παρεῖχε δὲ καὶ χρυσὸν τῷ ἁγίῳ πρὸς θείων οἰκοδομίαν ναῶν. ταῦτα ποιήσας ὁ βασιλεὺς καὶ ἀσπασμῷ πάλιν τὴν πρὸς τὸν μέγαν ἐπισφραγίζων διάθεσιν ἀπέπεμπεν αὐτὸν ἐν εἰρήνῃ.

Rubro: v. 3 **Καρκίνῳ**, v. 10 **Ποτὲ**, v. 25 **Καὶ προκόπτοντας**, v. 31 ἐπανελθὼν| **Δέ**, v. 35 **Ταῦτα**

7 αὐτὸ τὲ   20 εἴδωλα φημὶ

7. Ἐπανελθὼν οὖν εἰς τὴν Λαμψακηνῶν πόλιν ὁ μέγας Παρθένιος τήν τε τῶν ναῶν τῶν εἰδώλων καθαίρεσιν ἐποιεῖτο καὶ τὴν τοῦ θείου τεμένους οἰκοδομίαν διαχαράξας ἔργου εἴχετο. πλὴν ἀλλὰ βούλεται πάλιν ὁ λόγος τῶν αὐτοῦ θαυμασίων τὴν μνήμην ὑμῖν ἐφαπλῶσαι.

δ' 8. Πολλῶν γὰρ ἀποπλεόντων ἐκεῖσε καὶ μηδενὸς ἀνεχομένου μὴ πρὸς ὄψιν ἐλθεῖν τῷ καλῷ Παρθενίῳ, ἀφίκετο καί τις πρὸς αὐτὸν col. 2 πνεῦμα δαιμόνιον ἔχων.| ὅπερ τὸν ἔχοντα μὲν ἐλάνθανεν, οὐ μὴν δὲ καὶ τὸν ἅγιον, καὶ ὅπως, ὁ λόγος δηλώσει. ἀσπάζεται τὸν ἅγιον ὁ ἀνήρ, ἐκεῖνος δὲ τοῦτον οὐδαμῶς· ὀργίζεται τὸ δαιμόνιον καὶ «Τί δὲ» διὰ τοῦ ἀνθρώπου φθέγγεται «ἐπιθυμίαν ἡμᾶς ἔχοντας ὄψεσθαί σε καὶ ἀσπασαμένους αὐτὸς οὐκ ἀντησπάσω τοῖς ἴσοις;» καὶ ὁ ἅγιος «Ἰδοὺ» φησὶν «ἑώρακάς με». ὁ δέ· «Καὶ ἑώρακα καὶ ἐπέγνων». καὶ ὁ Παρθένιος «Εἰ οὖν ἐπέγνως» ἔφη, «σὺ δὲ ἀλλ' ἀπόστηθι τοῦ πλάσματος τοῦ Θεοῦ». καὶ τὸ πονηρὸν πνεῦμα «Τοῦτο δὲ ὅλον ἦν» ἔφη, «ὥστε με φυγεῖν τοῦδε, πολὺν ἐπὶ χρόνον οἰκήσαντα; ἀλλὰ μή, δέομαι, μὴ ἐξώσῃς αὐτός». καὶ ὁ ἅγιος «Ἀλλ' ὅσος ἄρα χρόνος» εἶπεν, «ἀφ' f. 20 οὗπερ ᾤκησας ἐν αὐτῷ;» καὶ ὁ δαίμων‖«Ἔτι παιδὶ ὄντι» φησὶ «καὶ οὔπω ἔγνωσμαι ἄχρι καὶ νῦν, ὅτι μὴ παρὰ σοῦ μόνου· εἰ οὖν ἐκβάλῃς, ποῦ καὶ ἀπέλθω;» — «Δίδωμί σοι τόπον» ὁ ἅγιος εἶπεν, «ὅπου δὴ καὶ πορεύσῃ». καὶ ὁ δαίμων «Εἴπῃς μοι πάντως, εἰς χοίρους» ἔφη. καὶ ὁ ἅγιος· «Οὐδαμῶς, ἀλλ' ἄνθρωπόν σοι παρέξω οἰκεῖν». περιεργασαμένου οὖν τοῦ δαίμονος, ὅστις εἴη, καὶ ὅμως πεισθέντος καὶ ἐξελθόντος, τὸ στόμα τὸ ἑαυτοῦ διανοίξας ὁ μέγας «Ἰδοὺ» ἔφη «ἄνθρωπος· εἰσελθὼν οἴκει». ὁ δὲ πυρὶ ὁμοίως τῷ λόγῳ διαφλεγόμενος «Οἴμοι» ἔλεγε φεύγων, «οὐκ ἔστιν ὄντως, οὐκ ἔστιν ἀλήθειαν ἀκοῦσαι παρ' ὑμῶν τῶν χριστιανῶν· ὃν γὰρ ὑπομένειν οὐκ εἶχον ἐπιτιμῶντα, πῶς οἰκῆσαι θαρρήσω;» τοῦτον μὲν οὖν ἔρημοι τὸν δαίμονα καὶ ἄβατοι [τόποι] ἐλαυνόμενον εἶχον, ὁ ἄνθρωπος δὲ ἀπαθὴς ὡρᾶτο Χριστοῦ τῇ δυνάμει. καὶ ταῦτα μὲν οὕτως.

ε' 9. Ἀπαρτισθέντος δὲ τοῦ ἔργου τῆς οἰκοδομῆς τοῦ ναοῦ σπουδὴ τῷ μεγάλῳ καὶ τὴν ἱερὰν ἐπιθεῖναι τράπεζαν καλλίστην δὴ καὶ κοσμίαν. εὑρίσκεται γοῦν τις λίθος ἔν τινι τόπῳ κάλλει κάλλιστος καὶ μεγέθει μέγιστος, ὃν χεῖρες λιθοξόων λαβοῦσαι εἰς ἀπαρτισμὸν περιιστῶσι καλῶς. ἐπεὶ δὲ καὶ ἁμάξῃ βόες αὐτὸν διεκόμιζον, οἷά σου, διάβολε, τὰ τοῦ φθόνου, οἱ βόες διαταράττονται καὶ ὁ μὲν ἕλκων αὐτοὺς ὕπτιος ἔκειτο τῇ τοῦ δρόμου τούτων ὀξύτητι, ἐπισυ-

Rubro: v. 6 **Γὰρ**, v. 12 καὶ **Ὁ**, v. 23 περι|**Εργασαμένου**, v. 31 **Τοῦ** ἔργου

29 τόποι *inserui*. 35—36 οἷα σου

ρέντες δὲ τούτῳ τῆς ἁμάξης οἱ τροχοὶ τά τε σπλάγχνα διέρρηξαν
καὶ νεκρὸν εὐθὺς ἀπειργάσαντο. ἐγνώσθη τοῦτο τῷ μεγάλῳ
καὶ ||«Οὐκ ἐπιγελάσεις» ἔφη, «πονηρὲ δαίμων, οὐδὲ τῷ ἔργῳ τοῦ f. 21
Θεοῦ ἐμποδίσεις». καὶ αὐτίκα παραγενόμενος σὺν ἅμα τισὶ τῶν τοῦ
κλήρου καὶ γόνατα κλίνας δάκρυά τε τῶν ὀφθαλμῶν ἀποστάξας
καὶ τὸν Θεὸν ἱκανῶς δυσωπήσας, ὁ Εὐτυχιανὸς (τοῦτο γὰρ ὄνομα
τῷ κειμένῳ) εὐθὺς ἀνίστατο, χείλη τε καὶ πόδας ἐκίνει, τὰ μὲν εἰς
εὐχαριστίαν, τοὺς δὲ εἰς ὑπηρεσίαν. πάντες τοιγαροῦν ἐκπλαγέντες
τῷ θαύματι τοὺς ὅσοι νόσοις ἦσαν κατάσχετοι πρὸς αὐτὸν ἦγον καὶ
τεθεραπευμένους λαμβάνοντες ἐπανῄεσαν.

10. Παρθένος οὖν τις, ὄνομα Δάφνη, Διονυσίου δὲ αὕτη πραιπο- ς'
σίτου θυγάτηρ, τοῦ Σμυρναίων πρωτεύοντος, καὶ ἑτέρα γυνὴ Ζωΐλα
τοὔνομα, ἐκ Περσῶν ὁρμωμένη, καί τις ἄλλη παρθένος,| Συναδίου col. 2
παῖς, πρὸς δὲ καὶ Ἀλεξανδρία, κοινῶς ἐξ Ἀβύδου τὸ γένος ἕλκουσαι,
ἀλλὰ δὴ καὶ τοῦ ἐκ περαίας ὁρμωμένου ἡ γαμετὴ καὶ Ἀκακία ἡ
ἀπὸ τοῦ κτήματος, ὃ Κελλίον ὀνομάζεται, προαχθεῖσα, Ῥουφίνα τε
καὶ Θεοφίλα αἱ ἀπὸ τῆς Ἀσίρμου καταγόμεναι κώμης, ναὶ δὴ καὶ
ἡ γηραιὰ Καλλιόπη καὶ πενιχρὰ καὶ ἡ κόρη Κυριακὴ δαίμοσι προσ-
παλαίσασαι χειρῶν ἐπιθέσει τοῦ Παρθενίου καὶ ἐπιτιμήσει μόνῃ,
ναὶ δὴ καὶ ἐμφυσήματι τὴν ἀπαλλαγὴν εὕροντο τούτων καὶ τὴν
ἐλευθερίαν. καὶ ταῦτα μὲν οὕτως.

11. Τὸ δὲ τοῦ Νίκωνος εἰ καὶ ὅμοιον, ἀλλ' ὅμως ἰδίᾳ λεκτέον. ζ'
ἔχει γὰρ καινοτέραν τινὰ τὸ θαῦμα διήγησιν. οὗτος ἀπὸ Ὁρμῶν
μὲν ὡρμᾶτο,|| ἱερέως δὲ ἦν υἱός, δαίμονι μέντοι κάτοχος ὢν ἔπασχεν f. 21ᵛ
ἰσχυρῶς· εἶτα προσαχθέντος ποτὲ τῷ ἁγίῳ παρὰ τῶν γεννητόρων,
οἶκτον ἐκεῖνος τούτου λαβὼν οὐδαμῶς, ὢ καινοῦ πράγματος,
«Οὐκ ἔστιν οὗτος ἐλέους ἄξιος» εἶπε, «πατραλοίας ὢν καὶ θρασύ-
τατος· γινώσκετε γὰρ ὑμεῖς, πῶς ἐφ' οἷς αὐτὸς ἔπραττεν ἀναιδῶς
εἰς οὐρανὸν ἐβλέπετε καὶ τὸ θεῖον εἰς τιμωρίαν ἐξεκαλεῖσθε· ἄφετε
τοιγαροῦν αὐτόν, αἱ ἀνομίαι αὐτοῦ ἴσχυσαν κατὰ τὸν προφήτην
Ἰερεμίαν καὶ παιδείᾳ στερεᾷ ἐπατάχθη». καὶ ταῦτα μὲν ὁ μέγας
ἔφη προφητικῶς. ἐπεὶ δὲ τοὺς γονεῖς ἔβλεπε σπλάγχνων παιδὸς
ἡττημένους καὶ τὴν συμφορὰν οὐδαμῶς φέροντας, ἀλλ' αἵματι
κλαίοντας, τὸ τοῦ λόγου,| ἐπικαμφθεὶς δεῖται τοῦ Θεοῦ θερμῶς καὶ col. 2
ταχέως ἀκούεται, καὶ ὁ παῖς τοῦ δαίμονος ἀπαλλάττεται καὶ χαίρων
σὺν γεννήτορσι τὴν οἰκίαν κατέλαβε.

12. Τί δὲ καὶ ὁ στρατιώτης Ἀρζάνιος; καὶ αὐτὸς γὰρ φόρτος η'

Rubro: v. 2 Τοῦτο, v. 11 Παρθένος, v. 22 Τὸ δὲ, v. 32 γο|Νεῖς, v. 37 Τί δὲ.
16 Ῥουφῖνά τε.

30—31 κατὰ τὸν πρ. Ἰερεμίαν: cf. Ier. 5, 25: αἱ ἀνομίαι ὑμῶν ἐξέκλιναν ταῦτα et 37 (30), 14: πληγὴν ἐχθροῦ ἔπαισά σε παιδείαν στερεάν.

οἷος ἄψυχος κομίζεται πρὸς τὸν ἅγιον, ὅλοις μέλεσι παρειμένος· ὃν ὕδατι διαβρέχων εὐχαῖς κεκερασμένῳ ὑγιᾶ δείκνυσιν καὶ ποσὶν οἰκείοις ἐπανιόντα.

θ' 13. Ἐπὶ τούτοις καὶ ὁ Σύρος Ἀλαμᾶς ἀξιούσθω μνήμης καὶ διηγήσεως· οὗτος γὰρ τῆς τοῦ ἱεροῦ στέγης οἴκου καταπεσὼν δαίμονος ἐνεργείᾳ, ὃς αὐτῷ ἐνῴκει, καὶ νεκρὸς ἤδη γεγενημένος, ταῖς εὐχαῖς τοῦ 'μεγάλου οὐκ ἀνέστη μόνον, ἀλλὰ καὶ τοῦ δαίμονος ἠλευθέρωται.

ι' 14. Οὐδὲ τὴν Μαξιμιανοῦ νόσον περιιδεῖν ἄξιον, ὃς ἐκ Βιζύης f. 22 μὲν τῆς|| κατὰ Θρᾴκην ὥρμητο, νόσῳ δὲ δυσεντερίας πεπέδητο οὕτως ἰσχυρῶς, ὡς μηδεμίαν ἐλπίδα ζωῆς ὑπολελεῖφθαι. τοῦτο τοὺς γονεῖς μεμαθηκότας εἰς Λάμψακον πρὸς τὸν παῖδα γενέσθαι (ἐτύγχανε γὰρ ὑπό τινι μαθητευόμενος τῆς ἐπισκοπῆς διακόνῳ, Φέρτῃ καλουμένῳ), ἐφ' ᾧ τὸν παῖδα τῇ ταφῇ παραδοῦναι. ἄπνουν τοίνυν εὑρηκότες αὐτὸν σὺν τῇ κλίνῃ πρὸς τὸν μέγαν θερμῇ τῇ πίστει κομίζουσιν, ὅπου δὲ καὶ διελθεῖν ἔμελλεν. ἐπιστὰς οὖν ἐκεῖνος καὶ τοῦτόν τε νεκρὸν καὶ τῶν τεκόντων τὰ δάκρυα, ναὶ δὴ καὶ τῶν παρόντων ἄλλων ἰδών, δακρύει καὶ οὗτος καὶ γόνατα κλίνας καὶ τῆς τοῦ Θεοῦ δεηθεὶς ἀγαθότητος ἀνίστησί τε τὸν νεκρὸν καὶ γλώττῃ καὶ col. 2 ποσὶ χρώμενον ὑγιῶς | ἀποδίδωσι τοῖς πατράσιν.

ια' 15. Ἀλλὰ καὶ Θαλάσσιος, ὃς ἀπὸ Συαδίας μὲν ὥρμητο, πατέρα δὲ εἶχε πρεσβύτερον, ὑπ' αὐτοῦ προσαχθεὶς δαιμονῶν τῷ μεγάλῳ καὶ ἡμέραις ἐφ' ὅλαις ἑπτὰ τούτῳ συμπαραμείνας καὶ νοῦν ἀπείληφε καὶ τὰς φρένας.

ιβ' 16. Καὶ Ἡρακλειώτης δέ τις, ὄνομα Κάλλιστος, καὶ Λέσβιος ἄλλος οὕτω καλούμενος, ἐξ Ὤας τῆς νήσου τὸ γένος ἕλκων, προσάγονται τῷ μεγάλῳ, ὁ μὲν ἐπηρείᾳ δαίμονος τοὺς πόδας παραλυθείς, ὁ δὲ λεπροῦ διαφέρων οὐδὲν ὁ Λέσβιος, καὶ μόνῃ τῇ τούτου πρὸς Θεὸν εὐχῇ τὴν θεραπείαν λαμβάνουσιν.

ιγ' 17. Ἀλλὰ τὸ βασιλικὸν ὃ τῆς πορφύρας φασὶ βαφεῖον καὶ τὸ ἐν αὐτῷ θαῦμα τίς καταλιπεῖν ἀνάσχοιτο; ἐκράτει ποτὲ δαίμων ἐν f. 22v αὐτῷ καὶ ἄ||πρακτον ἐτίθει καὶ ἀτελῆ τὴν βαφὴν τοῖς ἐπ' αὐτῇ τεταγμένοις, οὐ μὴν ἀλλὰ καὶ ζημίᾳ πολλῇ τούτους ὑπέβαλλε. τοῦτο μαθὼν ὁ ἅγιος αὐθαιρέτως ἐπιφοιτᾷ, ἐπιτιμᾷ τῷ δαίμονι καὶ ἀφανῆ τοῦτον οὐ τοῦ βαφείου μόνου, ἀλλὰ καὶ τῶν ὁρίων τούτου ποιεῖ, ὡς βοᾶν εἰς ἐπήκοον· «Πυρὶ διώκομαι, εἰς τὸ τῆς γεέννης ἀπάγομαι πῦρ». ἔπειτα πρὸς πεῖραν τοῦ πράγματος πληροῦνται μὲν οἱ λέ-

Rubro: v. 4 Ἐπὶ, v. 9 Οὐδὲ, v. 21 θα|λάσσιος, v. 25 ἡρακλει|ώτης, v. 30 Ἀλλὰ.

11 μὴ δὲ μίαν 17 τοῦτον τέ 19 ἀνίστησι τὲ

*βητες, τοῦτο τοῦ ἁγίου κελεύσαντος· βάλλουσιν οἱ βαφεῖς τὸ ἔριον,
καὶ ἀνεμπόδιστος ἡ βαφὴ οὐ τότε μόνον, ἀλλὰ καὶ εἰς τὸ ἑξῆς
διαδείκνυται.*

18. Οἶδ' ὅτι θαυμάζετε τοῦτο· ἀλλὰ προσεκτέον· ὀφθήσεται γὰρ ιδ
τὸ ῥηθήσεσθαι μέλλον κατ' οὐδὲν ἔλαττον, ὅτι μὴ | καὶ μεῖζον. col. 2
*καιρὸς ἦν ἁλείας καὶ οἱ μὲν ἰχθύες τοῖς ἁλιεῦσιν ὡρῶντο καὶ ὡς ἐν
χερσὶ τούτων ἦσαν σχεδόν· τῶν δικτύων δὲ χαλωμένων ματαία ἦν
αὐτοῖς ἡ σπουδὴ δαίμονος βασκανίᾳ. οὐδὲ γὰρ εἰς ἕν ἢ καὶ δύο τῶν
ἐμπορίων, ἀλλ' εἰς ὅλην ἐγίνετο τὴν παράλιον ἄχρις αὐτῆς Ἀβύδου.
ἀθροισθέντες οὖν οἱ ἁλιεῖς δέονται τοῦ ἁγίου λῦσαι τούτοις τὸ
ἐμποδών· καὶ ὃς ἐπήκουε· τίς γὰρ αὐτοῦ συμπαθέστερος; καὶ τοῦ
Θεοῦ μετὰ δακρύων ἐδέετο, καὶ ἐπεὶ πονηροῦ πνεύματος ἐπήρειαν
ἐμάνθανεν εἶναι, περιιὼν τὴν παράλιον εὐλόγει τὸ ὕδωρ, εἶτα καὶ
ἅλας ἐπέσπειρεν αὐτῶν τοῖς δικτύοις καὶ ἐπέτρεπεν αὐτοῦ παρόντος
ἀποπειρᾶσθαι τῆς ἄγρας· κἀκείνων οὕτω ποι||ούντων, ὢ καινοῦ* f. 23
*θαύματος, πλῆθος ἰχθύων συνελαμβάνετο καί, τοῦτο δὴ τὸ τοῦ
λόγου, ἀγαθὴ θάλασσα τὸ θήραμα ἦν· ὡς καὶ τοῦ παρελθόντος
χρόνου τὸ ἐλλεῖπον ἐκπληρωθῆναι. καὶ τοῦτο μὲν οὕτως.*

19. Ἐδέησε δέ ποτε τῷ μεγάλῳ καὶ τὴν μητρόπολιν Ἡρακλείας ιε'
*τῆς Θρᾴκης κατά τινα χρείαν ἰδεῖν. ἐντυχὼν οὖν καὶ τῷ ταύτης
ἀρχιερεῖ νοσοῦντι λίαν ἔγνω τῷ πνεύματι ψυχῆς νόσον εἶναι τῆς
νόσου τὸ αἴτιον· καὶ γὰρ φιλοχρήματος ἦν ὁ μητροπολίτης καὶ τὰ
τῶν πενήτων, φεῦ, ἐνοσφίζετο. ἀλλὰ τότε μὲν ἐπανῆλθεν ὁ ἅγιος
μηδὲν εἰρηκώς, εἰς δὲ τὴν ἐπιοῦσαν προσελθὼν «Γίνωσκε» ἔφη «μὴ
ἁπλῶς ἐπελθεῖν σου τῇ ἀρετῇ τὴν νόσον, ἀλλὰ διά τι πάντως νό|-* col. 2
*σημα ψυχικόν. ἀπόδος τοίνυν τὰ τοῦ Θεοῦ τῷ Θεῷ διὰ τῶν πενή-
των, καὶ οὐδὲν ἐμποδίζον ἔσται ὑγιαίνειν σου τὴν ἀρετὴν οὐ κατὰ
σῶμα μόνον, ἀλλὰ δὴ καὶ ψυχήν». ἥψατο τὸ ῥηθὲν τῆς ἐκείνου
ψυχῆς καὶ «Ἡμάρτηκα τῷ Θεῷ» λέγει, εἶτα ἐνεγκὼν εἰς μέσον ὅπερ
ἐκ τῶν πενήτων ἦν συναθροίσας χρυσίον οὐκ εὐαρίθμητον, ἠξίου
τὸν ἅγιον διαδοῦναι τοῦτο τοῖς πένησιν. ὁ δὲ «Σοὶ μᾶλλον» ἔφη
«πρέπει τὸ ἔργον». φορείῳ τοιγαροῦν ὁ νοσῶν ἐγκαθίσας ἐπὶ τὸ
ἱερὸν ἀπάγεται τῆς μάρτυρος Γλυκερίας, καὶ παραυτίκα ὅσοι τῆς
πόλεως ἐνδεῶς εἶχον οἷα δὴ μελισσῶν πλῆθος ἠθροίζοντο καὶ αὐτὸς
ἐδίδου πᾶσι φιλοτίμῳ τῇ δεξιᾷ. οὔπω τρεῖς παρῆλθον ἡμέραι,||καὶ* f. 23ᵛ
*καθαρᾶς ἀπέλαυσε τῆς ὑγείας οὐ τοῦ σώματος μόνον, ἀλλὰ καὶ τῆς
ψυχῆς, ὡς ὁ μέγας προέφη. ἀλλὰ ταῦτα μὲν εἰς τοσοῦτον.*

Rubro: v. 6 *Ἀλείας*, v. 19 *Δέ ποτε*, v. 28 *ῥη|θέν*.
6 *ὁρῶντο*
26 *ἀπόδος—τῷ Θεῷ*: cf. Matth. 22, 21; Marc. 12, 17; Luc. 20, 25.

ις' *20. Ἔργον δὲ Παρθενίῳ πρὸς Ἡράκλειαν ὄντι καὶ τόδε· εἰσελθὼν ποτε τὸ μαρτύριον, ᾧ Κατάχειλας τὸ ἐπώνυμον, ἐντυγχάνει κατακειμένῳ τινί, ὃς ἦν ὅλος ἐξηρωμένος· ἔλαιον οὖν αἰτήσας καὶ λαβὼν ἐπεύχεται τούτῳ· ἔπειτα καὶ γόνατα κλίνας καὶ δεηθεὶς τοῦ Θεοῦ ἀνίσταται καὶ τὰ ξηρὰ ἐκεῖνα μέλη τῷ ἐλαίῳ διαμαλάσσει, δάκρυα τούτου προκαταστάξας, εἶτα καὶ ὑγιῆ τοῦτον ἀποδείξας ποσὶν οἰκείοις εἰς τὴν οἰκίαν ἀπιέναι παρασκευάζει.*

21. Τοῦτό κατὰ τὴν Ἡράκλειαν γεγονὸς πλῆθος πολὺ τῶν col. 2 *νοσούντων συνῆγε καὶ αὐτίκα παρὰ τῶν οἰ|κείων φερόμενοι θερα-* ιζ' *πείας ἀπέλαυον ὀξυτάτης. ὧν γινομένων καὶ Ὑπατιανός, ὃς ἀρχιδιάκονος τότε τῆς καθ' Ἡράκλειαν ἐκκλησίας ἦν, δεῖται τοῦ ἁγίου σὺν δάκρυσιν εἰς ἕνα τῶν ἀγρῶν αὐτοῦ θᾶττον ἀφικέσθαι, ἐφ' ᾧ κατεσπάρθαι μὲν ἔλεγε πολλά, αὐχμοῦ δὲ γενομένου ξηρανθῆναι πάντα, καὶ «Εἴπερ» φησὶ «τῷ τόπῳ παραστὰς ἐπεύξῃ, ὁ κύριος δώσει χρηστότητος ὕδωρ καὶ ἡ ἐκεῖσε γῆ τὸν καρπὸν αὐτῆς». πείθεται τούτοις ὁ μέγας καὶ τὸν τόπον ὁρᾷ καὶ χεῖρας εἰς οὐρανὸν ἐπάρας καὶ δάκρυα τῶν ὀφθαλμῶν ἀποστάξας ηὔχετο. οὔπω πέρας εἶχε τὰ τῆς εὐχῆς, καὶ νεφῶν μὲν ὁ οὐρανὸς πληροῦται, ὑετὸς δὲ κατάγεται διαρκὴς καὶ γῆς λαγόνας πληρῶσαι δυνάμενος. τότε μὲν* f. 24 *οὖν ἔν τινι || τῶν τοῦ ἀγροῦ οἰκημάτων ὁ μέγας εὐδοκεῖ παννυχεῦσαι. ἕωθεν δὲ μετακαλεσάμενος τὸν ἀρχιδιάκονον «Ἀλλὰ σὺ» φησὶν «οἶδας, ὅπως διὰ φιλαργυρίαν πεπαίδευται ὁ ἐπίσκοπος· ἐμοὶ δὲ ὅπερ Θεὸς ἐγνώρισεν, ἐπίσκοπος, γίνωσκε, καὶ αὐτὸς ἔσῃ οὐ πολλαῖς ὕστερον ἡμέραις· ἀλλὰ τὰ τῶν πενήτων διὰ σπουδῆς γινέσθω σοι· οὐδὲν γὰρ οὕτω θεραπεύει Θεόν, ὡς ὁ πρὸς αὐτοὺς ἔλεος». οὕτω λέγοντος ἐδίδου μὲν ἑαυτὸν ὁ ἀρχιδιάκονος εὐπειθῆ τῷ ἁγίῳ· ᾐτεῖτο δὲ καὶ πρὸς τοὺς ἄλλους αὐτὸν ἀγροὺς ἐπιφοιτῆσαι καὶ ἀμπελῶνας, εὐχῆς τε ἀξιῶσαι καὶ τούτους. παραγενόμενος οὖν ἐπεὶ μίαν ἄρουραν εἶδε μεγίστην μὲν οὖσαν, ἔρημον δὲ δοκοῦσαν* col. 2 *εἶναι καὶ σπερμάτων κενήν, «Αὕτη δὲ τίνος χάριν» ἠρώτα | «μὴ ἔσπαρται»; καὶ ὁ ἀρχιδιάκονος δάκρυα κατενεγκὼν ἐσπάρθαι μὲν ἔλεγεν, «Ἁγιώτατε, φιλοπόνως, αἱ ἐμαὶ δὲ» φησὶν «ἁμαρτίαι διέθεντο ταύτην ὡς ὁρᾷς». συνήλγησεν ὁ μέγας τῷ λόγῳ καὶ «Πόσων ἄρα» φησὶ «μοδίων τῆς χώρας ὁ τοκετός;» καὶ ὃς «Χιλίων» εἶπεν. «Ἀλλὰ μὴ ἀθύμει» ὁ μέγας ἔφη· «ἐμάθομεν γὰρ εἶναι πάντα δυνατὰ τῷ πιστεύοντι· πλὴν ὁ Θεὸς δι' ἐμοῦ κατὰ τὸν καιρὸν τοῦ θέρους τοὺς χιλίους σοι δώσει». ἔπειτα καὶ εἰς ἀμπελῶνα νεόφυτον*

Rubro: v. 2 *Ποτέ*, v. 8 *Τὴν*, v. 10 *Ὧν*, v. 16 *Πείθεται*, v. 28 *Οὖν*, v. 33 *Ὁ μέγας*

30 *ἠρώτα*

παρελθὼν ἑώρα καὶ τοῦτον σκωληκόβρωτον γενόμενον ἀπὸ τοῦ αὐχμοῦ καὶ καθόλου ξηρόν. λαβὼν οὖν ἅλας διέσπειρε τούτους καθ' ὅλου τοῦ ἀμπελῶνος, ὀγδοήκοντα μοδίων σπέρματος ὄντος, καὶ πρὸς τὸν ἀρχιδίακονον μηδὲν ἔλεγεν ἀθυμεῖν|| ἐν αὐτῷ· «Καὶ δώσει f. 24v σοι εὐλογίαν ἱκανὴν ὁ τόπος Θεοῦ νεύσει τοῦ ἀγαθοῦ».

22. Ἐπεὶ δὲ καὶ εἰς Λάμψακον ἤδη ἐπανελθεῖν ἔγνω, ἀπελθὼν ὥστε τῷ ἐπισκόπῳ συντάξασθαι, «Εὐαγγελίζομαί σοι» φησὶ πρὸς αὐτόν, «οὐ πολὺ τὸ μεταξύ, καὶ πρὸς κύριον ἐκδημεῖς, καλὸν τὸν μετὰ σὲ τῇ πόλει καταλιμπάνων, ὥς μοι ἔγνωσται περὶ τούτου, τὸν ἄριστον Ὑπατιανὸν τὸν ἀρχιδιάκονον». καὶ ὁ μὲν οὕτως εἰπών, πλοίου ἐπιβὰς εὐθὺς ἔπλει Λαμψάκου. ὀλίγαι παρῆλθον ἡμέραι, καὶ ὁ πρόεδρος Ἡρακλείας πρὸς κύριον ἐκδημεῖ, Ὑπατιανοῦ τὸν τῆς ἐπισκοπῆς θρόνον ἐκδεξαμένου. οὐδὲ ταῦτα διαπίπτει τῶν Παρθενίου προρρήσεων. θέρους ἦν ἀκμή, καὶ ὁ καιρὸς ἐκάλει πρὸς τὴν | συγκομιδὴν τῶν καρπῶν. ἐξήει τοιγαροῦν καὶ Ὑπατιανός, col. 2 ἐπίσκοπος ἤδη ὤν, εἰς τὸν ἀγρὸν ἐπὶ τούτῳ. τῇ ἅλωνι τὰ δράγματα δέδωκε τῆς ξηρανθείσης ἀρούρας καὶ εὑρίσκει τοὺς χιλίους μηδενὸς ἐλλείποντος. ἀλλὰ καὶ ὁ τὴν ἀκαρπίαν καταγνωσθεὶς ἀμπελὼν γόνιμος καὶ αὐτὸς ταῖς εὐχαῖς τοῦ ἁγίου γίνεται καὶ καρπὸν δέδωκεν ἱκανὸν καὶ πολύφορον. Ὑπατιανὸς οὖν ὁ χρηστὸς τὴν εὐγνωμοσύνην ἐπιδεικνύμενος εἰς τὸν μέγαν, τοῦ σίτου μοῖραν διελὼν οὐκ ὀλίγην, ὁμοίως δὴ καὶ τοῦ οἴνου, αὐτὸς ἐκεῖνος πρὸς Λάμψακον τῷ ἁγίῳ κομίζει· ὁ δὲ οὐ προσήκατο, «Θεῷ ταῦτα», εἰπών, «οὐχ ἡμῖν κομίζεσθαι δεῖ, ἐπεὶ καὶ παρ' ἐκείνου ἡ τῶν καρπῶν εὐλογία». οὕτως εἰπόντος αὐτοῦ || πρὸς Ἡράκλειαν Ὑπατιανὸς ἐπανῆλθε καὶ ταῦτα f. 25 τοῖς πένησιν ὡς προσετάγη διένειμεν.

23. Παρθένιος μέντοι ὁ πάντα χρηστός, ὁ πάντα θαυμάσιος, οὕτω βιοὺς ὡς Θεῷ φίλον καὶ ἀποδεκτόν, πρὸς αὐτὸν μεταβαίνει, ἑβδόμην ἄγοντος τοῦ Φεβρουαρίου μηνός, ἑαυτῷ μὲν χαρᾶς αἰτίαν τὴν μετάβασιν δείξας, λύπης δὲ τοῖς αὐτοῦ στερουμένοις οὐδ' ὅσης ἄρα καὶ εἰπεῖν πρόξενον. τοῦτο μαθὼν Ὑπατιανὸς εὐθύς τε ἀπέπλει καὶ ταχὺ τὴν Λάμψακον εἶδεν. οὐδὲ ὁ Κυζίκου, οὐδὲ ὁ Μελιτουπόλεως ἀπελείφθησαν, οὔτε μὴν ὁ τοῦ Παρίου, ἀλλὰ πάντες οἱ ἐν γειτόνων παρῆσαν.

24. Τί τοίνυν τὸ μετὰ ταῦτα; τὸ ἱερὸν ἐκεῖνό σου καὶ παρθενικὸν ὄντως, Παρθένιε, σῶμα τῶν προ|σηκόντων ὕμνων τυχὸν ἐν τῷ col. 2 εὐκτηρίῳ, ὃ δὴ αὐτὸς ᾠκοδόμησας, κατατίθεται λίαν εὐλαβῶς καὶ

Rubro: v. 6 Ἐπεὶ, v. 11 ὀ|λίγαι, v. 18 Ἀλλὰ, v. 27 Παρθένιος, v. 35 Τί.
26 διένειμε 31 εὐθύς τὲ 35 ἐκεῖνοσου

πρεπόντως. πάρεσο τοίνυν τοῖς ἐπικαλουμένοις σε βοηθὸς ἑτοιμότατος, νόσους διώκων καὶ πνεύματα, πάθη ψυχῶν καὶ σωμάτων ἰώμενος, ἀλλὰ δὴ καὶ μᾶλλον καὶ βασιλεῖ ἡμῶν τῷ τὰ πάντα χρηστῷ καὶ πρᾴῳ καὶ πᾶσι κεκοσμημένῳ τοῖς ἀγαθοῖς μῆκος χάρισαι ζωῆς εὐτυχεστάτης, ἰσχὺν κατ᾽ ἐχθρῶν καὶ τρόπαια καὶ νίκας, χώρας δικαίων τὴν καλὴν εὐκληρίαν, ἀΰλων μονῶν τὴν τερπνὴν κατοικίαν, ἡλίου λάμψιν τοῦ νοητοῦ καὶ θείου, πάντων τῶν καλῶν τὴν μέθεξιν πλουσίαν καὶ βασιλείας Θεοῦ τὴν κληρουχίαν· ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

f. 25v *Μηνὶ τῷ αὐτῷ η΄.*

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΣΤΡΑΤΗΛΑΤΟΥ.

1. Λικίννιος ὁ βασιλεύς, πολλῇ κεχρημένος τῇ περὶ τὰ εἴδωλα πλάνῃ, διατάγματα πανταχοῦ διεπέμπετο ἀρνεῖσθαι μὲν διακελευόμενα τὸν Χριστόν, δαίμοσι δὲ καὶ εἰδώλοις προσφέρειν θυσίας, καὶ τοὺς μὲν πειθομένους δωρεαῖς ἀμείβεσθαι καὶ τιμαῖς, τοὺς ἀπειθοῦντας δὲ δημεύσεις ὑπομένειν, ἀπειλάς, βασάνους καὶ αὐτὸν δὴ
col. 2 τέλος τὸν | θάνατον.

2. Ὡς οὖν εἰς ὦτα τοῦτο τοῦ μεγάλου μάρτυρος ἦλθε Θεοδώρου, περιφανοῦς ἀνδρὸς καὶ γενναίου (τὴν γὰρ τοῦ στρατηλάτου τότε διεῖπεν ἀρχήν, ἆθλον αὐτὴν πολλῶν τροπαίων λαβών), ὃς καὶ ποθεινὸν ἅπασι λάλημα ὢν ὁ Θεόδωρος καὶ χριστιανὸς ἐκ προγόνων, οὐκ ἠγάπα λανθάνουσαν ἔχειν τὴν εἰς Χριστὸν πίστιν, ἀλλὰ ζήλου πνέων κατὰ τῆς ἀσεβείας, ἐπόθει μὲν παρρησιάσασθαι τὴν εὐσέβειαν,
f. 26 οὐκ ἠβούλετο δὲ || οὕτως ἁπλῶς χωρῆσαι πρὸς τὴν ὁμολογίαν· δοκιμὴν οὖν ποιεῖται τοῦ προκειμένου αὐτῷ σκοποῦ, καὶ ἡ δοκιμὴ αὕτη.

3. Δράκων ἦν ἐμφωλεύων κατά τινα τόπον, Εὐχάϊνα τούτῳ ὄνομα, γείτων πονηρὸς καὶ ὀλέθριος· οὐδὲν γὰρ ἄλλο τοῖς πλησιάζουσιν ἢ τὸ φυγεῖν ὑπελείπετο. τοῦτον οὖν τὸν τόπον ὁ μάρτυς

Rubro: v. 4 *Μῆκος*, v. 7 *Πάντων*, v. 14 *Λικίννιος*, v. 20 *Ὦτα*, v. 29 ἐμ|*Φωλεύων*

26 χορῆσαι

καταλαβὼν καὶ τῷ τοῦ σταυροῦ φραξάμενος ὅπλῳ περιήει τὸν θῆρα διερευνώμενος. ἐπεὶ δὲ τῷ δασεῖ τῆς ὕλης κεκοπιακὼς ἦν, τοῦ ἵππου ἀποβὰς ὕπνῳ ἑαυτὸν διανέπαυε. καί τις γυνὴ τῶν ἐπισήμων ἀφύπνιζεν ἐπιστᾶσα τὸν ἅγιον, «Ἀνάστα τὸ τάχος» λέγουσα, «εἴπερ ἐθέλοις ζῆν καὶ μὴ ἀποθανεῖν· τὸ γὰρ ἐνταῦθα κακὸν ὁ δράκων διὰ ταύτης ἔξεισι τῆς ὁδοῦ καὶ πολ|λοὺς ἀνεῖλεν ἄχρι καὶ col. 2 νῦν». ταῦτα ἔλεγεν ἡ γυνὴ καὶ πρὸς δεῖγμα τῆς συμπαθείας καὶ δάκρυον ἠφίει τῶν ὀφθαλμῶν. ὁ δὲ ὡς εἶδεν, ὡς ἤκουσεν, παραχρῆμα τὸ σέβας αὐτὴν καὶ ἥτις εἴη διεπυνθάνετο. ἡ δὲ Εὐσεβία μὲν εἰποῦσα καλεῖσθαι, χριστιανὴ δὲ καὶ πιστὴ καὶ τόνδε τὸν τόπον ἐκ πατρῴου κεκτῆσθαι κλήρου, βούλεσθαι δὲ τοῦτον καταλιπεῖν τῷ πολλάκις ὀφθαλμοῖς ἰδεῖν πολλοὺς ἐνταῦθα τῷ θηρίῳ βορὰν γενομένους, «ὧν ἡ μνήμη στρέφει μου τὴν καρδίαν καὶ διὰ τοῦτο μὴ καὶ σὲ θᾶττον ἐκχωροῦντα ὁρῶσα περιαλγὴς γίνομαι καὶ περίδακρυς», ταῦτα λέξασα καὶ ἅμα τὰς χεῖρας εἰς οὐρανὸν ἄρασα καὶ «Κύριε ὁ Θεὸς» εἰποῦσα, «ὁ σαρκωθεὶς ἐκ τῆς ἁγίας Παρθένου, ἐξελοῦ ἡμᾶς|| f. 26v τοῦδε τοῦ θηρὸς τῆς κακότητος», ὁ ἀθλητὴς εὔθυμος ὅλος γενόμενος «Ἀπαλλαγήσῃ σήμερον», εἶπεν, «ὦ γύναι, ἀπαλλαγήσῃ γείτονος πονηροῦ. ἔγνων γὰρ δύναμιν δοθεῖσάν μοι παρὰ τοῦ Θεοῦ, ὅς σοι καὶ χάριτας δώσει, ὅτιπερ ἡμᾶς ἀφύπνωσας».

4. Εἶπε καὶ τῷ τοῦ σταυροῦ σημείῳ φραξάμενος ἐπέβη τε τοῦ ἵππου καὶ κτύπου τινὸς αἰσθόμενος ἐκ μέσης τῆς ὕλης, ἤδη τὸν θῆρα φερόμενον ἰδών, ἰταμῶς φθάνει τὴν λόγχην ἀκοντίσας καὶ βάλλει τὴν κεφαλὴν αὐτοῦ χαλεπῇ τῇ πληγῇ. ὁ δὲ ἦν παραχρῆμα νεκρός. τοῦτο σύμβολον φανερὸν κατέστη τῷ μακαρίῳ, ὅτι καλῶς ὁ τοῦ μαρτυρίου δρόμος αὐτῷ ἀνυσθήσεται. διὸ καὶ χαίρων ἀπῄει πρὸς τὴν τοῦ Πόντου Ἡράκλειαν· ταύτης | γὰρ πεπίστευτο τὴν col. 2 προστασίαν.

5. Πλὴν ἀλλ' οὐδὲ Λικίννιον αὐτὸν ἡ τοῦ ἁγίου φήμη παρῆκεν ἀνήκοον. ἔνθεν τοι καὶ γράμματα στέλλει καὶ μετακαλεῖται πρὸς αὐτόν. ὁ δὲ τὴν ἐπιστολὴν ἐπελθὼν καὶ τοὺς κομίσαντας διαναπαυσάμενος γράφει πρὸς αὐτὸν οὕτω· «Λικιννίῳ τροπαιοφόρῳ βασιλεῖ Θεόδωρος στρατηλάτης. ἔδοξε τῷ κράτει σου, βασιλεῦ, ἀφικέσθαι με πρὸς τὴν Νικομήδειαν, ἵν' ἐντύχω περί τινων δημοσίων τε καὶ ἰδίων τῇ βασιλείᾳ σου. ἀλλὰ νῦν οὔτε σοὶ τῷ κελεύσαντι τοῦτο συμφέρον, πολλῶν ἐνταῦθα πραγμάτων ἑλκόντων καὶ οὐκ ἐώντων ἀλλαχόσε χωρεῖν, κἀμοὶ τοῦτο καὶ τῇ κοινῇ διοικήσει ἐμποδὼν

Rubro: v. 3 **Καί τις**, v. 8 **Ὁ δέ**, v. 15 **Ταῦτα**, v. 30 **Γράμματα**, v. 32 **Λικιννίῳ**.

9 ἥτις: εἴτις cod. 12 βορρὰν 18 γῦναι

f. 27 ἔσται. εἴπερ οὖν μᾶλλον τὸ σὸν κράτος θελήσειεν οἰκετῶν || εὐγνωμόνων ἱκεσίαν μὴ παριδεῖν, αὐτὸς ἐλθὲ κοσμήσων τὰ ὧδε πρὸς τὴν Ἡράκλειαν, ἐπεὶ καὶ δέονται πολλά, βασιλέων ἄριστε, τῆς προνοίας σου».

6. Ταύτην ἀναγνοὺς ὁ βασιλεὺς τὴν ἐπιστολὴν κατένευσε πρὸς τὴν αἴτησιν καὶ δὴ τὸ στράτευμα συναθροίσας ὁδοῦ τῆς πρὸς Ἡράκλειαν εἴχετο. Κατ' ἐκείνην δὲ τὴν νύκτα ὁρᾷ καθ' ὕπνους ὁ ἅγιος τὴν τῆς οἰκίας στέγην, ἔνθα δὴ καὶ κατέκειτο, μέσον διαιρεθεῖσαν, φῶς τε κατιὸν ἄνωθεν καὶ φωνῆς ἀκούει λεγούσης· «Θάρσει, Θεόδωρε· μετὰ σοῦ γάρ εἰμι». ταύτῃ τῇ φωνῇ διαναστὰς τῇ προσευχῇ δέδωκεν ἑαυτὸν καὶ ὅλος ἐστομώθη πρὸς τὴν εὐσέβειαν.

7. Ἤδη δὲ τοῦ Λικιννίου τῇ πόλει προσάγοντος χεῖρας καὶ ψυχὴν col. 2 ὁ δίκαιος πρὸς Θεὸν ἀνατείνας, «Θεὲ»| ἔλεγε «τῶν ἁπάντων καὶ βασιλεῦ, ἡ γλυκεῖα καταφυγὴ τῶν σοι προστρεχόντων, ἴδε μου τὴν πίστιν καὶ μὴ ἐγκαταλίπῃς με, ἀλλὰ κατὰ τὴν ἀψευδῆ σου ὑπόσχεσιν γενοῦ μοι πρὸς βασιλέα διαγωνιζομένῳ βοηθὸς καὶ ἀντιλήπτωρ, καὶ δοθήτω μοι λόγος ἐν ἀνοίξει τοῦ στόματος καὶ διατηρηθείην ἐν τῇ ὁμολογίᾳ σου ἀγωνίζεσθαι μέλλων ὑπὲρ σοῦ πρὸς βασιλέα φθαρτόν, βασιλέα τὸν μὴ εἰδέναι σε θελήσαντα τὸν ἐπὶ πάντων Θεὸν καὶ βασιλέα, καὶ φωτεινὸς τῆς σῆς δόξης ἄγγελος τὴν ἐμὴν παραλάβοι ψυχὴν καθαρθεῖσαν ὅλως παντὸς σπίλου τῆς ἁμαρτίας τῷ τοῦ μαρτυρίου σου αἵματι».

8. Οὕτως ηὔξατο καὶ παραθέμενος ἑαυτὸν τῷ Θεῷ καὶ καθαρὰν f. 27v ἐσθῆτα περιβαλόμενος ἵππου τε|| ἐπιβὰς ἐξῆλθεν ὑπαντήσων τῷ βασιλεῖ· καὶ ἐπεὶ συνῆλθον ἀλλήλοις, ἀσπασμοὶ συνήρχοντο καὶ περιπλοκαί· θαῦμα δὲ καὶ βασιλεῖ καὶ πᾶσιν ὁ Θεόδωρος ἦν, εὔκοσμος τὸ ἦθος, εὐγενὴς τὸ παράστημα, πλήρης ἐλευθέρου φρονήματος. ὡς δὲ καὶ τῆς πόλεως ἔνδον εἰσῄει, δι' ἡδονῆς οἱ πολῖται τὴν βασίλειον εἴσοδον ἐποιοῦντο. ὁ δὲ βασιλεὺς ἡσυχίαν πᾶσιν ἐγκελευσάμενος οὕτω· φησὶ πρὸς αὐτούς· «Καλὰ μέν, ἄνδρες πολῖται, καὶ τἄλλα πάντα, πόλις καὶ δῆμος καὶ τάξις· πλέον δὲ τούτων ἀξιεπαινετώτεροι, ὅτι ἄνδρα τοῦτον — ἐπιδείξας αὐτοῖς τὸν Θεόδωρον — ἐλάχετε παρ' ὑμῖν ἔχειν». καὶ ἅμα περιβολαῖς αὐτὸν καὶ ἀσπασμοῖς ἠγαλλεν, εἶτα καὶ τῆς χειρὸς λαβόμενος col. 2 «Δεῦρό μοι ὁ | φίλτατος» ἔλεγε, «τὴν πρὸς θεοὺς εὐσέβειαν κοινῶς ἀποδῶμεν, εἶθ' οὕτω καὶ περὶ τῶν ἀνηκόντων διασκεψόμεθα».

Rubro: v. 5 *Ταύτην*, v. 12 *Τοῦ*, v. 23 *Οὕτως*.

9 φῶ(ς) τέ 14 γλυκεία 24 ἵππου τέ 25 ἀλλήλους 28 et 31 πολίται 35 δεῦρομοι

17 δοθήτω — στόματος: cf. Ephes. 6, 19.

9. Καὶ ὁ ἅγιος· «Δεόντως εἶπας, ὦ βασιλεῦ, πλὴν ἀλλὰ καὶ ἡμῶν ἀκούσειας· ἴσως ἔσται σοι καὶ ἀποδεκτὸν τὸ ῥηθέν». καὶ «Τί», φησὶν ὁ βασιλεύς, «οὔπω τὴν ἐμὴν πρὸς σὲ διάθεσιν ἔγνως;» καὶ ὁ ἅγιος «Ἔγνων» εἶπεν, «οὔπω δὲ καὶ πεπείραμαι· ἀλλ' εἴ μοι κατὰ μόνας παρασκευάσεις προσελθεῖν τοῖς θεοῖς, τότε δὴ καὶ εἰς πεῖραν ἐλεύσομαι». — «Τί δὲ κωλύει καὶ μεθ' ἡμῶν;» ὁ Λικίννιος ἔφη. καὶ ὁ μάρτυς «Πρότερον» εἶπεν, «ὦ βασιλεῦ, βούλομαι τούτους οἴκοι λαβεῖν καὶ προσευχαῖς ἱλεώσασθαι καὶ θυσίαις ἰδιαζούσαις, εἶτα καὶ μετὰ σοῦ καὶ τοῦ πλήθους αὐτοῖς προσελθεῖν». καὶ ὁ βασιλεὺς ἐξενεγκών, || οἵπερ αὐτῷ ἦσαν χρυσοῦ καὶ ἀργύρου πεποιημένοι, f. 28 ἐδίδου τῷ μάρτυρι προσθείς· «Ἀλλὰ καὶ ὑπὲρ ἡμῶν δεήθητι».

10. Παραλαβὼν οὖν ὁ μέγας τοὺς ψευδεῖς καὶ γελοίους θεοὺς καὶ εἰς λεπτὰ διελὼν θυσίαν αὐτοὺς τρόπον ἕτερον τῷ ἀληθεῖ προσῆγε Θεῷ, τοῖς πένησι διανείμας. δύο παρῆλθον ἡμέραι, καὶ ὁ βασιλεὺς μετακαλεῖται τὸν ἅγιον. καὶ ὃς ἀφίκετο· ὁ βασιλεὺς δὲ «Ἐλθέτωσαν οἱ θεοί» ἔφη, «Θεόδωρε, καὶ τὰς μεθ' ἡμῶν καὶ τοῦ πλήθους παρὰ σοῦ θυσίας λαβεῖν». καὶ ὁ ἅγιος «Εἴπερ ἄρα καὶ θεοί εἰσιν» ἔφη, «μόνοι ἐλθέτωσαν».—«Ἀλλ' οὐ δεῖ» Λικίννιος εἶπε «θεοὺς ὄντας ὑπηρετεῖσθαι παρ' ἑαυτῶν». ὁ δὲ ἅγιος· «Οὔτε καλούμενοι ἔρχονται, οὔτε ἄλλων ἀκούουσι». καὶ ὁ βασιλεύς· «Οὐχ ἡμῖν περὶ τούτων, Θεόδωρε, σκέπτεσθαι χρή· κρείττων γὰρ ἢ καθ' ἡμᾶς | ἡ κατάληψις· σέβειν γὰρ αὐτοὺς δεῖ καὶ τιμᾶν μόνον». col. 2

Σιωπὴ τῷ ἁγίῳ πρὸς ταῦτα μετά τινος μειδιάματος· καὶ ὁ βασιλεὺς «Τί μέλλεις» ἔφη, «τί τὸν χρόνον τρίβεις, Θεόδωρε;» καὶ στραφεὶς τοῖς παρεστηκόσι «Τί γέγονεν» ἔλεγε, «τί σεσιώπηκε;» πάντων οὖν ἐν ἐκπλήξει τιθεμένων τὸ πρᾶγμα Μαξέντιός τις, τὴν τοῦ κεντυρίωνος ἀρχὴν μετιών, «Ἀλλ' ἔγωγε» εἶπεν «ὃ τεθέαμαι, βασιλεῦ, οὐκ ἂν σιωπήσαιμι· τὴν τῆς μεγάλης θεᾶς Ἀρτέμιδος κεφαλὴν συγκεκομμένην εἶδον εἰς μέρη τε συχνὰ γενομένην εἰς τὸ πρατήριον· ὁ συγκόψας δὲ οὗτος καὶ ἡ πάντολμος αὐτοῦ δεξιά».

11. Ταῦτα ὡς ἤκουσε, πλήρης ὀργῆς ὁ βασιλεὺς γεγονὼς καὶ δεινὸν εἰς αὐτὸν ἀπιδὼν «Τί τοῦτο» φησί, «Θεόδωρε; τί τὰ λεγόμενα; ποῦ οἱ || θεοί; ἆρα τέθυκας αὐτοῖς ὡς ἐπηγγείλω;» τότε τὴν f. 28v σκηνὴν καὶ τὴν ὑπόκρισιν ῥίψας ὁ ἅγιος «Οὐ μὰ τὴν ἀλήθειαν» εἶπεν, «οὐ μόνον οὐκ ἔθυσα, ἀλλὰ καὶ ἡδέως κατέπτυσα καὶ τὰ ἄχρηστα χρήσιμα πεποίηκα πένησι διαδούς. ὅμως ἐγὼ μὲν ἐξύβρισά τε τούτους καὶ ἐμυκτήρισα· οὗτοι δέ, εἰ δύνανται, τὸν ὑβριστὴν

Rubro: v. 1 **Καὶ**, v. 6 **Μεθ'** ἡμῶν, v. 9 **Ὁ** βασιλεύς, v. 12 **Ὁ** μέγας, v. 14 παρῆλ|**Θ**ον, v. 17 **Καὶ** ὁ ἅγιος, v. 23 **Σ**ιωπή, v. 24 **Τί** μέλλεις, v. 26 **Π**άντων, v. 31 **Τ**αῦτα.

29 συγκεκομμένην — μέρη τέ

κολασάτωσαν». τὸν λόγον οὖν ἐκκόψας ὁ βασιλεὺς «Ὦ τῆς ἡμῶν ἀνοίας» ἔφη, «ὢ τῆς παραφορᾶς· οἵῳ προσέσχον ἐγώ· παρὰ ποίου ἠπάτημαι· καὶ ὁ μιαρὸς οὗτος οὐχ ἡμᾶς μόνον, ἀλλὰ καὶ θεοὺς διαπαίζων ἐλάνθανεν. ἀλλ' ἐγώ σοι δίκας τῆς τόλμης εἰσπράξομαι».

12. Καὶ αὐτίκα πρὸς τοὺς δημίους ἐπιστραφεὶς «Παρίτωσαν col. 2 μάστιγες» εἶπεν, «ἀποδυέσθω ὁ ἀλιτήριος, ξαι|νέσθω πικρῶς». ταῦτα λέγων καὶ ὀφθαλμοῖς καὶ ὀδοῦσι καὶ κραυγαῖς τὸ μέγα τῆς ὀργῆς ὑπεδήλου καὶ τοὺς τύπτοντας ἀνηρέθιζε. τοῦ δὲ ἁγίου ἰσχυρῶς ἤδη μαστιζομένου διεσπῶντο μέλη, ἐξηρθροῦντο χεῖρες, αἱμάτων ὀχετοὶ κατέρρεον, σπονδύλων ἁρμογαὶ διελύοντο ταῖς τῶν σφυρῶν βαρείαις καταφοραῖς. ὡς οὖν οὕτω πάσχων ὁ μάρτυς ἔμελλεν ἀφεῖναι καὶ τὴν ψυχήν, μόλις ὁ Λικίννιος ἀνέχειν ἐκέλευε τοὺς μαστίζοντας. ἐπεὶ δὲ μικρὸν ἀνεθεὶς ζῆν ἐπιστεύετο, ὀργὴ πάλιν εἶχε τὸν βασιλέα καὶ «Ὅλως» ἔλεγε «ζῇ; ὅλως ἔτι περίεστιν ὁ ἐναγής, ὁ μιαρός, ὁ κατάρατος, ὁ κατ' αὐτῶν μανεὶς τῶν θεῶν; ξεέσθω σιδηροῖς ὄνυξι· φλεγέσθω λαβροτάτῳ πυρί». ἔλεγε ταῦτα, καὶ πα- f. 29 ρῆσαν οἱ ὄ||νυχες, παρῆν καὶ τὸ πῦρ. καὶ οἱ μὲν ἔξεον, οἱ δὲ ἐπῆγον τὴν φλόγα, ὁ δὲ μάρτυς τῷ τοῦ θείου πνεύματος δροσισμῷ νοηρῶς ἀνεψύχετο.

13. Ὁ τύραννος οὖν ὥσπερ ἐπεγγελῶν «Καὶ λίθοι» ἔφη «ὀξεῖς αὐτῷ προσαγέσθωσαν εἰς θεραπείαν μείζονα τῷ γενναίῳ». καὶ πρὸς αὐτὸν ἀπιδὼν «Οἶδ' ὅτι» φησί, «Θεόδωρε, καὶ ἡ προκειμένη βάσανος καθήψατό σου σφοδρῶς· πλὴν καὶ ἡ τῶν λίθων ὀξύτης διελέγξει σου τὸ προσποιητόν». καὶ οὗτος μὲν οὕτως. ὁ δὲ μάρτυς οὐδὲ στυγνὴν ὄψιν τὸ σύνολον ἐπεδείξατο· διὸ καί τινα δῆθεν φιλανθρωπίαν ὁ Λικίννιος ὑποκριθεὶς ἀνεθῆναι κελεύει τὸν ἅγιον καί φησιν· «Ἔτι τοῖς προλαβοῦσιν ἐμμένεις, Θεόδωρε, ἢ λογισμὸς ὑπεισ- col. 2 ῆλθε βελτίων;» καὶ ὁ μάρτυς· «Οἴει δὲ ὅλως» | ἔφη «μετακινῆσαί με τῆς Χριστοῦ πίστεως; τῆς ἀλογίας· τί γάρ με καὶ παρέβλαψαν αἱ πληγαί, εἰ μὴ καὶ στερροὺς μᾶλλον ἡμᾶς ἀπειργάσαντο»; καὶ τινος τῶν παρεστηκότων «Ἀλλ' ἀπόθου τὴν πολλὴν» εἰπόντος «ἀναίδειαν καὶ τὸ πρὸς βασιλέα οὕτως ἰταμῶς διαλέγεσθαι», — «Ἀπάλλαξόν με τοῦ ζῆν πρότερον» εἶπεν ὁ μαρτυς, «ἐπεὶ ἕως ἡ ψυχὴ παρ' ἐμοί ἐστιν, οὐδείς με φόβος κωλύσει μὴ λέγειν ὑπὲρ τῆς ἀληθείας».

Καὶ ὁ βασιλεὺς «Τὸ πρὸς τοιαύτην λέγειν» ἔφη «ψυχὴν μωρία σαφής. τέως δὲ τῇ φυλακῇ τοῦτον δοθῆναι κελεύω». καὶ εἶχε μὲν

Rubro: v. 5 Πρὸς, v. 13 Ἐπεὶ, v. 20 τύραν|Νος, v. 28 Καὶ, v. 31 Τῶν, v. 33 Ἀπάλλαξον, v. 36 Καὶ

5 παρήτωσαν

αὐτὸν ὑπὲρ τῶν κολαζόντων εὐχόμενον· τινὲς δὲ προσιόντες ὑποβολῇ τοῦ τυράννου τὴν ἔνστασιν αὐτοῦ ἐπειρῶντο διασαλεύειν. ἀλλὰ γέγονε πρὸς αὐτοὺς || ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων καὶ οὐκ ἔχων ἐν f. 29v *τῷ στόματι αὐτοῦ ἐλεγμούς.*

14. Πέντε παρῆλθον ἡμέραι, καὶ ὁ βασιλεὺς ἐν μέσῳ τοῦ τόπου, ὃς Βασιλικὴ λέγεται, σταυρὸν κελεύει ξύλινον ἐμπαγῆναι, ἐν αὐτῷ δὲ διαταθῆναι καὶ προσηλωθῆναι τὸν μάρτυρα. εἶτα καὶ «Ὅσοι ἂν» ἔφη «θεραπευταὶ τῶν θεῶν καὶ τόξα ἕλκειν ἱκανοί, βέλη πεμπέτωσαν ἐπ' αὐτόν· καὶ τούτων δὲ χωρὶς ὃς ἂν ἑτέραν ἐπινοήσοι δεινὴν τιμωρίαν, φίλος οὗτος ἐμοὶ καὶ τὰ μέγιστα χαριζόμενος. μὴ μέντοι τοῖς ὀφθαλμοῖς ὀφθήτω τοῖς ἐμοῖς ἔτι ζῶν ὁ κακῶς ἀπολούμενος· μάστιξ γὰρ ἁπτομένη μου τῆς καρδίας καὶ μόνον ὁρώμενος».

15. Ταῦτα ὁ μὲν εἶπεν. ὁ δὲ τῆς εἱρκτῆς ἐξήγετο νυττόμενός τε col. 2 *καὶ τυπτόμενος, ἕως τὸν τόπον κατέλαβεν. ἱστῶσι τοίνυν οἱ κολασταὶ τὸν σταυρόν, τὸν ἀθλητὴν προσηλοῦσι· πολλὰ τὰ βέλη τῇ σαρκὶ τούτου πέμπουσι· μεστὸν αὐτὸν ποιοῦσι τραυμάτων. καὶ ὅρα κακίας ὑπερβολήν· τὰ βέλη τῶν σαρκῶν ἀφαιρούμενοι δὶς καὶ τρὶς ἠφίεσαν κατ' αὐτοῦ. οὐδὲ ταῦτα ἤρκει τοῖς υἱοῖς τοῦ σκότους, τοῖς ἐργάταις τῆς ἀνομίας· ὑποβολῇ γὰρ τοῦ δαίμονος κόλασιν ἐννοοῦσιν οὐδὲ ἀκοῦσαι μόνοις τοῖς ὠσὶ φορητήν. οἷα γὰρ ποιοῦσιν οἱ τῶν δαιμόνων φίλοι· λύουσι τὸ ἐπὶ τῆς ὀσφύος περίζωμα τῷ ἁγίῳ· τοῦ τῆς αἰδοῦς ἅπτονται μορίου καὶ — ὢ χειρῶν μιαρῶν, ὢ ψυχῆς ὠμοτάτης καὶ ἀναισχύντου — ἧλόν τινα σιδηροῦν λαβόντες ἄγαν ὀξύτατον ἐμβάλλουσι || διὰ τοῦ ἐν τῷ αἰδοίῳ πόρου καὶ τὸ λοιπὸν* f. 30 *ἦσαν οὕτω τὸν ἧλον ἐξέλκοντές τε καὶ εἰσέλκοντες συνεχῶς· καὶ οὐκ ἐνάρκουν, οὐκ ἤλγουν, οὐκ ἐμυσάττοντο. ὀδύνης οὖν αἰσθόμενος δριμυτέρας ὁ μάρτυς «Χριστὲ βοήθει μοι» μέγα ἐβόησεν· «ὁρᾷς, οἷα πάσχω καὶ πῶς σίδηρος διῆλθέ μου τὴν ψυχήν· τὸ ἀγαλλίαμά μου, λύτρωσαί με ἀπὸ τῶν κυκλωσάντων με· πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ σου»;*

16. Ταῦτα τοῦ μάρτυρος εὐξαμένου καὶ τῶν δημίων ἐπανελθόντων, ὡς ἐκπνεύσαντος δῆθεν αὐτοῦ, θεία τις οὐρανόθεν ἐφοίτησε δύναμις καὶ φωνὴ πλήρης χαρᾶς ἠκούετο λέγουσα· «Χαίροις ὁ γενναῖος ἀθλητὴς τοῦ Χριστοῦ· τὸν δρόμον τετέλεκας, τὴν πίστιν τετήρηκας. ἀπόκειταί σοι λοιπὸν | ὁ τῆς δικαιοσύνης στέφανος». col. 2 *οὕτως εἶπε καὶ εὐθὺς ἀπέπτη. συναπέπτη δὲ τῇ φωνῇ καὶ οὐλὴ*

Rubro: v. 5 *πέν|Τε*, v. 14 *Ὁ μὲν*, v. 15 *Ἱστῶσι*, v. 32 *Μάρτυρος*.

11 ἀπολλούμ(ενος) 23 μωρίου 24 ἧλόν τινά 33 θεῖά τις

29 σίδηρος — τὴν ψυχήν: cf. Psal. 104 (105), 18. 30 λύτρωσαι — κυκλωσάντων με: Psal. 31 (32), 7. 30—31 πότε—σου: cf. Psal. 41 (42), 2.

πᾶσα καὶ ὀδύνη καὶ μώλωψ, καὶ ὅλος ἦν ὑγιὴς καὶ πλήρης θυμηδίας καὶ χάριτος. ἔνθεν τοι καὶ «Ὑψώσω σε» ἔλεγεν, «ὁ Θεός μου, ὁ βασιλεύς μου, καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα· ὅτι μοι τὸ ἑσπέρας ηὐλίσθη κλαυθμὸς καὶ εἰς τὸ πρωῒ ἀγαλλίασις». καὶ οὕτως ἦν δι' ὅλης νυκτὸς εὐχαριστῶν τῷ Θεῷ.

17. Λικίννιος δὲ τῆς ἡμέρας διαλαμψάσης ἐξαναστὰς δύο τινὰς ἐκπέμπει τὴν τοῦ κεντυρίωνος ἀρχὴν μετιόντας —Ἀντίοχος αὐτοῖς καὶ Πατρίκιος τὰ ὀνόματα,—κελεύσας τὸ σῶμα τοῦ μάρτυρος (ποῦ γὰρ καὶ ἤλπιζε ζῆν τοῦτον;) ἑλκόμενον ἀτίμως ἀγαγεῖν πρὸς αὐτόν, f. 30v ἵνα διαχλευάσῃ καὶ μετὰ θάνατον, εἶτα || καὶ τῇ θαλάσσῃ δώσει. τὸν τόπον οὖν ἐκεῖνοι καταλαβόντες τὸ μὲν ξύλον, ἐν ᾧ ἀνηρτήθη ὁ ἅγιος, ἀτενίσαντες εἶδον, αὐτὸν δὲ πανταχοῦ βλέψαντες οὐχ ἑώρων. διὸ καὶ ἀνάμνησις αὐτοῖς ἦλθε τῆς ἀναστάσεως τοῦ Χριστοῦ· ὑπολαβὼν γὰρ ὁ Ἀντίοχος «Μήτι γε, φίλτατε Πατρίκιε», εἶπεν, «ὥς φασι τὰ τῶν χριστιανῶν λόγια ἐκ νεκρῶν ἐγηγέρθαι τὸν Χριστόν, οὕτω δὴ καὶ ὁ λατρευτὴς ἐκείνου Θεόδωρος ἐξανέστη; εἰ οὖν ὁ νεκρὸς οὐκ ἐκλάπη, τί ἄλλο λείπεται νοεῖν;» ἐν ὅσῳ δὲ ταῦτα διελέγοντο πρὸς ἀλλήλους, ἐπιφαίνεται τούτοις ὁ ἅγιος ψαλμὸν ἐν τοῖς χείλεσιν ἔχων, ὅλως ὑγιής, καί φησι πρὸς αὐτούς· «Τεκνία, ἐγώ εἰμι Θεόδωρος, μὴ φοβεῖσθε· Θεὸς ἐκδικήσεων κύριος, ὃς col. 2 νενεκρωμένον διὰ τὴν | ὑμῶν σωτηρίαν ἐψύχωσεν· εἰ οὖν πιστεύσετε, καὶ μείζονα τούτων ὄψεσθε». οὕτως εἰπὼν τὸν τύπον τοῦ θείου σταυροῦ διαπορουμένοις αὐτοῖς ἐπιβάλλει· ὅθεν καὶ χάριτος θείας ὑποπλησθέντες «Μέγας ὁ Θεὸς» ἐβόησαν «τῶν χριστιανῶν» καὶ προσπεσόντες αὐτῷ τῷ Χριστῷ προσαχθῆναι ἱκέτευον, «Οὐκέτι» λέγοντες «τῇ πλάνῃ δουλεύσομεν· ἕνα Θεὸν εἶναι πιστεύομεν τὸν ὑπὸ σοῦ κηρυττόμενον».

18. Γνοὺς οὖν ὁ θεῖος Θεόδωρος, ὡς ἐξ ὅλης ψυχῆς [ἐπίστευσαν] τῷ Χριστῷ, καὶ ἠσπάσατο τούτους καὶ ἐνουθέτησε καὶ τὴν ὁδὸν τῆς σωτηρίας ὑπέδειξε. τῆς δὲ φήμης τοῦ θαύματος διαδοθείσης ἁπανταχοῦ, καὶ ἕτεροι προσῆλθον τὸν ἀριθμὸν πέντε καὶ ὀγδοήκοντα, δεόμενοι τοῦ ἁγίου τῷ καταλόγῳ καὶ αὐτοὺς συναριθμηθῆναι τῶν f. 31 πι||στευσάντων. οἳ καὶ κατηχηθέντες τὸν λόγον τῆς σωτηρίας ἐντὸς ὀλίγου καιροῦ πολλὴν περὶ τὴν πίστιν ἐπεδείξαντο τὴν ἐπίδοσιν.

19. Μαθὼν δὲ τὰ γεγονότα Λικίννιος Κέστον τινὰ καλούμενον, ἕνα τῶν πατρικίων, στρατὸν αὐτῷ δοὺς ἐκπέμπει, κελεύσας πάντας τοὺς εἰς Χριστὸν πεπιστευκότας διὰ τοῦ μάρτυρος τῷ διὰ ξίφους

Rubro: v. 6 Λικίννιος, v. 10 Τόπον, v. 22 Εἰπών, v. 28 Ὁ θεῖος, v. 35 Τὰ γεγονότα   v. 28 ἐπίστευσαν *inserui*

2 ὑψώσω—αἰῶνα: Psal. 144 (145), 1.   4 τὸ ἑσπέρας—ἀγαλλίασις: cf. Psal. 29 (30), 6.

θανάτῳ ὑπαγαγεῖν. καὶ ὁ μὲν ταῦτα ἐκέλευεν· ἀπελθὼν δὲ Κέστος καὶ θεασάμενος τὴν ψυχήν τε θείου πληροῦται φωτὸς καὶ εἷς τῶν πεπιστευκότων γίνεται καὶ σὺν αὐτῷ πάντες οἱ στρατιῶται, κοινῇ βοῶντες «Εἷς Θεὸς ὁ Χριστός, σώζων τοὺς εἰς αὐτὸν πιστεύοντας». γίνεται οὖν ἐντεῦθεν τῆς πόλεως στάσις πολλή, καί τις ξιφήρης τῶν τοῦ βασιλέως ὑπασπιστῶν πλή||ξειν ὁρμήσας τὸν μάρτυρα col. 2 *ξίφει παρὰ τοῦ Κέστου πλήττεται, τοῦτον δὲ τὸν Κέστον καιρίως βαλὼν ἕτερος, Μέρπας ὄνομα, διὰ μιᾶς πληγῆς μάρτυρα τῷ Χριστῷ παραπέμπει. προῆλθεν ἂν καὶ εἰς πλείονας ἡ σφαγή, εἰ μὴ φθάσας ὁ θεῖος Θεόδωρος τὸν θόρυβον κατεκοίμισεν.*

20. Ἐπεὶ δὲ ἤκουσεν ὁ Λικίννιος πολλοὺς τῶν στρατιωτῶν προστεθέντας Θεοδώρῳ, κελεύει στρατιώτας ἑτέρους ἀφικέσθαι καὶ τὸν Θεόδωρον κατασχόντας ἀπροφασίστως τὸ τάχος ἀνελεῖν. τούτοις οὖν παραγενομένοις ἐφ' ᾧ τὸ κεκελευσμένον ποιήσουσιν οὐ συνεχώρει τὸ πλῆθος, ἕως αὐτὸς ὁ μάρτυς ἔστησεν αὐτοὺς τῆς ὁρμῆς, «Τεκνία», εἰπών, «μή μοι γένησθε τοῦ πάλαι μοι ποθουμένου τούτου καλοῦ || ἐμποδών· ἔχετε τοίνυν τὴν τοῦ Χριστοῦ εἰρήνην». ἀλλὰ καὶ f. 31v *πρὸς τοὺς ἤδη πιστεύσαντας τὴν διδασκαλίαν ποιούμενος «Κἂν ἐπὶ βασιλεῖς» ἔλεγε «καὶ ἡγεμόνας ἀχθῆτε, μηδέν, ἀδελφοί, δειλιάσητε· καὶ γὰρ ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται». οὕτως εἰπὼν καὶ τὸ πλῆθος ἅπαν πρὸς ἕνα λογισμὸν συναρμόσας καὶ πάντων ὑπερευξάμενος τῷ ὑπηρετουμένῳ ἐντέλλεται πᾶσαν αὐτοῦ τὴν ὕπαρξιν πένησι καὶ χήραις καὶ ὀρφανοῖς διανεῖμαι, τὸ δὲ σῶμα καταθεῖναι ἐν Εὐχαΐνοις ἐν τῷ τόπῳ, ὃς ἐκ πατρικῆς αὐτῷ περιῆλθε κληροδοσίας.*

21. Ταῦτα διορισάμενος, ὦ παγγέραστε μάρτυς, καὶ εὐσχημόνως ἑαυτὸν ὑποκλίνας πολλῶν παρεστώτων ξίφει τὴν μακαρίαν ἀποτέμνῃ σου κεφαλήν. | ἄραντες δέ σου τὸ ἱερὸν οἱ προστεταγμένοι col. 2 *λείψανον ἐν Εὐχαΐνοις κατέθεντο θησαυρὸν ἄσυλον, πλοῦτον ἄφατον, νοσημάτων πάντων φυγαδευτήριον, σωτήριον χρῆμα τοῖς περιοίκοις. σὺ δὲ τῷ ἐν οὐρανοῖς Χριστῷ ἡμῶν καὶ Θεῷ παριστάμενος μέμνησο βασιλέως ἡμῶν τοῦ πολλὴν ὅτι τὴν πεποίθησιν ἐπὶ σοὶ κεκτημένου καὶ χάρισαι τούτῳ ταῖς εὐκτικαῖς εἰς αὐτὸν ἱκεσίαις μήκιστον μὲν ἐνταῦθα καὶ εὐτυχῆ τὴν ζωήν, ἰσχυρὸν αὐτῷ τιθέμενος κατ' ἐχθρῶν τὸν βραχίονα, χειρούμενον ἀλλοφύλων ἐθνῶν τὰς παρατάξεις, αὐτόθι δὲ τὴν ἐκ δεξιῶν τοῦ δεσπότου παράστασιν, ἡμέρας αὐτὸν υἱὸν ἐργαζόμενος καὶ φωτὸς ἀνεσπέρου, λαμπρό-*

Rubro: v. 5 *Ἐντεῦθεν*, v. 11 *Ἐπεί*, v. 13 *Τούτοις*, v. 26 *Διορισάμενος*, v. 31 *Τῷ*, v. 34 *Μήκιστον*.

20 *ὁ ὑπομείνας — σωθήσεται*: Matth. 10, 22; 24, 13; Marc. 13, 13.

f. 32 τητος Θεοῦ κοινωνὸν καὶ τῆς δόξης, πληρούμενον χάριτος || καὶ θυμηδίας καὶ συνευφραινόμενον δικαίοις πᾶσιν· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ θ'.

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΚΑΙ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΝΙΚΗΦΟΡΟΥ.

1. Οὐδὲν ἀγάπης μακαριώτερον καὶ οὐδὲν μίσους ὀλεθριώτερον· τὴν μὲν γὰρ ὁ Θεὸς ἀγαπᾷ, τοῦ δὲ ὁ πονηρὸς περιέχεται. τῆς οὖν ἑκατέρων τούτων ἐνεργείας πολλὰ μὲν καὶ ἄλλα γνωρίσματα, ἀλλὰ καὶ τὸ νῦν ἡμῖν προτεθὲν εἰς διήγησιν· ἄνωθεν δὲ ἡμῖν ἀρκτέον τοῦ διηγήματος.

col. 2 2. Σαπρίκιός τις ἦν οὕτως ἐκ βρέφους | ὑπὸ τῶν γονέων ὀνομασθεὶς ἢ καὶ τὴν μετὰ ταῦτα τῆς ψυχῆς σαπρίαν προμηνύων ἐκ τοῦ ὀνόματος. οὗτος πρεσβύτερος τοῦ μεγίστου βήματος γεγονὼς φίλος εἰς τὰ μάλιστα τῷ Νικηφόρῳ ἐτύγχανεν λαϊκῶν κατειλεγμένῳ συστήματι. τοσαύτη τοίνυν ἀμφοτέροις ἦν ἡ φιλία, ὡς δοκεῖν ἕκαστον ἐν τῇ τοῦ ἑτέρου ψυχῇ ζῆν καὶ στόματι τῷ ἐκείνου φθέγγεσθαι f. 32v καὶ ποσὶ τοῖς ἐκείνου κινεῖσθαι. οὕτως || οὖν ἔχουσιν αὐτοῖς ἀγάπης οὕτως ὁ φθόνος, τὸ παλαιὸν τοῦ ἐχθροῦ καθ' ἡμῶν ὅπλον, διέστησεν αὐτοὺς ἀπ' ἀλλήλων καὶ εἰς μέγα μῖσος ἐξέκαυσεν, ὡς μηδὲ ὀφθαλμοῖς ἀλλήλους ἀνέχεσθαι βλέπειν· καὶ γὰρ εἴ που κατὰ τὴν ἀγορὰν συνήντησαν, ἢ ἐκ μέσης αὐτῆς ἀνέστρεφον τῆς ὁδοῦ, ἢ ἑτέραν διήρχοντο· τοσοῦτον αὐτοῖς τὸ μῖσος γέγονεν, ὅσον ἡ φιλία τὸ πρότερον ἦν.

3. Ἀλλ' ὁ καλὸς Νικηφόρος, ἡ ἀγαθὴ ψυχὴ καὶ τιμία, ταχὺ τοῦ πάθους ἀνενεγκὼν καὶ τὸν αἴτιον, ὅστις εἴη, μηδαμῶς ἀγνοήσας, τὴν ἀγάπην θερμῶς πάλιν ἀνεκαλεῖτο, οὐκ αὐτὸς τῷ φίλῳ προσελθὼν καὶ θαρρήσας τὴν συντυχίαν, ἀλλὰ μεσίταις πρότερον χρησάμενος col. 2 καὶ διαλλακταῖς, ὃ δὴ φιλίας ἐστὶ μᾶλλον ὑ|γιοῦς καὶ ψυχῆς ἡμέρου τεκμήριον, πᾶσαν κατὰ τῆς ἑαυτοῦ κεφαλῆς περιτρέψας αἰτίαν καὶ αὐτὸς ἑαυτὸν ὑπεύθυνον καταστήσας καὶ τοιαῦτα περὶ αὐτοῦ καὶ

Rubro: v. 1 Πληρούμενον, v. 8 Οὐδέν, v. 13 Ἦν, v. 26 Καλός.

πρὸς τὸν φίλον εἰπεῖν αὐτοὺς ἀναπείσας καὶ συγγνώμην αἰτήσασθαι παρ᾽ αὐτοῦ ἀξιώσας. οὗ δὴ γεγονότος καὶ Σαπρικίῳ διαπρεσβευσαμένων τῶν μεσιτῶν καὶ πολλὰ λαλησάντων, ὅσα ψυχὴν ὀργιζομένην μαλάσσειν οἶδε καὶ καταστέλλειν, ἐκεῖνος μήτε παλαιᾶς ἀπομνημονεύσας φιλίας, μήτε τὰς δεήσεις δυσωπηθεὶς τῶν ἀνδρῶν, μήτε τὴν ἐντολὴν τοῦ Θεοῦ, ὃ καὶ δακρύειν με ποιεῖ, μηδ᾽ ὅλως εὐλαβηθείς, καὶ ταῦτα ἱερεὺς ὤν, οἴμοι, καὶ λειτουργὸς καὶ θύτης καὶ μαθητὴς τοῦ εἰρηνικοῦ καὶ πρᾴου καὶ ἀγαθοῦ καὶ ὑπὲρ τῆς ἡμῶν σωτηρίας σφαγιασθέντος,|| μήτε δὲ κατὰ νοῦν εἰληφὼς ἃ συνεχῶς f. 33 *τὸν λαὸν τὰς ἱερὰς βίβλους ὑπαναγινώσκων ἐδίδασκεν· «Ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν, ἐὰν διψᾷ, πότιζε αὐτόν», καὶ τὸ «Μὴ νικῶ ὑπὸ τοῦ κακοῦ, μηδὲ ἐπιδυέτω ὁ ἥλιος ἐπὶ τῷ παροργισμῷ ὑμῶν», καὶ αὐτὰ δὲ τὰ τοῦ ἐμοῦ Χριστοῦ ῥήματα· «Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν καὶ καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς, ὅπως γένησθε ὅμοιοι τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς», καὶ «Ἄφετε τοῖς ὀφειλέταις ὑμῶν, ὅπως καὶ ὁ πατὴρ ὑμῶν ἀφήσει ὑμῖν τὰ παραπτώματα ὑμῶν». καί, ὡς εἴρηται, μηδὲν τῶν τοιούτων εἰς νοῦν ὁ ἱερεύς, οἴμοι, λαβών, πάθους μᾶλλον πληροῖ τὴν ψυχὴν καὶ τὰς τοῦ φίλου πρεσβείας ἀπράκτους καὶ κενὰς ἀπεπέμπετο, καίτοι | μηδε-* col. 2 *μίαν αὐτοῦ σκανδάλου πρόφασιν παρασχόντος, ἀλλὰ Σαπρικίου τῆς διαστάσεως αἰτίου γεγενημένου.*

4. Τί οὖν ὁ καλὸς τῷ ὄντι καὶ ποθεινὸς Νικηφόρος, ὁ πράγμασι μᾶλλον ἢ ῥήμασι τὴν κλῆσιν οἰκειωσάμενος; οὐκ ἀπηγόρευσε τὴν καταλλαγήν· οὐκ ὠλιγώρησε τῆς φιλίας. διὸ καὶ δευτέρους μεσίτας πρὸς ἱκετείαν προβάλλεται καὶ τρίτων οὐκ ἀμελεῖ. οἱ δὲ πορευόμενοι καὶ τὰ τῆς πρεσβείας ποιούμενοι παρὰ κωφῷ ᾄδειν ἐφαίνοντο· ἦν γὰρ ὁ Σαπρίκιος ὀργιζόμενος ἔτι τῷ φίλῳ καὶ λίαν ἀπεχθανόμενος.

5. Πάσης οὖν ἀπογνοὺς ἑτέρας ἐπινοίας ὁ καλὸς Νικηφόρος ἔγνω κατὰ μόνας αὐτὸς ὀφθῆναι τῷ φίλῳ καὶ αὐτὸς πρέσβυς, αὐτὸς ἱκέτης γενέσθαι, || ἐκεῖνο λογισάμενος, ὡς αἰδεσθήσεται f. 33v *Σαπρίκιος τοῦτον ἰδὼν καὶ ταχέως αὐτῷ καταλύσει τὴν ἔχθραν καὶ οὕτω ποθεινοτέρα πάλιν αὐτοῖς ἡ φιλία γενήσεται, ἐπεὶ καὶ ἥλιος μετὰ νύκτα γλυκύτερος καὶ μετὰ χειμῶνα ἔαρ ἐρασμιώτερον. καιρὸν τοιγαροῦν ἁρμόζοντα τῷ σκοπῷ φυλάξας ἡσύχῳ ποδὶ πρὸς*

Rubro: v. 22 *Οὖν*, v. 29 *Οὖν*, v. 35 *Καιρὸν*
20 *μὴ δὲ μίαν* 30 *πρέσβης*
10—11 *ἐὰν—αὐτόν*: Rom. 12,20. 12 *μὴ—κακοῦ*: Rom. 12,21. 13 *μηδὲ ἐπιδυέτω — ὑμῶν*: cf. Eph. 4,26. 13—15 *Ἀγαπᾶτε — οὐρανοῖς*: cf. Luc. 6,27 et Matth. 5, 44—45 (ubi pro *ὅμοιοι* est *υἱοί*). 15—17 *Ἄφετε — ὑμῶν*: cf. Matth. 6, 14—15; Marc. 11, 25—26.

αὐτὸν παραγίνεται, πίπτει τε πρὸς τοῖς ἐκείνου ποσὶ καὶ τὴν συμπάθειαν ἐξαιτεῖ, «Εἴ τι καὶ λελύπηκα» λέγων, «εἴ τί σοι καὶ προσέκρουσα, δὸς ἤδη συγγνώμην τῷ φίλῳ, δὸς ἄφεσιν ἁμαρτήσαντι». ἀλλ' οὐδὲ οὕτως ἐκάμφθη ἡ ἀμείλικτος Σαπρικίου ψυχή, ἀλλὰ παρωσάμενος εὐθὺς ἀντιπαρῆλθε, μήτε λόγου, μήτε τινὸς τῷ φίλῳ βλέμματος μεταδούς.

col. 2 *6. Ἐν ὅσῳ δὲ | οὗτος μὲν ηὔξανε τὰ τῆς ἔχθρας, Νικηφόρος δὲ ὁ καλὸς πάντα λίθον ἐκίνει τὴν φιλίαν ἀνακαλούμενος, ὁ πρὸς ὀλίγον ἠρεμήσας κατὰ χριστιανῶν διωγμὸς σφοδρότερον αὖθις ἀνερριπίζετο, Ἰουλιανοῦ καὶ Γάλλου τῶν δυσσεβῶν βασιλέων γράμμασιν εἰς ἄρνησιν ἐκκαλουμένων Χριστοῦ καὶ κοινωνίαν τῆς αὐτῶν δυσσεβείας ἅπαν αὐτῶν τὸ ὑπήκοον.*

Τοῦ τοιούτου τοίνυν προστάγματος καὶ τὴν πόλιν καταλαβόντος, ἐν ᾗ κατῴκουν ἄμφω, Νικηφόρος τε καὶ Σαπρίκιος, ὁ μὲν διὰ τὸ τῆς ἱερωσύνης ἀξίωμα ἐπισημότερος ὤν, ὁ Σαπρίκιος χειρωθεὶς δίκας ὑπὲρ τῆς εὐσεβείας ὑπὸ τοῦ ἡγεμόνος ἀπῃτεῖτο καὶ πρῶτον μὲν ὄνομα καὶ σέβας καὶ τάξιν εἰπεῖν ἐκελεύετο. ὡς δὲ Σαπρίκιος
f. 34 *μὲν ἔφη τὴν || κλῆσιν, χριστιανὸς δὲ τὸ σέβας καὶ πρεσβύτερος τὸ ἀξίωμα, ἐκφοβεῖν αὐτὸν ὁ ἡγεμὼν τοῖς βασιλικοῖς διατάγμασι καὶ ταῖς ἀπειλαῖς ἐπειρᾶτο. καὶ ὁ Σαπρίκιος «Ἀλλ' ἡμεῖς, ὦ ἡγεμών», ἔφη, «ἕνα Θεὸν προσκυνοῦμεν, μόνον αὐτὸν ποιητὴν ὁρατῶν τε καὶ ἀοράτων εἰδότες, τὰ δὲ τῆς ὑμετέρας πλάνης ἐξουθενοῦμεν, ἔργα τέχνης ἀνθρωπίνης τῶν θεῶν ὑμῶν ὄντων καὶ πηλίνων χειρῶν πράγματα». πρὸς ταῦτα ὁ δεινὸς ἐκεῖνος διώκτης ὀργῆς πληρωθεὶς ἐχώρει πρὸς τιμωρίας καὶ πρῶτα μὲν ἐμβάλλει κοχλίᾳ τινὶ χαλεπῷ τὸν Σαπρίκιον. οὗτος δὲ ὁ κοχλίας μηχανήμασι καὶ τέχναις στρεφόμενος ἐδόκει μὲν πᾶσιν ἐκδαπανῆσαι τούτου τὸ σῶμα καὶ πικρότατα*
col. 2 *τῆς παρούσης αὐτὸν ἀποστερῆσαι ζωῆς. ἐπεὶ δὲ καλῶς | ἐνεκαρτέρει διὰ Χριστὸν πρὸς τὸ τῆς βασάνου σφοδρόν, πᾶσαν ἐλπίδα μεταβολῆς ὁ διώκτης ἀπαγορεύσας τοιαύτην κατ' αὐτοῦ δίδωσι τὴν ἀπόφασιν· «Σαπρίκιον» φησὶ «τὸν τῶν χριστιανῶν ἱερέα, θεοῖς θῦσαι μὴ βουληθέντα, τῷ διὰ ξίφους θανάτῳ παραδιδοῦμεν».*

7. Ὁ μὲν οὖν ἤγετο τὴν ἐπὶ θανάτῳ· Νικηφόρος δὲ ταῦτα μὴ ἀγνοήσας, ἡ μεγάλη διὰ Χριστὸν ψυχὴ καὶ ὄντως φιλόσοφος, ἔμελε γὰρ αὐτῷ καὶ τοῦ φίλου σφόδρα καὶ τῆς πρὸς ἐκεῖνον διαλλαγῆς, τρέχει πρὸς αὐτὸν καὶ μόνον φανεὶς ἀθρόον ἅπτεται τῶν ἐκείνου ποδῶν καὶ θερμότατα δεῖται καὶ ἱκετεύει μὴ καταλιπεῖν αὐτὸν

Rubro: v. 7 *Οὗτος*, v. 13 *τοι|Οὕτου*, v. 24 *Δεινός*, v. 33 *Ἤγετο*.
5 *μή τέ τιν(ος)* 14 *τὲ καὶ* 23 *πήλινα?* 34 *ἔμελλε*

ἀσυγχώρητον, «Μὴ πρὸς τῆς ἀγάπης ἐκείνης» λέγων, «μὴ πρὸς τῆς σεπτῆς τριάδος, μὴ πρὸς τῶν σωτηρίων τοῦ Χριστοῦ παθημάτων,|| f. 34v οὗ σὺ λειτουργὸς καὶ μιμητὴς ἄρτι καὶ κοινωνὸς τῆς νεκρώσεως, μὴ πρὸς τῶν ἄθλων καὶ πόνων, ὧν ὑπέστης δι' αὐτὸν καὶ ὧν μέλλεις διὰ τοῦ μαρτυρίου προσάγεσθαι, μὴ οὕτω πρὸς αὐτὸν ἀπέλθῃς ἄσπονδος, ἄσπλαγχνος πρὸς ἐμὲ τὸν φίλον καὶ ἀδιάλλακτος, ἀλλὰ δὸς ἤδη τῷ κακῷ λύσιν, δὸς συγγνώμην τῷ ἁμαρτήματι».

8. Ταῦτα ὁ μὲν τῶν ποδῶν εἴχετο λέγων καὶ θερμὰ δάκρυα τῶν ὀφθαλμῶν ἀποστάζων, ὁ δέ, ὢ ψυχῆς ἀφιλανθρώπου καὶ ἀνημέρου, οὐδὲ ἐρριμμένῳ πρὸς τοῖς ποσὶν ἐπεστράφη τῷ φίλῳ οὐδὲ πάθει τοσούτῳ καὶ ὀδυρμοῖς ἐπεκλάσθη, θηρίοις παραπλήσιος γεγονώς, ἀλλὰ κηρῷ μνησικακίας τὰ ὦτα φραξάμενος συντονώτερον μᾶλλον εἴχετο τῆς πορείας, | col. 2 ὃ καὶ πενθεῖν μᾶλλον ἐποίει τῷ Νικηφόρῳ, μανίᾳ καὶ θυμῷ νενικημένον ὁρῶντι Σαπρίκιον. διὸ καὶ πρὸς τὴν συντομωτέραν ὁδὸν πορευθεὶς προϋπαντᾷ πάλιν τῷ Σαπρικίῳ, τὰς αὐτὰς ἱκεσίας ποιούμενος, πλουσίᾳ δακρύων ἐπιρροῇ τὸν ἔλεον ἐκκαλούμενος· ὁ δὲ κωφὸς ἦν ἔτι πρὸς ταῦτα, νεκρὸς λίθῳ παντάπασιν ἐοικώς, μήτε φωνῆς ἀκούων τοῦ φίλου, μήτε τῷ ταπεινῷ τῆς θέας ἐπικαμπτόμενος, ὡς καὶ τοὺς ἀπάγοντας αὐτὸν δημίους, ὁρῶντας τὴν τοῦ Νικηφόρου ταπείνωσιν καὶ πρὸς τὴν ἀγάπην σπουδήν, μυκτηρίζειν πρὸς ἑαυτοὺς τὸν ἄνδρα καὶ μωρὸν ἀποκαλεῖν καὶ εἰς οὐδὲν τηλικούτους ἀνύοντα πόνους, «Καὶ ἵνα τί, ὦ οὗτος», εἰπόντας πρὸς αὐτόν, «οὐ παύῃ κοπτόμενος; || f. 35 κατάδικος ἄγεται Σαπρίκιος παρ' ἡμῶν, τῇ διὰ ξίφους ὑπόκειται ψήφῳ, ἐπὶ θύραις ἐστὶ τῆς σφαγῆς, καὶ παρ' αὐτοῦ συγγνώμην αἰτεῖς, ἀνθρώπου δεομένου τοῦ παρ' ἑτέρων ἐλέους».

9. Ταῦτα ἐκεῖνοι ἔλεγον οὐκ εἰδότες, πρὸς τί Νικηφόρῳ αἱ τοσαῦται δεήσεις· διὸ καὶ κατόπιν ἠκολούθει τῶν δημίων, ἐλεεινὸς καὶ δεδακρυμένος, θερμοτέρας ἔτι δεήσεις προτείνων καὶ πάντα ποιῶν, ὥστε τὴν λιθίνην ψυχὴν ἐκείνην πρὸς διαλλαγὴν ἐπισπάσασθαι. οὕτως οὖν ἔχοντες τὸν τῆς τελειώσεως κατέλαβον τόπον. ἐπεὶ δὲ ἤδη χεῖρες δημίων τὸ ξίφος ἐπανετείνοντο καὶ ὑποσχεῖν ἔμελλε τὸν αὐχένα Σαπρίκιος, ἐν χερσί τε ἦν ἤδη τὰ ἆθλα, οἱ στέφανοί τε ὑπὲρ κεφαλῆς, οἷα ποιεῖς, ὦ κοινὲ τοῦ γένους πολέμιε· πῶς | col. 2 μὴ τὰ ἑξῆς κλαύσομαι μᾶλλον ἢ διηγήσομαι; προεκπηδᾷ γάρ μοι τοῦ λόγου τὰ δάκρυα, τοσοῦτον ἀπαγγεῖλαι μέλλοντι πάθος καὶ οὕτω ψυχαῖς φιλανθρώποις βαρύτατον.

Rubro: v. 8 ταῦ|Τα, v. 27 ταῦ|Τα, v. 32 Χεῖρες
33 ἐν χερσὶ τὲ 34 τοῦ [ἀνθρωπίνου] γένους?

10. Ἐπεὶ γὰρ γόνυ κλῖναι πρὸς τὴν ἐκτομὴν ὑπὸ τῶν δημίων ὁ Σαπρίκιος ἐκελεύετο, σκότει μνησικακίας πληρωθεὶς τὴν ψυχὴν τὴν αἰτίαν ἠρώτα τῆς ἀναιρέσεως. τῶν δὲ «Ὅτι βασιλικῶν καταφρονήσας ἐπιταγμάτων θῦσαι τοῖς ἐκείνων οὐκ ἐπείσθης θεοῖς» ἀποκριναμένων, ὢ τῶν ἐμῶν κακῶν, ὢ τοῦ χαλεποῦ τῆς μνησικακίας πάθους, ἥτις καὶ σοῦ, Χριστὲ Σῶτερ, τῆς μερίδος ἀλλοτριοῖ καὶ ὑπὸ τῆς σῆς ὁ τοιοῦτος ἐγκαταλείπεται χάριτος· ἕνα τῶν κατε- *f. 35v* χόντων ἀπίστων ἀνομολογεῖ, φεῦ, ἑαυτὸν καὶ ‖ Σαπρίκιος καὶ ὑπὸ τοῖς ἁπάντων ὀφθαλμοῖς ἀνέδην ἐξόμνυται τὴν εὐσέβειαν, καθάπερ ἐπ' αὐτῷ προειπόντος τοῦ Σολομῶντος· «Ὁδοὶ μνησικάκων εἰς θάνατον ἄγουσιν». ἃς ἐλθών, οἴμοι, Σαπρίκιος θάνατον ἐλεεινῶς τὸ κατάλυμα εὗρε καὶ θάνατον ὄντως ἀθάνατον.

11. Τοῦτο μείζονα τῇ Νικηφόρου ψυχῇ τῆς ἀθυμίας ὑπανάπτει τὴν φλόγα, ὅτι καὶ Χριστοῦ ἔξαρνος ὁ ἄθλιος γέγονε· δι' ὃ καὶ ἀνεφλέγετο τὰ σπλάγχνα καὶ θερμότερον αὐτὸν παρεκάλει, «Μή, ἀδελφὲ» λέγων «καὶ πάτερ, μὴ θελήσεις προδοῦναι Θεόν, ὅς σε καὶ εἰς τὸ εἶναι παρήγαγε. τίμησον τὸ μέγα τῆς ἱερωσύνης ἀξίωμα, μὴ πρῶτος αὐτὸς καὶ μόνος τὸ τίμιον ἀτιμάσῃς· μή, δέομαί σου *col. 2* τοῦ φίλου· αἰδέσθητι τοὺς διὰ Χριστὸν ἄθλους, | τὰς χαλεπὰς ἐκείνας τοῦ κοχλίου περιτροπάς, τὴν καινοτάτην τοῦ σώματος κάκωσιν· μὴ ψεύσῃ τὴν ὑπὲρ τῆς τριάδος ὁμολογίαν. δεῖταί σου σὺν ἐμοὶ καὶ τάξις ἀγγέλων καὶ μαρτύρων χορεία· μὴ τὴν πάτριον ἐξομόσῃ εὐσέβειαν. ἤδη σοι καὶ διὰ χειρὸς τὰ βραβεῖα, μόνον οὐχ ὑπὲρ κεφαλῆς οἱ τῆς ἀθλήσεως στέφανοι».

12. Τούτων οὕτω περιπαθῶς λεγομένων, ἐπεὶ πλείων ἡ ἀπόνοια Σαπρικίῳ, μὴ ἔχων ὅτι καὶ πράξει ἕτερον ὁ καλὸς Νικηφόρος, ἑαυτὸν ἀντεισάγει τῷ μαρτυρίῳ, τὴν ἴσην ὁμολογίαν ἐπιδεικνύς, τὸν ἴσον θάνατον ἐκκαλούμενος, καὶ τὸν αὐχένα ὑπετίθει καὶ τὸ ξίφος ἐζήτει καὶ τὰς δημίων χεῖρας εἷλκε καθ' ἑαυτοῦ. ἀλλ' οὗτοι *f. 36* παρευθὺς διά τινος ταχυδρόμου τῷ ἡγεμόνι ‖ τὰ κατὰ τὸν Νικηφόρον γνωρίζουσιν, ὅπως Σαπρίκιος μὲν ἀθετῆσαι μετὰ τῆς ὁμολογίας καὶ τὴν εὐσέβειαν, Νικηφόρος δέ τις ἀντεισέλθοι μετὰ θερμοτέρας τῆς ὁμολογίας καὶ παρρησίας, ἀπαιτῶν καθάπερ τι χρέος ἐκείνου τὸν θάνατον.

13. Ὡς οὖν ἀπηγγέλη ταῦτα τῷ ἡγεμόνι, ὁ μὲν ἐπὶ σὲ τὸν καλὸν Νικηφόρον μετάγει τὴν ψῆφον· καὶ δέχῃ, πανάριστε, τὴν διὰ ξίφους τελείωσιν, ὀλίγου καιροῦ καὶ πόνου βασιλείαν οὐρανῶν ὠνησάμενος,

Rubro: v. 1 Ἐπεί, v. 13 Τῇ, v. 25 περι|Παθῶς, v. 35 ἀπηγγέ|λη
3 ἠρῶτα 19 ἐκεῖνας 28 ἶσον
10—11 ὁδοὶ — ἄγουσιν: cf. Par. 12, 28.

ἔνδοξε, Νικηφόρος μᾶλλον ἀναφανεὶς ἐκ τοῦ πράγματος, ἢ τοῦ ὀνόματος, καὶ νικήσας οὐ πλάνην μόνον, ἀλλὰ καὶ πάθος μνησικακίας. καὶ νῦν στεφανηφόρος τῷ Χριστῷ παριστάμενος αἴτησαι, τρισόλβιε, δωρηθῆναι βασιλεῖ ἡμῶν τῷ | θεοφιλεῖ καὶ πιστῷ μεγίστας col. 2 νίκας κατὰ τῶν ἐναντίων ἐχθρῶν ὁρατῶν ὁμοῦ καὶ ἀοράτων, ἰσχὺν χορηγῶν αὐτῷ καὶ κράτος ἅμα χειρὶ πανσθενεῖ τοῦ δεσπότου τῶν ὅλων, ἀλλὰ καὶ δόξης τῆς μενούσης καὶ θείας κοινωνὸν ἀπέργασαι τοῦτον λιταῖς σου, ἥμερον αὐτῷ τὸν κριτὴν καὶ δεσπότην ἐν τῇ φοβερᾷ τῆς κρίσεως ἡμέρᾳ, λαμπρόν, γαληνόν, εὐπρόσιτον εἰς ἅπαν, πρὸς φωτοειδῆ παραπέμποντα χώραν καὶ κλῆρον αὐτὸν τῶν εὐηρεστηκότων· ὅτι αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ ι'. *f. 36v*

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ ΧΑΡΑΛΑΜΠΟΥΣ.

1. Ὁ τῆς καλὸν ἐκλαμπούσης χάριτος ἐπώνυμος Χαραλάμπης, Σευήρου τοῦ δυσσεβοῦς βασιλέως πάντας χριστιανοὺς θύειν τοῖς ματαίοις εἰδώλοις δόγμασιν ἀσεβέσι δι' ἑαυτοῦ τε καὶ τῶν ὑπ' αὐτὸν ἀρχόντων καταναγκάζοντος, παρὰ τῶν εἰς αὐτὸ τοῦτο τεταγμένων καὶ αὐτὸς συλλαμβάνεται καὶ Λουκίῳ τῷ ἡγεμόνι προσάγεται· ὃν ἐκεῖνος τῷ βήματι παραστήσας ὄνομα τούτου διηρώτα| col. 2 καὶ σέβας. ὁ δὲ ὅλην ἔχων εἰς Χριστὸν τὴν πεποίθησιν καὶ Χαραλάμπης ἔφη καλεῖσθαι καὶ χριστιανὸς ἀψευδής εἶναί τε καὶ ὀνομάζεσθαι.

2. Πρὸς ὃν ὁ ἡγεμὼν «Οὐκ ἤκουσας» ἔφη «τοῦ βασιλικοῦ δόγματος, οἵαις ὑποβάλλει κολάσεσι τοὺς οὐ πειθομένους θυσίας προσφέρειν τοῖς θεοῖς καὶ τιμήν;» καὶ ὅς· «Ἀλλ' οὐχ ὁ ἐμὸς Χριστὸς τοῦτο βούλεται, ὅς ἐστιν ἐπουράνιος βασιλεύς, ποιητὴς ὁρατῶν ἅμα καὶ ἀοράτων, δι' οὗ βασιλεῖς τε βασιλεύουσι καὶ τύ||ραννοι *f. 37* κρατοῦσι γῆς. διὸ καὶ λῆρον ἡγοῦμαι τὰ παρὰ τοῦ βασιλέως σου

Rubro: v. 4 *Μεγίστας*, v. 10 *Πρὸς*, v. 16 *Ὁ*, v. 25 *Ἡγεμών*, v. 27 *Καὶ ὅς*
18 *δι' ἑαυτοῦ τὲ* 21 *διηρῶτα* 29 *βασιλεῖς τὲ*

προστάττόμενα, καὶ οὐκ ἄν με πείσῃς ἀποστῆναί ποτε τοῦ Χριστοῦ καὶ δαίμοσι θυσίαν προσενεγκεῖν». τότε τοίνυν σὺν ἅμα τοῖς ὑπ' αὐτὸν ὁ βέβηλος ἡγεμὼν κελεύει, καὶ γυμνοῦται ὁ θαυμάσιος γέρων καὶ μάστιξι σφοδροτάταις αἰκίζεται, ἀλλὰ καὶ σιδηροῖς ὄνυξι τὰς σάρκας ἀπηνῶς καταξαίνεται καὶ ὅλον τὸ σῶμα σπαράττεται. καὶ μηδὲν πρὸς τὰς κολάσεις ὑποχαυνούμενος «Ἀνακαινίζετέ μου τὸ σῶμα» πρὸς τοὺς κολαστὰς ἔλεγε «καὶ τὸν λογισμὸν ὅλον πρὸς τὰ μένοντα καλὰ διεγείρετε, ἅπερ Χριστὸς ὁ Θεὸς ἡμῶν ἡτοίμασε τοῖς ἠγαπηκόσιν αὐτόν».

3. Οἱ τοίνυν κολασταί, τὴν τοῦ μάρτυρος ἐκπληττόμενοι καρτε- col. 2 *ρίαν, «Μήτι οὗτός ἐστιν» ἔλεγον πρὸς τοὺς | ἄρχοντας «ὁ λεγόμενος παρὰ τῶν Γαλιλαίων Χριστὸς καὶ πεῖραν ἡμῖν ἐπάγει, ἵνα τὴν ὅλην Ἀσίαν (ταύτης γὰρ ὁ μάρτυς ὡρμᾶτο) τοῖς θαύμασιν αὐτοῦ ἐπαγάγηται; ἰδοὺ γὰρ τὰ κολαστήρια ἡμῶν ἐξέλιπον ὄργανα, αἱ χεῖρες ἡμῶν ἐξησθένησαν, καὶ αὐτὸς ἀκμαῖος ὥσπερ ἐπὶ τούτοις δείκνυται τοῖς δεινοῖς». ὁ τοίνυν ἡγεμὼν θυμοῦ γεμισθεὶς ἐπιπλήττει λόγοις τοὺς στρατιώτας καὶ μᾶλλον ἐπιτείνει δι' αὐτῶν τῷ ἁγίῳ τὰς τιμωρίας. ὁ δοὺξ δὲ τούτους ὅλως ἰδὼν ἐξησθενηκότας χερσὶν οἰκείαις, ὑπὸ τοῦ δαίμονος ὁρμηθείς, ξυστῆρα λαβὼν καὶ τοῦ μαρτυρικοῦ κατεπαρθεὶς σώματος (τίς σου, Χριστέ μου, τὴν ἰσχὺν μὴ θαυμάσει;) ἐξ ἀγκώνων αὐτὰς τοῦ σώματος τοῦ ἁγίου διακο-* f. 37v *πήσας ἐκ||κρεμαμένας ἀφῆκε καὶ τὸν ἡγεμόνα πρὸς βοήθειαν ὁ σιδήρου καὶ λίθων ἀναισθητότερος ἐξεκάλει. ὁ δὲ τὸ παράδοξον τοῦτο κατιδὼν καὶ γοητείαν τὸ πρᾶγμα καλέσας ἐμπτύει τῷ προσώπῳ τοῦ μάρτυρος — ὡς μεγάλα σου τὰ ἔργα, κύριε, — καὶ ἅμα τὴν κεφαλὴν εἰς τοὐπίσω περιστραφεῖσαν εἶχεν· ὁ οὖν ὄχλος τὸ παράδοξον θεασάμενοι ἐπίστευσαν τῷ Χριστῷ καὶ τῆς ἐπουρανίου ζωῆς ἠξιώθησαν. ἀλλὰ καὶ αὐτὸς οὗτος Κουλκιανὸς ὁ δοὺξ καὶ Λουκιανὸς ὁ ἡγεμὼν προσπεσόντες τῷ μάρτυρι τὴν ἴασιν ἐξῃτοῦντο καὶ μέντοι δὴ καὶ πιστεύσαντες τετυχήκασι τῆς ἰάσεως καὶ ὑγιεῖς ταῖς τοῦ δικαίου εὐχαῖς ἀποκατέστησαν ὡς τὸ πρότερον. καὶ ὁ μὲν* col. 2 *δοὺξ καὶ τοῦ θείου | κατηξιώθη βαπτίσματος, καὶ πᾶς ὁ ὄχλος προσιόντες τὸν τῆς ἀληθείας ἐδιδάσκοντο λόγον καὶ τοὺς νοσήμασι παντοίοις κάμνοντας τῷ ἁγίῳ προσάγοντες ὑγιεῖς ἀπελάμβανον καὶ ψυχὰς τεθεραπευμένους καὶ σώματα. ἀλλὰ δὴ καὶ νεκροὺς αὐτῶν οὐκ ὀλίγους ζῶντας ἔβλεπον ἐπικλήσει Χριστοῦ.*

4. Ὁ δέ γε παχὺς τὸν νοῦν ἡγεμὼν τῷ βασιλεῖ τούτου προσεν-

Rubro: v. 2 *Τοίνυν*, v. 10 *τοί|Νυν*, v. 16 *Τοίνυν*, v. 23 *Παράδοξον*, v. 37 *Ὁ δὲ*

13 ὁρμᾶτο

τυχών, «Βασιλεῦ» εἶπεν, «ἔστι τις Γαλιλαῖος ἀνὴρ παλαιὸς ἡμερῶν, τέρατά τινα διαπραττόμενος μέγιστα. ἡμῶν γὰρ καὶ κολακείαις καὶ ἀπειλαῖς καὶ τιμωρίαις ἀποστῆσαι τοῦτον σπευδόντων τῆς θρησκείας αὐτοῦ καὶ τοῖς θεοῖς προσαγαγεῖν, αἱ μὲν τοῦ δουκὸς ὁρμήσαντος αὐτὸν ἀποξέσαι χεῖρες ἄφνω τῶν ἀγκώνων ἐξεκόπησαν, ἐμοῦ δὲ διαπτύσαντος || τὸ πρόσωπον διεστράφη, καὶ ἦμεν οὕτω f. 38 *πάσχοντες ἄχρις οὗ προσηύξατο καὶ ὑγιεῖς ἡμᾶς ὁ γέρων ἀποκατέστησεν. ὁ μὲν οὖν Λούκιος τῷ ὑπ' ἐκείνου κηρυττομένῳ πεπιστεύκει Χριστῷ καὶ πᾶσα ἡ Μαγνησία, ἐγὼ δὲ ταῦτα μὴ φέρων ὁρᾶν ἦλθον τοῦ ἀναγγεῖλαί σοι».*

5. *Οὕτως ἔφη, καὶ πλῆθος ὁ βασιλεὺς ἐκπέμπει στρατιωτῶν δέσμιον αὐτὸν κελεύσας ἀχθῆναι πρὸς αὐτόν, ἐν Ἀντιοχείᾳ τῆς Πισιδίας διάγοντα. ἤχθη τοιγαροῦν ὁ θαυμάσιος καὶ πρὶν ἢ πρὸς γνῶσιν ἔλθῃ τῷ βασιλεῖ — οἷά σου, πονηρέ, τὰ τεχνάσματα — φαίνεται τῷ Σευήρῳ ὁ παλαιὸς ἐν κακίᾳ γέροντος ἐν εἴδει τινὸς καὶ βασιλέα λέγει τυγχάνειν ἑαυτὸν τῶν Σκυθῶν, αἰχμαλώτους τε γενέσθαι τοὺς ὑπ' αὐτὸν ἅπαντας ὑπὸ τῶν τοῦ Χαραλάμπους |* col. 2 *γοητειῶν καὶ τοῦ γε χάριν πρὸς αὐτὸν ἐληλυθέναι, γνώριμον ὡς ἂν αὐτῷ τὸ πρᾶγμα ποιήσοι, ἵνα μὴ καὶ οὗτος τὰ παραπλήσια πάθοι. ταῦτ' εἶπεν ὁ πονηρός, εἰς ὀργὴν αὐτὸν ἐκκυλίσας, καὶ ἅμα τὴν τοῦ Χαραλάμπους οἱ πεμφθέντες τῷ βασιλεῖ προσαγγέλλουσιν ἄφιξιν. καὶ ὃς μὴ λόγου τοῦτον μεταδούς, μὴ ψιλῆς τινος ἐρωτήσεως, ὡς εἶδε μόνον αὐτόν, ἧλον κελεύει σιδηροῦν ἐμπαρῆναι τούτου τῷ στήθει, πῦρ τε σφοδρὸν ἀναφθῆναι κἂν τούτῳ βληθῆναι τὸν ἀθλητήν.*

6. *Γίνεται τοῦτο, καί τις γυνή, παλλακῆς τοῦ βασιλέως ἀδελφή, τέφραν λαβοῦσα καταχέει τῆς τοῦ μάρτυρος κεφαλῆς, «Ἀπόθνησκε», λέγουσα, «γέρων, ἀπόθνησκε καὶ μὴ κακῶν γίνου καὶ ἡμῖν αἴτιος». πρὸς ἣν ὁ θαυ||μάσιος «Οὐδὲ φοβῇ σὺ τὸν Θεόν;»* f. 38v *ἔφη· «τί γάρ σε καὶ Σεύηρος ὠφελήσει, Χριστοῦ σε ταῖς ἀθανάτοις παραδιδόντος διὰ ταῦτα κολάσεσι»; οὕτως εἶπε, καὶ ταῖς κολάσεσι παρεδίδοτο. σβέννυται τοίνυν αὐτίκα τὸ πῦρ, τῶν δεινῶν ὁ ἅγιος λύεται καὶ ἀπαθὴς ὁρᾶται κακοῦ. καὶ ὁ βασιλεὺς «Εἰπέ μοι» φησίν, «ὦ Χαράλαμπες· ἐγὼ γὰρ τῷ παροξυσμῷ τοῦ Σκυθῶν βασιλέως οὐ πρότερόν σοι συνεῖδον πρὸς λόγους ἐλθεῖν· πῶς τοσούτων ἐτῶν ἄνθρωπος ὢν οὐκ ἠδυνήθης ἐπιγνῶναι τοὺς ἀηττήτους θεούς; λέγε δὲ καὶ ὅσος ὁ τῆς ζωῆς σου χρόνος καὶ εἰ γυναικὶ νόμῳ γάμου*

Rubro: v. 11 *Πλῆθος*, v. 20 *Ταῦτ'*, v. 26 *Τοῦτο*, v. 29 *θαυ||Μάσιος*, v. 32 *σβέν|Νυται*.

2 τέρατα τινὰ   13 πισσιδίας   20 ἐκκοιλίσ(ας)   22 τινὸς

προσῆλθες;» καὶ ὁ ἅγιος· «Ὁ πολὺς οὗτος χρόνος (εἰμὶ γάρ, ὡς ὁρᾷς, ἑκατὸν ἐτῶν καὶ τρισκαίδεκα, ὡς ἀπὸ τῆς [τῶν] τεκόντων μαρ- col. 2 *τυρίας ἠρίθμησα) τὸν ἀληθῆ | Θεὸν εὑρηκέναι με πρὸ πολλοῦ τὸν Χριστὸν παρεσκεύασεν, ᾧ καὶ πεπίστευκα καὶ λατρεύω, ὑπὲρ οὗ καὶ χεθῆναί μου τὸ αἷμα διψῶ. γυναικὶ δὲ οὐμενοῦν παρ' ὅλον τὸν βίον ὡμίλησα, τοῦ Χριστοῦ με φυλάξαντος». καὶ ὁ βασιλεύς· «Σὺ δοκεῖς μοι καὶ νεκρὸν ἐγεῖραι δυνατὸς εἶναι». καὶ ὁ ἅγιος «Οὐκ ἀνθρώπου, Χριστοῦ δὲ μόνου τὸ κατόρθωμα τοῦτο», εἶπεν, «ὦ βασιλεῦ». κἀκεῖνος ἄνθρωπον ἐνεχθῆναι κελεύει χρόνοις ἐν ὅτι πολλοῖς—πέντε γὰρ ἠρίθμουν αὐτοὺς καὶ τριάκοντα—δαιμονίᾳ πληγῇ μαστιζόμενον. ὃς ἐπεὶ πλησίον τοῦ ἁγίου γένοιτο, φωνὴν ἀφῆκε διὰ τοῦ δαίμονος, «Μή με πρὸ καιροῦ» λέγων, καθὰ δὴ καὶ ἐπὶ τοῦ ἐμοῦ Χριστοῦ, «βασανίσῃς, ἅγιε· εἴκω γάρ σου τῷ κελεύσματι* f. 39 *καὶ ἐξέρχομαι· πλὴν εἰ βούλει καὶ τὸν τρόπον,|| δι' ὃν ἐπῆλθον τούτῳ δὴ τῷ ἀνδρί, μαθεῖν, εἴπω». καὶ τοῦ ἁγίου εἰπεῖν αὐτὸν κατανεύσαντος, ἐκεῖνος «Ἐνενόησεν οὗτος» ἔφη «συλῆσαι τὴν τοῦ πλησίον οὐσίαν, καὶ ἐπεὶ πεφόνευκε τὸν ἄνθρωπον, εἰσελθὼν εἰς τὰ προσόντα τούτῳ διήρπαζε· κατέσχον αὐτὸν διὰ τὸ παράνομον, καὶ ἰδοὺ ἔκτοτε τριάκοντα καὶ πέντε διεληλύθασιν ἔτη, σοῦ δὲ κελεύοντος ἐκπορεύομαι». καὶ ὁ ἅγιος· «Ἀλλὰ νῦν ἔξελθε τοῦ πλάσματος τοῦ Θεοῦ, μηδὲν αὐτὸ παραβλάπτων». καὶ ἅμα τῷ λόγῳ σωφρονῶν ὁ ἀνὴρ ἐδείκνυτο καὶ θαῦμα παρέχων τῷ πλήθει. ἀλλὰ καὶ βασιλεὺς αὐτὸς ἐξεπλάγη τῷ παραδόξῳ τοῦ πράγματος.*

7. Τρεῖς παρῆλθον ἡμέραι, καί τις νεανίσκος νεκρὸς ἐπὶ κλίνης col. 2 *ἐκκομιζό|μενος ὁρᾶταί που τῷ βασιλεῖ· καὶ ὃς στῆναι τὴν κλίνην ἐκέλευσε καὶ τὸν μάρτυρα παραχθῆναι καὶ πρὸς αὐτὸν «Εἴ μοι» φησὶ «καὶ τὸν νεκρὸν τοῦτον ἀναστήσεις, Χαράλαμπες, ἀξιόλογος ἂν κριθείης ἐμοὶ καὶ θαυμάσιος». γίνεται τοῦτο, καὶ τὸν νεκρὸν ἀνίστησι δι' εὐχῆς ὁ θαυμάσιος. πολὺ οὖν πλῆθος τῶν συνειλεγμένων προσῆλθε Χριστῷ καὶ ἀληθῆ Θεὸν αὐτὸν ὡμολόγησεν· ἀλλ' οὐχὶ καὶ βασιλεύς. Κρίσπου γὰρ τοῦ ἐπάρχου προσιόντος αὐτῷ καὶ μαγείαις τελεῖσθαι ταῦτα παρὰ τοῦ Χαραλάμπους εἰπόντος, ὁ κοῦφος καὶ ἀσύνετος οὗτος πρὸς θυσίαν ἐκάλει τὸν ἅγιον, «Θῦσον, ὦ Χαράλαμπες, τοῖς θεοῖς» λέγων «καὶ ἀπαλλάγηθι τῶν μενουσῶν* f. 39v *σε βασάνων». καὶ ἐπεὶ ἀντιλέγοντα τοῖς παρ' αὐτοῦ λε||γομένοις εἶχε τὸν μάρτυρα, λίθοις αὐτοῦ τὰς σιαγόνας συνθλάττει, εἶτα καὶ πυρὶ τὸ γένειον φλέγει, ἀλλὰ καὶ βλασφήμους λόγους κινεῖ κατὰ τοῦ*

Rubro: v. 1 **Καὶ**, v. 20 **Ἀλλὰ**, v. 24 **Παρῆλθον**, v. 31 **Τοῦ.**
2 τῶν *inserui* 5 οὐμενοῦν
12—13 μὴ — βασανίσῃς: cf. Matth. 8, 29.

Χριστοῦ οὐκ αὐτὸς μόνος, ἀλλὰ δὴ καὶ ὁ ἔπαρχος. τότε γίνεται σεισμὸς φοβερός, βρονταὶ καταρρήγνονται, ἀστραπαὶ διεκτρίβονται καὶ ἐτασμῷ μεγάλῳ Κρίσπος σὺν τῷ βασιλεῖ καθυπάγεται.

8. Γαλήνη τοίνυν ἡ θυγάτηρ τοῦ βασιλέως μυστικά τινα δι' ὁράματος μυηθεῖσα προσαγγέλλει προσιοῦσα τῷ μάρτυρι καὶ δέεται τοῦ ἐπάρχου χάριν καὶ τοῦ πατρός· βοῆς γὰρ οὗτοι τὸν ἀέρα πολλῆς ἐπλήρουν ὑπ' ἀγγελικῆς δυνάμεως ἐταζόμενοι· καὶ ὁ ἅγιος εὐχῇ λύει τούτοις τὸν ἐτασμόν, ἀλλ' οὐχὶ καὶ τὴν ἄνοιαν· τὸ μὲν γὰρ τῆς συμπαθοῦς ἦν ἐκείνου ψυχῆς, τὸ δὲ | τῆς ἀνημέρου τούτων col. 2 *καὶ ἀπηνοῦς.*

9. Διὸ καὶ πάλιν μεθ' ἡμέρας τινὰς ὁ βέβηλος βασιλεὺς πρὸς θυσίαν ἐκάλει τὸν ἅγιον, καὶ ἐπεὶ μὴ ἔπειθε, διὰ μέσης αὐτὸν ἀτίμως περιάγει τῆς ἀγορᾶς. ἡ τοίνυν θυγάτηρ αὐτοῦ τάχος τῷ πατρὶ προσιοῦσα τὰς χάριτας ὑπεμίμνησκε καὶ «Ἵνα τί, πάτερ», ἔλεγε, «τὸν οὕτω σε περισώσαντα ἄτιμον οὕτως ἐκέλευσας θριαμβεύεσθαι; ἵνα τί τῷ δούλῳ Χριστοῦ τύραννον οὕτως ἐπιφέρεις ὀργήν; οὐ δέδιας, μὴ καὶ αὖθις χαλεποῖς ἐτασμοῖς ἐτασθῇς, ὡς τὸ πρότερον;»

10. Ὁ δὲ θυμομαχήσας ἐπὶ τῇ θυγατρὶ «Καὶ σὲ» εἶπεν «ἠπάτησαν, Γαλήνη, κακῶς οἱ τοῦ Χαραλάμπους λόγοι; πείσθητι τοίνυν καὶ θῦσον τοῖς θεοῖς, ἵνα μή σε ταῖς κολάσεσι παραδῶ». ἡ δὲ || f. 40 *«Θύσω, πάτερ», ἔφη, «καὶ τῷ θελήματί σου οὐμενοῦν ἀντιφθέγξομαι». ἐχάρη τούτων ἀκούσας ὁ βασιλεὺς καὶ τὸν μάρτυρα μετακαλεσάμενος «Δεῦρο καὶ αὐτός, Χαράλαμπες», ἔφη, «θυσίαν θέλησον ἅμα τῇ ἐμῇ προσαγαγεῖν θυγατρί. καὶ γὰρ ἰδοὺ συντέτακται τοῦτο ποιεῖν». μηδὲν οὖν ἐκείνου πρὸς ταῦτα λαλήσαντος, τὴν σιωπὴν ὁ βασιλεὺς συγκατάθεσιν εἶναι νομίσας ἑτοιμασθῆναι τὰ τῶν θυσιῶν διορίζεται καὶ δὴ τῆς αὐτοῦ θυγατρὸς τὸν τοῦ Διὸς καταλαβούσης ναὸν οἱ ἱερεῖς — πῶς ἂν εἴποις; — αὐτῇ τὴν εἴσοδον ἐχαρίσαντο. τοῖς ξοάνοις οὖν προσιοῦσα πρῶτα μὲν αὐτὸν τὸν ὕπατον Δία τῇ γῇ προσαράσσει καὶ εἰς λεπτὰ καταθραύει, εἶτα καὶ τοῦ Ἀπόλλωνος τοῦ Φοίβου καὶ μαντικοῦ | δραξαμένη «Καὶ σὲ* col. 2 *χρή, γέρων κεκυρτωμένε (τοῦτο γὰρ αὐτὸν ἴσως εἶχε τὸ σχῆμα) τῷ ὑπάτῳ παραπλησίως καταβληθῆναι, ἵν' ἐντεῦθεν ὑμῶν γνωσθῇ τὸ σαθρόν». καὶ ἅμα συντρίβει καὶ τοῦτον, προσκαταβαλοῦσα τῇ γῇ.*

11. Τῶν μιαρῶν οὖν ἐκείνων ἱερέων τινὲς τῷ βασιλεῖ δραμόντες τὰ πεπραγμένα προσήγγειλαν, «Ἀπολώλασι» λέγοντες «οἱ θεοί,

Rubro: v. 4 **Ἡ** *θυγάτηρ*, v. 11 ***Πάλιν***, v. 19 **Ὁ** *δέ*, v. 26 ***Οὖν***, v. 36 ***Τῶν***
4 διοράματ 17 ἐτασθεὶς

βασιλεῦ· Γαλήνη τούτους ἡ σὴ θυγάτηρ, φεῦ, ἀθλίως εἰς γῆν κατεσπάσατο». τότε πληρωθεὶς αἰσχύνης ὁ δυσσεβὴς τάχος αὐτοὺς κελεύει χειρῶν ἀνθρωπίνων τέχναις διαναστῆναι καὶ τὸ πρότερον κάλλος ἀπολαβεῖν, εἶτα καὶ τὴν Γαλήνην ἔνδον τοῦ ναοῦ γενομένην ἱστορῆσαι τούτους καινοὺς παρ' ἐλπίδας. γίνεται τοῦτο, καὶ τῆς f. 40v θαυμαστῆς ἐκείνης ὀ|φθαλμοὺς αὐτοῖς προσβαλούσης καὶ πυρὶ θείῳ τὴν ψυχὴν διαθερμανθείσης εὐχῇ τε πρὸς Θεὸν χρησαμένης οἱ καινοὶ καὶ νεοπαγεῖς ἐκεῖνοι θεοὶ τῇ γῇ προσκαταβληθέντες αὖθις εἰς λεπτὰ διετμήθησαν. ἀπηγγέλη καὶ ταῦτα τῷ βασιλεῖ, καὶ δέχεται τὴν Γαλήνην τὸ δικαστήριον καὶ δὴ καὶ ἐγκαλεῖται χάριν τῶν πεπραγμένων, εἶτα καὶ «Θῦσον» ἀκούει «τοῖς θεοῖς, μιαρώτατον σπέρμα καὶ οὐκ ἐμῶν λαγόνων φυέν· εἰ δ' οὖν, ἀλλά σε χαλεπὸς ἐκδέξεται θάνατος». — «Ἔθυσα, βασιλεῦ,» εἶπεν ἐκείνη, «τοὺς ἤδη μοι λαχόντας· εἰ δὲ καὶ τοὺς ἄλλους ἐθέλοις, οὐκ ἂν ἐγὼ τὸ σύνολον ἀνανεύσαιμι». πληροῦται μανίας ὁ ἀσεβὴς καὶ τέως μὲν τὴν κατ' αὐτῆς ὀργὴν ἀναβάλλεται, τὸν μάρτυρα δὲ χήρᾳ τινὶ | col. 2 γυναικὶ παραπέμπει πρὸς τήρησιν, ἀτιμάζων ὥσπερ κἀν τούτῳ τὸν ἀθλητήν. ἀλλά μοι σκόπει τοῦ Θεοῦ τὰ παράδοξα.

12. Στύλῳ τινὶ τὸν οἶκον τῆς χήρας εἰσιὼν ἑαυτὸν προσερείδει. ὢ τῶν θαυμάτων σου, Χριστέ, τῶν καινῶν· ὁ στύλος οὗτος ἀνέθαλλέ τε, τῷ χρόνῳ γεγηρακώς, καὶ φύλλοις ὡρᾶτο κατάκωμος, ὡς πάντα σκιῶσαι τὸν τόπον ἐκεῖνον καὶ τερπνόν τι θέαμα καὶ κεχαρισμένον δείκνυσθαι· οὗτινος διαδοθέντος εἰς ἅπαντας πολλοὶ τῷ Χριστῷ πεπιστεύκασιν, θεαταὶ τοῦ παραδόξου γενόμενοι· ἀλλ' οὐδὲ βασιλεὺς αὐτὸς ἀνήκοος τοῦ θαύματος γέγονε. διὸ καὶ ἵνα μὴ πολλοὶ διὰ τούτου τῷ Χριστῷ προστεθῶσι, δίδωσι κατὰ τοῦ f. 41 μάρτυρος τὴν ἀπόφασιν· ἡ δὲ ἦν τὸ ξίφει τὴν πάντιμον || αὐτοῦ κεφαλὴν ἐκτμηθῆναι.

13. Ἤχθη τοιγαροῦν ψάλλων ὁ δίκαιος καὶ εὐχόμενος εἰς τὸν τῆς τελειώσεως τόπον. ἔνθεν τοὶ καὶ πρὸς οὐρανὸν ὀφθαλμοὺς καὶ χεῖρας ἄρας «Ἰησοῦ» ἔλεγε «Χριστέ, τὸ ἐμὸν φῶς, τὸ ἐμὸν ἀγαλλίαμα, μνήσθητί μου καὶ δέξαι τὸ πνεῦμά μου καὶ πλήρωσόν μου τήνδε τὴν δέησιν· ἵνα μὴ λιμὸς ἢ λοιμὸς ἐν οἷς τὸ ἐμὸν εὑρίσκοιτο λείψανον τόποις ἐνσκήψῃ ποτέ, μήτε δὲ καρπῶν φθορὰ τῶν τῆς γῆς· ἀλλ' ἔνθα δή μου καὶ τὰ τῆς μαρτυρίας ὑπομνήματα κεῖται καὶ τὰ τῆς μνήμης τελεῖται τῆς ἐμῆς, ἐκεῖσε δῆτα τῆς πλουσίας σου χάριτος μὴ ἐκλίποι δωρήματα· μήτε δὲ νόσος θανατη-

Rubro: v. 5 Γίνεται, v. 19 Στύλῳ, v. 29 Ψάλλων.
5 παρελπίδας 7 εὐχῇ τέ 9 ἀπηγγέλλη 22 σκιώσαι

φόρος ἐπέλθοι, ἀλλ' ἴαμα ἔστω ψυχῆς ἐν αὐτοῖς, ἴαμα σώματος. οἶδας γάρ, κύριε, ὅτι σάρξ καὶ αἷμα ἡμεῖς καὶ τῆς σῆς | ἀεὶ δεόμεθα col. 2 καὶ ἀγαθότητος καὶ χρηστότητος». ταῦτα αὐτοῦ εἰπόντος φωνή τις οὐρανόθεν γέγονε, «Θάρσει» λέγουσα, «γενναῖε ἀγωνιστά· εἰσηκούσθη σου ἡ πρὸς Θεὸν δέησις καὶ ἔσται καθὼς ᾔτησας· δεῦρο τοίνυν, ἀπόλαβε τὸν ἡτοιμασμένον σοι στέφανον». καὶ ταῦτα μὲν ἡ φωνή. ὁ μάρτυς δὲ τὴν ψυχὴν ἀφῆκε χερσὶ τοῦ ποιήσαντος.

14. Ἐπεὶ οὖν ἀνηγγέλη τῷ βασιλεῖ, ἦλθε δὲ καὶ εἰς ὦτα Γαλήνης τῆς αὐτοῦ θυγατρός, σπουδῇ τὸ καλὸν τοῦτο γύναιον αἰτήσασα καὶ λαβοῦσα τὸ σῶμα τούτου σινδόσι καθαραῖς ἐνείλησε καὶ μύροις πολυτελέσιν ἐμύρισε καὶ παντίμως ἐν σεμνῷ κατέθετο τόπῳ. τότε τοίνυν ὁ βασιλεὺς καὶ τὸν διωγμὸν καὶ τὴν κατὰ τῆς θυγατρὸς ζήτησιν ἔπαυσε, πολλῶν || ἀπὸ πραγμάτων γνούς, ὡς ὁ μέγας καὶ f. 41v ἀληθινὸς Θεός ἐστι μετ' αὐτῆς. καὶ ταῦτα μὲν ἐπὶ Σευήρου γέγονε τοῦ δυσσεβοῦς ἐν Ἀντιοχείᾳ κρατοῦντος, ὡς εἴρηται.

15. Αὐτὸς δέ, πανάριστε μάρτυς Χαράλαμπες, τῷ δεσποτικῷ τὰ νῦν παριστάμενος θρόνῳ, μέμνησο καὶ βασιλέως ἡμῶν τοῦ ὀρθοδόξου καὶ τὰ πάντα χρηστοῦ καὶ δώρησαι τούτῳ ταῖς εἰς Χριστὸν εὐκτικαῖς ἱκεσίαις σου μῆκος ζωῆς ἀπήμονος καὶ εἰρηνικὸν τὸ βασίλειον, ἰσχὺν Θεοῦ κατ' ἐχθρῶν καὶ | νίκας καὶ τρόπαια, col. 2 χαρᾶς ἀδιαδόχου τὴν ἔλλαμψιν καὶ τῶν ἄλλων καλῶν τὴν ἐπίδοσιν καὶ ἀΰλων μονῶν τὴν κατοίκησιν καὶ φωτὸς ἀνεκλείπτου τὴν χύσιν, ἡλίου τῆς δικαιοσύνης τὴν φαῦσιν καὶ ἡμέρας ἀνεσπέρου τὴν χάριν, πάντων τῶν καλῶν τὴν μέθεξιν καὶ βασιλείας οὐρανῶν τὴν ἀπόλαυσιν. ὅτι αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ αι'. f. 42

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΒΛΑΣΙΟΥ.

1. Βλάσιος ὁ μάρτυς ἄξιον τοῦ μαρτυρίου καὶ τὸν πρὸ τούτου βίον ἀληθῶς ἐπεδείξατο παρομοίως τῷ μεγάλῳ Ἰώβ, ἄκακος ἀναφανείς, ἄμεμπτος, ἀληθινός, θεοσεβής, ἀπεχόμενος ἀπὸ παντὸς

Rubro: v. 3 **Ταῦτα**, v. 8 **Ἐπεί**, v. 16 **Δέ**, v. 19 **Μῆκος**, v. 24 **Πάντων**, v. 29 **Βλάσιος**

8 ἀνηγγέλλη 10 ἐνείλυσε

πονηροῦ πράγματος· ὧν ἕνεκα καὶ τῆς ἐν Καππαδοκίᾳ πόλεως Σεβαστείας τὴν ἐπισκοπὴν ἐγχειρίζεται. τὸ κατὰ μόνας οὖν αὐτὸς Θεῷ σχολάζειν σφόδρα φιλῶν, ἔν τινι τῶν ὀρέων γενόμενος, Ἀρτεῒ ὄνομα, καί τι σπήλαιον ὑπελθὼν καθαρὰς Θεῷ τὰς εὐχὰς ἀπεδίδου. τοσούτῳ δὲ καὶ ἐπέραστος ἦν καὶ αἰδέσιμος οὐκ ἀνθρώποις μόνον, ἀλλὰ καὶ αὐτοῖς δηλαδὴ τοῖς θηρίοις, ὡς καὶ αὐτὰ συνέρχεσθαι col. 2 *καὶ συμπαραμένειν αὐτῷ καὶ μὴ θέλειν ἀφίστασθαι, | πρὶν ἂν τῆς ὑπ' αὐτοῦ τύχοιεν εὐλογίας.*

2. Κατ' ἐκεῖνο τοίνυν καιροῦ θηραταὶ πρὸς τὸ ὄρος κατὰ θήραν ἀγρίων ζώων ἀνεληλυθότες ὡς εἶδον αὐτό τε τὸ σπήλαιον καὶ πλήθη ζώων ἐν τούτῳ συνηθροισμένα, ἀπορίᾳ συνείχοντο καὶ τὸ πρᾶγμα μεγάλως ἐθαύμαζον. ἐπεὶ δὲ προσήγγισαν, θεωροῦσι τὸν ἅγιον Θεῷ κατὰ μόνας τὰς εὐχὰς ὁσίως ἀποδιδόντα, εἶτα καὶ ἐπανελθόντες ἀπαγγέλλουσιν ἃ εἶδον τῷ ἡγεμόνι. καὶ αὐτὸς αὐτίκα μετὰ στρατιωτῶν αὐτοὺς ἐκπέμπει συλλαβεῖν οὐ μόνον αὐτόν, ἀλλὰ καί τινας ὅσους ἄλλους εὕροιεν σὺν αὐτῷ.

Ὡς οὖν κατέλαβον αὐτὸν οἱ ἀπεσταλμένοι, τῇ εὐχῇ καὶ αὖθις προσκείμενον, «Ἔξελθε» εἶπον, «ὁ ἡγεμών σε καλεῖ». οὓς ὁ θεῖος f. 42ᵛ *ἰδὼν Βλάσιος οὐκ ἐτα||ράχθη, οὐκ ἔπτηξεν, ἀλλ' ἐχάρη μᾶλλον σφόδρα καὶ ἡδέως εὐθὺς πρὸς αὐτοὺς «Δεῦτε, τέκνα», εἶπε, «πορευθῶμεν ἅμα. ἐμνήσθη γάρ μου σήμερον ὁ Θεός, ἐπεί μοι καὶ κατὰ τήνδε τὴν νύκτα τὴν κλῆσιν ταύτην ἐγνώρισεν». ὡς οὖν ἤδη καὶ ὁδοῦ εἴχοντο, πολλοὶ μὲν Ἑλλήνων παῖδες τῇ διδαχῇ τούτου πρὸς θεογνωσίαν ἐπέστρεφον, πολλοὶ δὲ καὶ τῶν τὰ σώματα κακῶς ἐχόντων διὰ τῆς τῶν αὐτοῦ χειρῶν ἐπιθέσεως ἐξιῶντο· οὐκ ἄνθρωποι δὲ μόνον, ἀλλὰ καὶ κτήνη τῆς κοινῆς ταύτης θεραπείας ἀπέλαυον. ἐν τούτοις συνέβη καὶ παῖδά τινος γυναικὸς ἰχθὺν ἐσθίοντα τὸν λαιμὸν ἀκάνθῃ περιπαρῆναι καὶ ἄφωνον αὐτὸν παραχρῆμα μεῖναι· ἡ δὲ μήτηρ λύπῃ τὴν καρδίαν πληγεῖσα, ἐξ αὐτῆς |* col. 2 *λαβοῦσα τὸν φίλτατον πρὸ τῶν ποδῶν τίθησι τοῦ ἁγίου, οὐ μακρὰν εἶναι τοῦ θανεῖν ἐλπιζόμενον, τοῖς δάκρυσι μᾶλλον αὐτὸν ἢ τῇ φωνῇ πρὸς οἶκτον ἐκκαλουμένη. ὁ δὲ παρευθὺ τὴν μὲν χεῖρα ἐπὶ τὸν λαιμὸν τίθησι τὸν ἐκείνου, ὄμματα δὲ καὶ διάνοιαν εἰς ὕψος ἐπάρας «Ὁ Θεὸς» εἶπεν, «ἐπάκουσόν μου τῆς δεήσεως ταύτης καὶ τὴν ἐμπαγεῖσαν ἄκανθαν τῷ λαιμῷ τοῦ παιδὸς ἀοράτῳ σου ἔξελε δυνάμει, Χριστέ, καὶ ᾧ ἂν ἀπὸ τοῦ νῦν συμβῇ τι τοιοῦτον ἢ ἐν ἀνθρώποις τελείοις, ἢ βρέφεσιν, ἢ κτήνεσι, διαμνημονεύσειε δέ τις*

Rubro: v. 2 *Οὖν*, v. 9 *κατ' ἐ|Κεῖνο*, v. 17 *Κατέλαβον*, v. 22 *Ἤδη*
10 *αὐτὸ τὲ* 27 *παῖδα τινὸς*

ἐκεῖ τοῦ ἐμοῦ ὀνόματος, οὕτω λέγων· «Ὁ Θεός, τῇ πρεσβείᾳ τοῦ θεράποντός σου Βλασίου ἐπιτάχυνον τὴν βοήθειάν σου», ταχείας ἀπολαύσοι καὶ αὐτὸς τῆς θεραπείας || εἰς δόξαν τοῦ μεγάλου σου, *f. 43* βασιλεῦ, ὀνόματος». ἔφη, καὶ τῷ τέλει τῆς εὐχῆς ὑγιὴς ἦν ὁ παῖς καὶ ἀπαθὴς καὶ ἀνώδυνος. ἦν δὲ μετὰ τῆς ἄνωθεν χάριτος καὶ ἰατρικῆς ὁ μάρτυς πεπαιδευμένος. ἔνθεν τοι καὶ πᾶσιν ἐπὶ στόματος ἔκειτο. πλὴν καὶ τὸ τῆς ὁδοῦ πάρεργον αὐτῷ πεπραγμένον σιωπῆσαι οὐδαμῶς ἄξιον.

3. Γυναικὶ χήρᾳ καὶ πενιχρᾷ χοῖρος ἦν ἡ περιουσία καὶ πλέον οὐδέν. τοῦτον λύκος ἰδὼν κατὰ τοὺς πονηροὺς γείτονας ἅρπαγμα ποιεῖται ἑαυτοῦ. ἐκείνη δὲ πρόσεισι κατὰ τοῦ θηρὸς τῷ ἁγίῳ· καὶ ὃς ὑπομειδιάσας «Μὴ λυποῦ, γύναι», φησί· «μικροῦ γὰρ καὶ ἀποδίδοταί σοι ἀβλαβὴς ὁ χοῖρος». ὁ μὲν οὖν ἅγιος σπεύδων ἤνυε τὴν πορείαν, ὁ δὲ λύκος οἱονεὶ μεταμέλειαν τοῦ ἀ|δικήματος ἐσχηκὼς *col. 2* οὐ λύκος ἦν· ἀπαθῆ γὰρ φέρων ἀποδίδωσι τὸν χοῖρον τῇ χήρᾳ.

4. Εἰσελθόντα δὲ τὸν μάρτυρα τὴν μητρόπολιν Σεβαστείας ἡ φυλακὴ παραχρῆμα δέχεται, τοῦτο τοῦ δικαστοῦ προστάξαντος. αὐτὸς δὲ τὴν ἐπιοῦσαν καθίσας ἐπὶ τοῦ βήματος καὶ τὸν ἅγιον αὐτίκα παραστησάμενος καὶ ἀσπασμὸν ὡσανεὶ προσποιούμενος, «Χαίροις», φησί, «Βλάσιε, τῶν θεῶν φίλε». καὶ ὁ ἅγιος «Χαίροις καὶ αὐτός», ἔφη, «κράτιστε ἡγεμών· πλὴν ἀλλὰ μὴ λέγε τούτους θεούς, δαίμονας ἀληθῶς ὄντας καὶ τοῖς σεβομένοις αὐτοὺς προξενοῦντας τὸ αἰώνιον πῦρ». θυμὸς ἐπὶ τούτοις λαμβάνει τὸν δικαστήν, καὶ κελεύει ῥάβδοις βαρείαις τὸν ἅγιον τύπτεσθαι. ἐπὶ|| πολλαῖς δὲ ταῖς ὥραις τυπτόμενος ὁ γενναῖος, «Ἀναίσθητε καὶ *f. 43v* ἀπατεών», ἔφη, «ἐλπίζεις με τοιαύτῃ τιμωρίᾳ πείσειν πλάνην ἀλλάξασθαι ἀληθείας καὶ φωτὸς σκότος, μὴ εἰδώς, οἷός μοι ταχὺς παρίσταται βοηθὸς ὁ ἐμὸς Χριστός, κουφίζων μοι τὰς ὀδύνας». οὕτως εἰπόντα τὸν ἅγιον πάλιν εἶχε τὸ δεσμωτήριον. ἡ μέντοι εὐσεβὴς ἐκείνη χήρα καὶ πενιχρὰ τὴν ὑπὲρ τῆς ἀληθείας ἔνστασιν τοῦ ἁγίου μαθοῦσα, θύσασα τὸν χοῖρον ἐκεῖνον καὶ ἑψήσασα καὶ κεφαλὴν αὐτοῦ καὶ πόδας λαβοῦσα, ὀλίγα τε τῶν ὀπωρῶν καὶ σπερμάτων καὶ ἄλλων ὧν εὐπορεῖν οἶδε πενία, πρὸς δὲ καὶ κηροὺς ἅψασα πρόσεισιν ἐν τῇ φυλακῇ τῷ ἁγίῳ, μηδὲν πτοηθεῖσα τοὺς ἀσεβεῖς, καὶ τοῖς | ποσὶν αὐτοῦ προσπεσοῦσα μεταλαβεῖν τῶν προσ- *col. 2* ενεχθέντων ἐδέετο. ὁ δὲ καὶ ἤκουσε καὶ μετέσχε καὶ φιλοτίμοις εὐλογίαις ἠμείψατο, ἐνετείλατό τε εἰπών· «Τούτῳ, γύναι, τῷ σχήματι

Rubro: v. 9 *Χήρα*, v. 16 *εἰσελ|Θόντα*, v. 23 *Ἐπὶ*, v. 30 *Εὐσεβὴς*
12 *γῦναι* 26 *ἀπαταιώ(ν)* 27 *οἷος μοι*

ἐπίμεινον τὴν μνήμην ἑορτάζουσα τὴν ἐμήν, καὶ πέποιθα εἰς Θεόν, ὅτιπερ οὐ τὸν σὸν οἶκον ἡ αὐτοῦ ἐπιλείψει ἀγαθωσύνη· οὐ μὴν ἀλλὰ καὶ ὅστις ἕτερος κατὰ τὴν ἐμὴν μνήμην ὁμοίως ποιεῖ, ἀφθόνου καὶ αὐτὸς ἀπολαύσεται τῆς ἄνωθεν εὐλογίας ἄχρι τέλους αὐτῷ παρατεινομένης».

5. Ἡ μὲν οὖν μακαρία γραῦς ἐκείνη τὴν εὐλογίαν ταύτην καὶ τὴν ἐντολὴν λαβοῦσα οἴκαδε ἀπῄει, πληρωθείσης καὶ ἐπ' αὐτῇ τῆς τοῦ κυρίου φωνῆς, ὅτι λαληθήσεται πανταχοῦ ὃ ἐποίησεν αὕτη εἰς f. 44 *μνημόσυνον αὐτῆς. τῷ ἡγεμόνι δὲ καὶ αὖθις ἐπὶ || βήματος ὁ μάρτυς προσήχθη καὶ παραστάντι «Θύεις» ἔφη, «Βλάσιε, τοῖς θεοῖς;» καὶ ὁ ἅγιος· «Οὐ νοῦν ἔχοντος ἀνθρώπου οὐδὲ φρένας ἐστὶ τὸ πεποιημένοις ὑπ' ἀνθρώπων θεοῖς θυσίαν προσενεγκεῖν». οὕτως ὁ μάρτυς εἰπὼν ἐπὶ ξύλου τε ἀνηρτᾶτο καὶ πλευρὰς εὐθὺς κατεξαίνετο, «Οὐ πτοοῦμαι» λέγων «τὰς κολάσεις σου, τύραννε, πρὸς τὰς μελλούσας ἀντιδόσεις ἀποσκοπῶν». κατενεχθέντι τοίνυν τοῦ ξύλου καὶ πρὸς τὴν φρουρὰν ἀπιόντι γυναῖκες ἠκολούθουν ἑπτά, τὴν πίστιν εὐσεβεῖς, τὸν βίον εὐπρεπεῖς. αὗται τὰς πιπτούσας ἐδέχοντο τῶν αἱμάτων ῥανίδας καὶ ἑαυτὰς μύροις ἐντιμότερον ἔχριον. παραυτίκα γοῦν ὡς χριστιαναὶ συνελήφθησαν καὶ πρὸς τὸν δικαστὴν ἀπηνέχθησαν.* col. 2 *καὶ ὁ μὲν | θύειν αὐτὰς ἐκέλευε τοῖς κιβδήλοις. αἱ δὲ σοφῶς τὸ πρᾶγμα μετῆλθον· «Ἀλλ' εἰ βούλει» φασὶν «ἡμᾶς θῦσαι καθὼς πρέπον ἐστὶ θεοῖς, οὕτω προσενέγκωμεν τὴν θυσίαν· ἐπεὶ γάρ ἐστι λίμνη πλησίον, ἡμεῖς μὲν πρὸς αὐτὴν πορευθῶμεν καθήρασθαι καλῶς καὶ χεῖρας καὶ ὄψιν, σὺ δέ, ἡγεμών, ἐμβαλὼν τοὺς θεοὺς σάκκῳ καὶ αὐτὸν σφραγῖδι τῇ σῇ πρὸς τὸ ἀκριβὲς σφραγισάμενος, ἐπίτρεψον ἐγγύς που προσενεχθῆναι, ὥστε οὕτω καθηραμένας ἡμᾶς προσενεγκεῖν αὐτοῖς τὴν θυσίαν». ἐχάρη ὁ ἡγεμὼν τῶν λόγων ἀκούσας καὶ σπουδῇ κατὰ τὸ εἰρημένον ἐποίει. αἱ δὲ τοὺς θεοὺς ἐν χερσὶ λαβοῦσαι, φεῦ, αἱ γυναῖκες τοὺς μάκαρας κακοὺς κακῶς αὐτοὺς τῷ βυθῷ παραπώλεσαν. τοῦτο μαθόντα τὸν ἡγεμόνα* f. 44ᵛ *θυμὸς || ἐπῆλθε δεινός, καὶ ἅμα ἠλλοιοῦτο τὴν ὄψιν, συνεκρότει τὰς χεῖρας, βοῆς ὅλον ἐπλήρου τὸν τόπον, τοῖς στρατιώταις ἠπείλει, «Τί μὴ ἐπέσχετε τὰς γυναῖκας» λέγων «ὁρμηθείσας τοῦτο ποιεῖν»; οἱ δὲ «Δόλον» εἶπον «ἔδρασαν αἱ γυναῖκες καὶ τοὺς θεοὺς ἡμῶν κατεπόντισαν».*

6. Ἐπεὶ δὲ ὁ θυμὸς τῷ ἡγεμόνι μείζων ἐγίνετο, κελεύει κάμινον ἐκκαῆναι, μόλυβδόν τε διὰ πυρὸς ἀναλυθῆναι καὶ κτένας σιδηροῦς

Rubro: v. 6 **Ἡ** *μέν*, v. 9 *ἡ|***Γ***εμόνι*, v. 12 **Μ***άρτυς*, v. 27 **Ἡ***γεμὼν*, v. 36 **Τ***ῷ*
20 *τοῖς κιβδήλοις [θεοῖς]?* 21 *φη(σιν)* 22 *γάρ ἐστι*
8—9 *λαληθήσεται — αὐτῆς:* Matth. 26, 13; Marc. 14, 9.

ἐνεχθῆναι καὶ ἑπτὰ χαλκᾶ ψέλια πυρωθῆναι, εἶτα τῷ ἑτέρῳ μέρει ὀθόνην ἁπλωθῆναι λαμπρὰν καὶ βλέψας πρὸς τὰς ἁγίας, «Ἓν ὑμᾶς τῶν δύο» φησὶν «ἑλέσθαι πρόκειται», τὴν ὀθόνην δείξας καὶ ὅσα περὶ τὴν κάμινον, «ἢ προσκυνῆσαι τοῖς θεοῖς καὶ ζῆσαι τῆς ὀθόνης ἐπιβάσας ταύτης, ἢ μὴ βουλομένας τοῦτο ποιεῖν ὑποβληθῆναι τούτοις ⟨καὶ⟩ τοῖς ἡτοιμασμένοις». μία δὲ ἐξ αὐτῶν, ἐπὶ δύο παισὶ ζῶσα, διαρπάσασα τὴν ὀθόνην εἰς τὴν κάμινον ἐνέβαλε καὶ κατέκαυσεν. ὡς δὲ τοῦτο γέγονεν, γνόντα τὸ πραχθὲν τῇ μητρὶ τὰ παιδία «Μὴ. ἀφῇς ἡμᾶς» εἶπον «ἐπὶ τῆς γῆς ἀπολέσθαι, ἀλλ' ὥσπερ γάλακτος ἐνέπλησας μητρικοῦ, οὕτω δὴ καὶ βασιλείας ἡμᾶς ἔμπλησον οὐρανίου».

7. Κελεύει οὖν αὐτὰς ὁ ἡγεμὼν κρεμασθείσας ὑπὸ κτενίων τῶν σιδηρῶν ξέεσθαι· οὗ γινομένου γάλα μὲν ἀντὶ αἵματος ῥέειν ἐδόκει τοῖς στρατιώταις, αἱ σάρκες δὲ χιόνι τούτοις ἐφαίνοντο παραπλήσιοι. καὶ γὰρ ἄγγελοι Θεοῦ κατελθόντες τὰ πεπονθότα τε τῶν μελῶν ἰῶντο καὶ αὐτὰς θάρσους ἐμπιπλῶντες «Μὴ || φοβεῖσθε» ἔλεγον, f. 45 «δεῖ γὰρ τὸν καλὸν ὑμῖν ἀγῶνα τελέσαι, ἵνα τῆς αἰωνίου ζωῆς ἐπιτύχητε».

Τότε τοίνυν ὁ ἡγεμὼν κελεύει τοῦ μὲν ξύλου κατενεχθῆναι ταύτας, βληθῆναι δὲ εἰς τὴν κάμινον. ὡς δὲ καὶ ἐβλήθησαν, ἥ τε φλὸξ ἐσβέσθη καὶ αὐταὶ ἀπαθεῖς ὅλως ἐδείκνυντο. καὶ ἐπεὶ γοητείαν ἔλεγε τοῦτο ὁ βέβηλος ἡγεμὼν καὶ πρὸς θυσίαν αὐτὰς ἐκάλει, ἐκεῖναι «Σπεῦσον» εἰρήκασιν, «ἡγεμών, σπεῦσον ὃ βούλει ποιεῖν· κεκλήμεθα γὰρ εἰς τὴν τῶν οὐρανῶν βασιλείαν». θυμοῦται πρὸς τὸν λόγον ὁ δικαστὴς καὶ δίδωσιν εὐθὺς κατ' αὐτῶν τὴν διὰ ξίφους ἀπόφασιν. ἐπεὶ οὖν ὁ τόπος αὐτὰς τῆς τελειώσεως εἶχε, καιρὸν ᾐτήσαντο προσευχῆς καὶ λαβοῦσαι «Κύριε βασιλεῦ» εἶπον, «ὁ ἀπὸ | σκότους καλέσας ἡμᾶς εἰς τὸ φῶς, δεόμεθά σου, σύνταξον col. 2 ἡμᾶς τῇ πρωτομάρτυρί σου Θέκλῃ ταῖς εὐχαῖς τοῦ ἱερωτάτου Βλασίου, ὃς ἡμῖν ὁδηγὸς κατέστη πρὸς τὴν ἄθλησιν ταύτην». τὰ μέντοι παιδία τῇ μητρὶ προσελθόντα «Οἱ στέφανοι ὑμῶν» εἶπον «εὐπρεπεῖς ἤδη παρὰ τοῦ ἐπουρανίου βασιλέως εἰσί· παράθεσθε ἡμᾶς τῷ ἀθλητῇ τοῦ Χριστοῦ Βλασίῳ». καὶ τοῦτο μὲν οὕτω γέγονεν. ἐπισπεύσας δὲ ὁ σπεκουλάτωρ ἀποτέμνει τὰς τῶν ἁγίων γυναικῶν κεφαλάς.

8. Τὸ λοιπὸν οὖν καὶ ὁ θεῖος Βλάσιος ἐκβάλλεται τῆς φρουρᾶς καὶ τῷ δικαστῇ προσάγεται. κἀκεῖνος πρὸς αὐτόν· «Κἂν γοῦν ἄρτι,

Rubro: v. 6 Ἐπὶ, v. 12 Κελεύει, v. 19 τό|Τε, v. 24 θυ|Μοῦται, v. 31 Μέντοι, v. 36 Τὸ

1 χαλκὰ ψέλλια 6 καὶ *delendum puto.*

Βλάσιε, θύεις» φησὶν «ἢ οὔ;» ὁ δὲ ἅγιος «Ἀλλὰ τίς νοῦν ἔχων» f. 45v *εἶπεν «ἀπολιπὼν Θεὸν ζῶντα || βδελύγμασι προσκυνεῖν ἀνέξεται;» καὶ ὁ δικαστής· «Τί οὖν, εἰ κατὰ τῆς λίμνης ταύτης ἀφήσω σε; δυνατὸς ἔσται ὃν σέβῃ Χριστὸν ῥύσασθαί σε διαφθορᾶς;»—«Εἰ σὺ» εἶπεν ὁ ἅγιος «τοιούτοις πεποιθὼς εἰδώλοις σώζεσθαι πιστεύεις, ἐγὼ Θεῷ ζῶντι λατρεύων οὐχὶ δείξω σοι τὰς αὐτοῦ δυνάμεις φανερῶς κἀν τοῖς ὕδασι;»*

Τότε τοίνυν τοῦ ἡγεμόνος κελεύσαντος ῥιφῆναι κατὰ τῆς λίμνης αὐτόν, προφθάσας ὁ ἅγιος καὶ τῷ τύπῳ τοῦ σταυροῦ τὸ ὕδωρ ἐπισφραγίσας καθῆκεν ἑαυτὸν ἐν τοῖς ὕδασι καὶ πᾶσιν ὡρᾶτο ἀσφαλῶς ἐπάνω τούτων καθήμενος. ἔνθα καὶ πρὸς τοὺς παρεστῶτας δημίους «Εἴ τις» φησὶ «καὶ τοῖς ὑμετέροις θεοῖς δύναμις, ὀφθήτω τὰ νῦν, col. 2 *καὶ μηδὲν ὑποδειλιάσαντες εἰσέλθετε | καὶ ὑμεῖς». ὁ μὲν οὖν οὕτως ἔφη, ὀκτὼ δὲ ἄνδρες πρὸς τοῖς ἑξήκοντα κουφότητι γνώμης τὸν νοῦν πωρωθέντες καὶ ματαίως ἐλπίσαντες εἰσελθεῖν ἐπείσθησαν καὶ παραχρῆμα τρόπαιον ὑδάτων ἢ ἀνοίας μᾶλλον γεγόνασι καὶ ἀθλίως ἀπώλοντο. τὸν μέντοι ἅγιον ἄγγελος κυρίου κατελθὼν ἠσπάσατο καὶ ἐξελθὼν ἔφη· «Τὸν ἡτοιμασμένον σοι παρὰ Χριστοῦ στέφανον ἀπολάμβανε».*

9. Ἀναστὰς δὲ ὁ μάρτυς οἷα κατὰ γῆς καθίζων ἐξῄει. ἔλαμπε δὲ τὸ πρόσωπον αὐτοῦ ὡς ἥλιος ἡδὺ καὶ θαυμάσιον. ἐπεὶ δὲ καὶ παρέστη τῷ ἡγεμόνι καὶ πρὸς θυσίαν καλούμενος ὅλος ἔξαρνος ἦν, δίδωσιν ἐκεῖνος κατ' αὐτοῦ τὴν ἀπόφασιν ξίφει τὴν κεφαλὴν σὺν f. 46 *ἅμα τοῖς δυσὶ παιδίοις ἀποτμηθῆναι. τῆς ἀποφάσεως || οὖν οὕτως ἐξενεχθείσης ὁ ἅγιος εἰς εὐχὴν ἑαυτὸν συντείνας, «Ὁ Θεὸς τῶν δυνάμεων» εἶπεν, «ὁ τὰ ἐσκοτισμένα φωτίσας κἀμὲ τῆς τῶν εἰδώλων πλάνης ἐλευθερώσας, ἐπήκοός μου γενοῦ τοῦ δούλου σου, καὶ ὃς ἂν δεηθείη τῆς σῆς χρηστότητος καὶ τοῦ ὀνόματός μου μνησθῇ ἢ νοσήματι συνεχόμενος ἢ συμφορᾷ πιεζόμενος ἢ λύπῃ τινὶ παλαιῶν ἢ ὀδύνης ἡττώμενος, πρόφθασον αὐτόν, βασιλεῦ, ἐν εὐλογίαις χρηστότητος καὶ τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ δὸς αὐτῷ καὶ τὴν τῶν χειλέων θέλησιν μὴ ἀποστερήσῃς εἰς δόξαν τοῦ μεγαλοδυνάμου καὶ θεοπρεποῦς σου ὀνόματος».*

10. Τοιαῦτα ἐκεῖνός τε ηὔξατο καὶ Θεοῦ ἔτυχεν ἐπακούοντος, col. 2 *τὴν τῶν αἰτηθέντων πλήρωσιν | ἐπαγγελλομένου. ἔπειτα καὶ ὁ σπεκουλάτωρ ἐξενεγκὼν αὐτὸν σὺν τοῖς δυσὶ βρέφεσιν ἐκ τοῦ πραιτωρίου τέμνει τὰς ἱερὰς αὐτῶν κεφαλὰς ἐπὶ πέτρας εἴσω τοῦ τείχους ἐν Σεβαστείᾳ. καὶ τότε μέν τινες ἄνδρες ὡς ἦν δυνατὸν τὸ*

Rubro: v. 4 *Εἰ*, v. 20 *Ἀναστάς*, v. 24 *Οὖν*, v. 34 *Τὲ*

τίμιον αὐτοῦ σῶμα μετὰ τῶν παίδων κατέθεντο, μετὰ δὲ ταῦτα γυναικί τινι τῶν εὐσεβῶν τε καὶ φιλοθέων δι' ἐπιμελείας γέγονε τοῦ καὶ τὸν τόπον κοσμῆσαι καὶ φιλοτιμότερον ὑπουργῆσαι πρὸς τὴν τῶν λειψάνων κατάθεσιν. μαθοῦσα δὲ καὶ ἡ εὐσεβὴς ἐκείνη χήρα καὶ γραῦς τὴν τοῦ ἁγίου τελείωσιν οὐ λήθην ἔσχε τῶν αὐτοῦ ἐντολῶν, ἀλλὰ σπουδαιότατα τὴν αὐτοῦ μνήμην ἑορτάζουσα ἦν, οὐ συγγενεῖς μόνον ἐκ τῶν τῆς γῆς σπερμάτων,|| ἀλλὰ καὶ φίλους f. 46v ἅπαντας δεξιουμένη θερμῶς. οἵτινες τοῦτο παραλαβόντες καὶ μιμησάμενοι αὐτήν τε τὴν εὐσεβῆ χήραν καὶ γνωστοὺς πάντας ὁμοίως ἐδεξιοῦντο. καὶ διεδόθη τοῦτο ἄχρι καὶ σήμερον πᾶσι πιστοῖς τοῖς τὴν μνήμην τοῦ μάρτυρος φιλοθέως πανηγυρίζουσι.

11. Μαρτυρεῖς μὲν οὖν, ὦ θεῖε Βλάσιε, ἐν Σεβαστείᾳ τῇ μητροπόλει Διοκλητιανοῦ μὲν βασιλεύοντος, ἡγεμονεύοντος δὲ τῆς αὐτῆς χώρας Ἀγρικολάου,| ὑφ' οὗ καὶ βασάνους πλείστας καὶ θάνατον col. 2 διὰ Χριστὸν ἐνεγκών, ἔχεις ταύτας ὑπὲρ ἡμῶν πρεσβευούσας. καὶ νῦν μὲν μῆκος αἴτησαι ζωῆς ἀπήμονος τῷ χρηστῷ ἡμῶν καὶ θεοστεφεῖ βασιλεῖ, ἰσχὺν κατ' ἐναντίων καὶ τρόπαια, χειρὶ Θεοῦ σκεπομένῳ τῇ παντουργῷ, αὐτόθι δὲ μετὰ τὴν ἐντεῦθεν ζωὴν ἡμέρας υἱὸν ἀνεσπέρου καὶ κληρονόμον τοῦτον ἀπέργασαι, λύσιν αὐτῷ βραβεύων τῶν ὀφλημάτων, πάντων τῶν καλῶν ἀπόλαυσιν καὶ βασιλείας οὐρανῶν τὴν ἐπίτευξιν· ὅτι Χριστῷ τῷ Θεῷ πρέπει ἡ δόξα νῦν καὶ εἰς τοὺς αἰῶνας.

Μηνὶ τῷ αὐτῷ ιβ'. f. 47

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ ΜΑΡΙΑΣ ΤΗΣ ΜΕΤΟΝΟΜΑΣΘΕΙΣΗΣ ΜΑΡΙΝΟΥ.

1. Τὰ μὲν κατὰ τὴν μεγάλην ταύτην Μαρίαν, οἷον ἐπὶ τίνος βασιλέως γέγονε καὶ οἵας ἐξώρμητο τῆς πατρίδος, οὐδεὶς ἡμῖν παραδέδωκε λόγος, ἵν' ἔχοιμεν καὶ ἡμεῖς χαρίσασθαι ταῖς τῶν φιλοθέων ἀκροατῶν ἀκοαῖς· ἃ δὲ καὶ λόγος παραδέδωκε καὶ γραφή, ταῦτα προθεῖναι βουλόμεθα, μεγάλα τε ὄντα καὶ θαύματος ἄξια. καὶ οἶδ' ὅτι διψᾶτε ταῦτα μαθεῖν, ὅσοι τῶν καλῶν ἐρασταί.

Rubro: v. 4 *Μαθοῦσα*, v. 12 *Μαρτυρεῖς*, v. 16 *Μῆκος*, v. 26 *Τὰ*
2 γυναικὶ τινὶ   3 φιλοτιμώτερον   9 αὐτὴν τὲ   22 ἀμήν *in codice omissum est spatio deficiente.*

2. Αὕτη γεννήτορας ἔσχε λίαν ὅτι σεμνοὺς καὶ ἀγαθοὺς τὴν εὐσέβειαν, ὡς ἐκ τοῦ καρποῦ τὸ δένδρον ἔνεστι κατιδεῖν, εὐγενεῖς μὲν κατὰ σῶμα καὶ πλούτῳ λαμπρούς, εὐγενεῖς δὲ μᾶλλον καὶ κατὰ col. 2 ψυχὴν καὶ ἀρετῶν ἐπι|μέλειαν. τῆς οὖν μητρὸς τὸν βίον ἀπολιπούσης ὁ πατὴρ — Εὐγένιος οὗτος ἦν ὁ καλός, ὁ τῆς ἀληθοῦς εὐγενείας ἐπάξιος — πατρικῶς ἅμα καὶ φιλοθέως ἀνῆγέ τε τὸ θυγάτριον καὶ ἐπαίδευε. καὶ ἐπεὶ τὸν μονήρη μὲν οὗτος ἐπόθει βίον, ὡραία δὲ ἤδη καὶ ἡ κόρη γέγονε γάμου, τῶν ἡμερῶν ἐν μιᾷ φησὶ πρὸς αὐτὴν ὁ πατήρ· «Ἰδού, τέκνον ἐμοὶ ποθεινόν, τέκνον ἀγαπητόν, πόθος εἰσέδυ μου τὴν ψυχὴν τὸν μονήρη βίον ἀσπάσασθαι καὶ Θεῷ ζῆσαι τὸν ὑπόλοιπον χρόνον μου καὶ οὕτω τυχεῖν καὶ τῆς μακαρίας ζωῆς· πολὺς γὰρ ὁ τῆς παρούσης παρελήλυθε χρόνος καὶ πολλῶν τῶν ἐν βίῳ καλῶν ἀπολαῦσαί με γέγονεν. νῦν οὖν δεῖ με καὶ τὸν σκληρὸν τοῦτον ἐπανελέσθαι βίον καὶ τὴν στενὴν ὁδεῦσαι f. 47v ταύτην || ὁδόν, ἵν' ἰσχύσαιμι πλατεῖαν ἐφευρεῖν ἐν χώρᾳ ζώντων τὴν ὄντως ἀνάπαυσιν. σὺ οὖν ἀλλὰ τὸν πλοῦτον, τέκνον, παραλαβοῦσα τὸν σὸν — σοὶ γὰρ ἀνήκει ταῦτα καὶ οὐχ ἑτέρῳ — τὰ κατὰ σαυτὴν διαθήσεις ὡς οἶδας καὶ μή μοι, τέκνον γλυκύτατον, ἐμποδὼν ἐθελήσοις γενέσθαι τοὐδέ μοι τοῦ προκειμένου σκοποῦ».

3. Οὕτως ἔφη, καὶ τὸ καλὸν ἄνθος τῆς παρθενίας, ἡ Μαρία φημί, «Καὶ ἵνα τί, ὦ πάτερ», εἶπε, «σαυτὸν μὲν προέθου σῶσαι, παῖδα δὲ τὴν σὴν ἀπολέσθαι, ἣν εὐσεβῶς οὕτω καὶ φιλοθέως ἀναθρέψαι προείλου; τὴν ψυχὴν ὁ ποιμὴν ὁ καλὸς ὑπὲρ τῶν προβάτων, ὡς ἐν τοῖς εὐαγγελίοις ἠκούσαμεν, τίθησι· καὶ σὺ τὸ σὸν τέκνον ἔρημον οὕτω τοῖς ψυχοφθόροις λύκοις προδίδως; καὶ ποῦ col. 2 σοι κείσεται τὰ τῆς | εὐσεβείας; τὸ ἐμπεπτωκὸς κτῆνος ἐν βόθρῳ Χριστὸς ἀνασώζειν ἐκέλευσε, καὶ σὺ τὸ πάγιον ἑστὸς θρέμμα τὸ σὸν τῷ βόθρῳ συγχωρεῖς ἐμπεσεῖν; μή, πάτερ, μὴ οὕτω τὴν παῖδα τὴν σὴν προνοίας ἐκτὸς καταλιπεῖν ἐθελήσοις».

4. Τούτοις τοῖς λόγοις πρὸς οἶκτον ὁ πατὴρ μαλαχθεὶς καὶ διαπορούμενος, ὅτι καὶ διαπράξοιτο, γνώμην εἰσάγει καλὴν ἡ παρθένος, «Ἐπεί, πάτερ», εἰποῦσα, «τῶν ἀδυνάτων ἐν γυναικείῳ με σχήματι κατὰ τὸ κοινόβιον συνοικεῖν σοι, τὴν κεφαλὴν ἀποκείρασα καὶ τοῦτο περιδεξίως ἀμείψασα συνέσομαί σοι οἷα δὴ καὶ υἱὸς καὶ συμμετάσχω σοι τῆς ἀσκήσεως καὶ τῶν πόνων συγκοινωνήσω, κατ' οὐδένα λόγον f. 48 ἐν τούτοις ἀπαγορεύουσα. φιλῶ γὰρ καὶ αὐτή, φιλῶ σῶσαί μου || τὴν ψυχὴν καὶ καθαρὰν παραστῆσαι τῷ δεδωκότι Θεῷ». ταῦτα εἶπε

Rubro: v. 1 γεννή|Τορας, v. 4 Τὸν, v. 20 Ἔφη, v. 30 Τοῖς
6 ἀνῆγε τὲ 33 τοῦτο [τὸ ἔνδυμα]?
24 ἐν τοῖς εὐαγγελίοις: Io. 10, 11.

μὲν αὕτη, παρεδέξατο δὲ καὶ πατήρ, Θεοῦ νεύσαντος πάντως. εἶχον πενήτων χεῖρες τὰ τῆς ἐκείνων οὐσίας καὶ αὐτοὺς τὸ κοινόβιον τρόπον καθ' ὃν ἡ ὁσία εὑρήκει, Μαρῖνον ἑαυτὴν θεοσόφως μετονομάσασα.

5. Τί οὖν τὸ ἐντεῦθεν; ἀγὼν τῆς ἀρετῆς οὐ μικρὸς τῇ Μαρίᾳ. δύο ταύτην εἶχον ἡμέραι, ἔστιν ὅτε καὶ τρεῖς ἄσιτον τὸ παράπαν δι' ὅλης αὐτῆς τῆς ζωῆς, προσευχαὶ πάννυχοι καὶ στάσεις ἀκλινεῖς τε καὶ ἄγρυπνοι. καὶ τί χρὴ τὰ τῶν κατορθωμάτων αὐτῆς ἀριθμεῖν; τοσοῦτον ἐν αὐτοῖς διέλαμψέ τε καὶ διέπρεψεν, ὥστε καὶ κατὰ δαιμόνων αὐτὴν ἐξουσίαν λαβεῖν καὶ νοσήματα φυγαδεύειν. τοῦ πατρὸς οὖν καλῶς τῶν τῇδε μεταναστάντος | ἐκείνη πολλὴν εἰς col. 2 ἀρετὴν ἐπεδείξατο τὴν ἐπίτασιν καὶ τοσαύτην, ὡς ὑπὸ τῆς πολλῆς ἐγκρατείας τῆξιν μελῶν ὑπομεῖναι καὶ σκιὰν ὑπεμφαίνειν ἀνθρώπου καὶ τὸ ἰσχνὸν πάνυ καὶ λεπτὸν τῆς φωνῆς ὑπόνοιαν παρέχειν τοῖς ἀδελφοῖς, ὡς εὐνοῦχος μὲν εἴη, πολλῆς δ' ἐξ ἐγκρατείας τὸ σχεδὸν ἄφθογγον ἐπιγίνοιτο τούτῳ.

6. Οὕτως οὖν ἐχούσης αὐτῆς καὶ παρὰ πάντων θαυμαζομένης ὁ καθηγούμενος μιᾷ τῶν ἡμερῶν προσκαλεσάμενος αὐτὴν «Χρή σε, τέκνον» εἶπε «Μαρῖνε, σὺν τούτοις δὴ τοῖς ἀδελφοῖς» τρεῖς ἑτέρους αὐτῇ παρασχὼν «ἐπὶ τὴν τῆς μονῆς πορευθῆναι διακονίαν· οὐδὲν γὰρ λυμανεῖταί σου τοῦτο τὴν ἀρετήν». ἡ δὲ τὴν ὑπακοὴν καλῶς ἐκπο||νήσασα εἴχετο σὺν τοῖς μοναχοῖς τῆς ὁδοῦ. κατὰ γοῦν τὴν f. 48v ἑσπέραν ἐκείνην πανδοχείῳ τινὶ παραβαλόντες μένουσιν ἐν αὐτῷ· συμπαραβάλλουσι δὲ τούτῳ καὶ στρατιῶταί τινες ἤδη τῆς ἡμέρας κλινάσης. φθείρει τις οὖν αὐτῶν κατ' ἐκείνην τὴν νύκτα τὸ τοῦ πανδοχέως θυγάτριον καί, οἷα φιλεῖ τούτοις ἐγγίνεσθαι, λαμβάνει κατὰ γαστρὸς ἡ κόρη.

7. Μεθ' ἡμέρας δέ τινας τοῦ ὄγκου δῆλον τῷ πατρὶ ταύτης τὸ πεπραγμένον πεποιηκότος, ἐκεῖνος ἐτασμοῖς αὐτὴν ὑπέβαλλεν, ὅστις ἄρα καὶ εἴη ὁ τοῦτο δὴ τὸ πονηρὸν αὐτῇ συμπραξάμενος. τῆς δὲ τὸν φθορέα μὲν παραλιπούσης, τὸν ἀββᾶν δὲ Μαρῖνόν με βιάσασθαι λεγούσης ψευδῶς, οὗτος τὸ κοι|νόβιον καταλαβὼν βοῆς col. 2 τὸν ἀέρα ἐπλήρου, «Καλά γε, ὦ μοναχοί», φάσκων, «τὰ παρ' ὑμῶν τελούμενα καὶ λίαν καλά. τοιαύταις δεῖ πράξεσι κοσμεῖσθαι τοὺς ἀσκητάς, τοιούτοις ἐνσεμνύνεσθαι τοῖς καλοῖς. ποῦ νῦν λοιπὸν καταφυγών τις σωθήσεται, ποῦ τύχοι τῆς σωτηρίας, εἰ καὶ παρ' αὐτῶν τούτων ἐπιβουλεύοιτο δῆθεν τῶν ἐλπιζομένων θεραπευτῶν;»

Rubro: v. 1 *Μὲν*, v. 5 *Ἐντεῦθεν*, v. 10 *Τοῦ*, v. 17 *Οὕτως*, v. 22 *Κατὰ*, v. 28 *Δὲ*
24 στρατιῶται τινὲς 30 ὅστις] εἴτις *cod.* 37 θεραπευτῶν [τοῦ Θεοῦ]?

εἶτα καὶ δήλην προσετίθει τὴν ὑπόθεσιν τῆς φθορᾶς, ὡς «Ὁ καλὸς Μαρῖνος, ὁ ἀσκητὴς ὁ σεμνός, παρθένων» λέγων «φθορεὺς ἀποδέδεικται».

8. Τούτοις καταπλαγεὶς τοῖς λόγοις ὁ καθηγούμενος καταστέλλει μὲν αὐτῷ τὸν θυμὸν τῇ θεραπείᾳ τῶν λόγων· οὐδὲ γὰρ παρῆν f. 49 ἡ ἁγία, ἵνα καὶ αὐτοῖς ἔργοις ἐνδείξηται τὴν ἐκδί||κησιν. μετά τινας γοῦν ἡμέρας ἐπανῆκε καὶ αὕτη τῆς ἐν ᾗπερ ἔτυχε διάγουσα δουλείας· καὶ τὰ τῆς φθορᾶς αἰτιωμένη, χεῖρας ἐπανατεινόντων αὐτῇ τῶν μοναχῶν καὶ ὕβρεσιν οὔτι μετρίαις βαλλόντων, ναὶ δὴ καὶ ἀπειλούντων τὰ χαλεπώτατα, ἐκείνη — καὶ ὅρα μοι γενναίας ψυχῆς ἀκαταγώνιστον φρόνημα — πλάνην ὑποστῆναι λέγει καὶ συγγνώμην αἰτεῖ. ὁ τοίνυν καθηγούμενος, τὴν συγκατάθεσιν ὡς ἀληθῆ λογισάμενος, ἐκβάλλει ταύτην τοῦ κοινοβίου, πληγὰς ἐντείνας οὐκ ὀλίγας αὐτῇ. καὶ ἦν οὕτω διανυκτερεύουσα αἴθριον, ψύχει καὶ καύσωνι προσπαλαίουσα καὶ μηδὲν ἀνθρώπινον τὸ καθόλου πρὸς τὴν συκοφαντίαν πάσχουσα.

9. Ἡμέραι παρῆλθον οὐχὶ συχναί· τίκτει τὸ γύναιον· ὁ πανδο- col. 2 χεὺς τὸ τεχθέν, ἄρρεν | τυγχάνον, ἀράμενος τῇ μονῇ φέρων τίθησι, τὰ ὅμοια ἢ καὶ πρότερον λέγων. τῇ Μαρίᾳ τὸ βρέφος, ἔξω τῆς μονῆς διαγούσῃ, προσρίπτεται. ἡ δὲ τοῦτο λαβοῦσα περιῆγε τὸ ὄρος, ἔνθα δὴ καὶ ποιμέσιν ἐντύχοι, καὶ γάλα λαμβάνουσα διέτρεφε τὸ βρέφος, πολλὰ δι' αὐτὸ λυπουμένη καὶ πολλὰ τῆς ἀνθρωπίνης καταστενάζουσα φύσεως.

Τρεῖς οὕτως ἐχούσης χρόνοι παρῆλθον, καὶ τῆς τοῦ καθηγουμένου ψυχῆς ἀψαμένης τῆς χάριτος, ψήφῳ καὶ τῶν ἀδελφῶν ἐντὸς αὐτὴν δέχεται τὸ κοινόβιον, τοῦ παιδός, ὡς ἂν εἴποις, παρασκαίροντος αὐτῇ καὶ ψελλίζοντος· ὃς δὴ καὶ ἀνατραφεὶς καὶ καλῶς παιδευθεὶς τοῦ μοναχικοῦ καὶ αὐτὸς κατηξίωται σχήματος.

f. 49v 10. Μετὰ δὲ ταῦτα νόσῳ περιπίπτει || ἡ καλὴ τῷ ὄντι Μαρία, καὶ εἶχεν αὐτὴν τὸ κελλίον ἐφ' ὅλας τρεῖς ἡμέρας ἀπρόϊτον. ὁ τοίνυν προεστὼς τὴν αἰτίαν ἠρώτα τῆς ἀπολείψεως, «Ἰδοὺ» λέγων τοῖς ἀδελφοῖς «ἡμέραι τρεῖς παρεληλύθασι, καὶ ὁ ἀββᾶς Μαρῖνος οὐκ ὤφθη μοι· τί δὴ καὶ γέγονε; μή τις ἄρα νόσος κατέσχεν αὐτόν;» εἶτα καὶ ἀπελθεῖν αὐτοὺς ἐκέλευε καὶ μαθεῖν. τῶν δὲ παραυτίκα τῇ κέλλῃ ταύτης παραβαλόντων καὶ τεθνηκυῖαν, ὢ Θεοῦ κριμάτων, εὑρηκότων αὐτὴν καὶ τῷ προεστῶτι δῆλον εὐθὺς τὸ πρᾶγμα ποιησαμένων, φιλανθρώπως οὗτος ὥσπερ καὶ συμπαθῶς «Οἴμοι τῷ

Rubro: v. 4 Τούτοις, v. 7 ἡ|Μέρας, v. 12 Τοίνυν, v. 17 πα|Ρῆλθον, v. 24 Τρεῖς, v. 29 Ταῦτα, v. 31 Προεστὼς

31 ἠρῶτα τῆς ἀπολήψεως

ταλαιπώρῳ» δακρύων ἔλεγε, «ποῦ δή σοι ἄρα, Μαρῖνε, καὶ ἡ ψυχὴ κληρωθήσεται;» οὕτω λέγων καὶ κηδευθῆναι ταύτην ἐκέλευσε καὶ τάφῳ παραδοθῆναι.|

11. Ὡς οὖν σπόγγοις οἱ ἀδελφοὶ ταύτην ἐκπλύνοντες ἦσαν, οἷα *col. 2* σύνηθες τοῖς μοναχοῖς ἐμποιεῖν—τίς σου, Χριστέ μου, μὴ θαυμάσει τὰ μεγαλεῖα;—γυναῖκα, τὸ παράδοξον, ὁρῶσι τὸν νομιζόμενον μοναχὸν καὶ ἅμα μιᾷ φωνῇ «Κύριε ἐλέησον» ἔκραζον. μανθάνει τοῦτο καὶ ὁ προεστώς, ῥίπτει ἑαυτὸν τοῖς ποσὶ τῆς ἁγίας καὶ συγγνώμην ἐν δάκρυσιν αἰτεῖ τῶν εἰς αὐτὴν πεπραγμένων, εἶτα καὶ αὐτὸν μετακαλεῖται τὸν πανδοχέα καὶ γνωρίζει τούτῳ τὴν αὐτῆς τελευτήν, «Ὁ ἀββᾶς» εἰπὼν «Μαρῖνος, ἀδελφέ, τὸν βίον ἀπέλιπεν». ὁ δὲ τῆς αὐτῆς ἐκείνης ἐχόμενος γνώμης—ποῦ γὰρ ἂν καὶ ἤλπισε τοιοῦτόν τι ξένον μαθεῖν καὶ ὑπέρμεγα θαῦμα;—«Ὁ Θεὸς» ἔφη «συγχωρήσαι τούτῳ τὸ σφάλμα. καὶ γάρ μου τὸν οἶκον ἠρήμωσε».||καὶ ὁ προεστὼς *f. 50* «Μή» φησιν, «ἀδελφέ, μὴ οὕτως ἔχε σκοποῦ, μετάνοιαν δὲ κτῆσαι καὶ δέησιν, ὅτιπερ ἐνώπιον Θεοῦ μεγάλα ἡμάρτηκας, συναρπάσας σου τοῖς λόγοις κἀμέ. καὶ γὰρ ὁ Μαρῖνος γυνή ἐστι, καὶ μέγας ἡμῖν ἔγκειται φόβος ἐφ' οἷς εἰς αὐτὴν διεπράξαμεν».

12. Οὕτως αὐτῶν λεγόντων ἰδοὺ καὶ ἡ θυγάτηρ τοῦ πανδοχέως, δαίμονι κάτοχος, ὀξέως φερομένη τῇ μονῇ προσῆλθε μεγάλα κωκύουσα καὶ τὸν στρατιώτην ἑαυτῆς εἶναι φθορέα γνωρίζουσα καὶ συγγνώμην αἰτοῦσα τῆς ψευδοῦς ἐκείνης κατηγορίας. ἀλλὰ τὸ συμπαθὲς τῆς ὁσίας οὐμενοῦν οὐδαμῶς τὴν ἴασιν οὐδὲ πρὸς μικρὸν ἀνεβάλετο, ἀλλ' αὐτίκα τοῦ δαίμονος ἀπαλλάττει ταύτην καὶ σωφρονοῦσαν δείκνυσι.

13. Κηδεύ|σαντες οὖν σου τὸ πάντιμον ἐκεῖνο σῶμα καὶ πάν- *col. 2* αγνον, καλλιπάρθενε, τὸ γυναικῶν σεμνολόγημα, Μαρία πανθαύμαστε, καὶ πρεπόντως μυρίσαντες τοῖς Ἱεροσολύμοις ἐκόμισαν κἀκεῖσε ταφῆς ἐντίμως ἠξίωσαν. καὶ νῦν οἰκοῦσα τοὺς οὐρανοὺς χάρισαι ταῖς εἰς Χριστὸν ἱκεσίαις σου τῷ πιστῷ βασιλεῖ καὶ ὀρθοδόξῳ μῆκος ζωῆς καὶ βίου εὐμάρειαν, ἰσχὺν κατ' ἐναντίων καὶ τρόπαια, χαρᾶς ἀδιαδόχου τὴν κλήρωσιν, ἀΰλων μονῶν τὴν κατοίκησιν, ἡλίου τοῦ νοητοῦ τὴν ἔλλαμψιν, πάντων τῶν καλῶν τὴν μέθεξιν καὶ βασιλείας οὐρανῶν τὴν ἐπίτευξιν· ὅτι αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Rubro: v. 4 Ὡς, v. 14 Καὶ ὁ, v. 19 Οὕτως, v. 26 κηδεύ|Σαντες, v. 31 Μῆκος, v. 33 Πάντων

14 ἠρίμωσε

f. 50v *Μηνὶ τῷ αὐτῷ ιγ´.*

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΜΑΡΤΙΝΙΑΝΟΥ.

1. Καισαρείας ἔγγιστα τῆς Παλαιστίνης ὄρος ἐστὶ καλούμενον Κιβωτοῦ Τόπος. τούτῳ τῷ ὄρει καὶ ἔρημος παράκειται πολλοῖς καὶ καλοῖς ἀνδράσιν ἀνθοῦσα· ὧν εἷς καὶ ὁ θεῖός ἐστι Μαρτινιανός. ὃς ἐκ νέου τὸν Θεὸν ἀγαπήσας τὴν ἔρημον ταύτην ὀκτωκαίδεκα μὲν ἐτῶν γενόμενος εἰσέρχεται, ἓξ δὲ πρὸς τοῖς εἴκοσι χρόνοις οἰκήσας αὐτήν, πᾶν μὲν εἶδος ἀρετῆς κατώρ| col. 2 *θωσε, πᾶσαν δὲ νόσον ἀνθρωπίνην ἰάσατο, οὐ σωμάτων μόνον, ἀλλὰ δὴ καὶ ψυχῶν ἰατρὸς ἄριστος γεγονώς. ἔνθεν τοι καὶ πλῆθος αὐτῷ πειρασμῶν οὐ διέλιπεν ἐπεγείρων ὁ πονηρός, ὧν ἓν ἐν βραχεῖ διηγήσομαι.*

2. Ψάλλοντός ποτε τοῦ ὁσίου, δράκων ὥσπερ ὁ ἀπατεὼν γενόμενος, τὴν οἰκίαν ἐν ᾗ καὶ ἔψαλλεν ὁ ἅγιος ὑπελθών, μέρος τι τοῦ θεμελίου ὑποσπᾶν ἤρξατο, ὡς ἂν φόβον ἐπισείσῃ τούτῳ καὶ λογισμοὺς δειλίας ἐμβάλῃ. ἐπεὶ δὲ ὁ ὅσιος || f. 51 *ἀκατάπληκτος ἦν, τέλος αὐτῷ ἤδη τοῦ ψαλμοῦ ἔχοντος, παρακύψας ἀπὸ τῆς θυρίδος «Τί ματαίως κάμνεις» φησὶ πρὸς αὐτόν, «ἄθλιε, ἕρπων ὥσπερ δή σοι προσῆκον ἐπὶ τῆς γῆς; ἐμοὶ γὰρ τὸ πτοεῖσθαί σου τὰς φαντασίας ἴσον ἐστὶ τῷ δι᾽ ὀνείρων πλήττεσθαι». ἤκουσεν ὁ ἐχθρὸς καὶ εὐθὺς ὡς λαῖλαψ φυγὼν ἀφανὴς γίνεται, «Μεῖνόν με» λέγων «αὐτός, μεῖνον, καὶ ὀργὴν ἐπάξω σοι, πρὸς ἣν ἀντισχεῖν οὐ δυνήσῃ· ἀλλὰ καὶ τοῦ οἰκίσκου τούτου τάχος ἐκφυγεῖν σε παρασκευάσω». ὁ μὲν οὖν φεύγων ἔλεγε ταῦτα, ὁ δὲ μακάριος οὐδὲν τῶν εἰρημένων ἐπιστραφεὶς ἡσυχίαν ἦγε, ταῖς θείαις ἐνηδόμενος τῶν γραφῶν ἀναγνώσεσιν.*

3. Ὁ μέντοι πονηρός. ὡς ἀεὶ πονηρὸς ἦν καὶ ἔτι, καὶ τί ποιεῖ; ὁδευόντων | col. 2 *ποτέ τινων καὶ μνήμην ποιουμένων περὶ τῶν τοῦ ὁσίου κατορθωμάτων, γυνή τις προσεῖχε τοῖς λεγομένοις· ἥτις καὶ γλῶσσα καὶ στόμα τῷ πονηρῷ γενομένη, «Τίς οὗτος» φησὶ πρὸς αὐτοὺς «ὁ παρ᾽ ὑμῶν θαυμαζόμενὸς, ὃς ἐμοῦ βουληθείσης ῥᾳδίως καταβληθήσεται; τί γὰρ καὶ μέγα ποιεῖ; καθεῖρξεν ἑαυτὸν καὶ σωφροσύνην ἔχειν μεγαλαυχεῖ· καυχήσεται τοίνυν καὶ χόρτος δίχα πυρὸς*

Rubro: v. 4 *Καισαρείας*, v. 13 *Ψάλλοντος*, v. 20 *Ὁ ἐχθρός*, v. 24 *Ὁ δέ*, v. 28 *Ποτέ*

6 *θεῖος ἐστὶ* 9 *κατόρθωσε* 12 *διέλιπεν* cod., *διέλειπεν* Papadopulos-Kerameus 13 *ψάλλοντος ποτὲ* 20 *τὸ δι᾽ ὀνείρων* cod., em. P.-K. 21 *λαίλαψ* 24 *τῶν εἰρημένων [ἀκούσας]* perperam inseruit P.-K. 28 *Ποτὲ τινῶν*

ἄκαυστος συντηρούμενος. εἰ οὖν ἐγὼ προσελθοῦσα τούτῳ ἀπαθὴς μείνοι, τότε πεισθήσομαι καλῶς λέγειν ὑμᾶς καὶ πολλοῖς στέψω τὸν ἄνδρα τοῖς ἐγκωμίοις». οὕτως εἰποῦσα καὶ συνθήκας πρὸς τοὺς ἄνδρας ποιησαμένη, εὐθὺς ὡσεὶ ξυρὸν ἠκονημένον ποιεῖται τὸν δόλον· ῥυπαρὰ γὰρ ἐνδῦσα καὶ || τὸν κόσμον αὐτῆς ἐν μαρσηπίῳ f. 51v θεμένη καὶ τοῦτον οὕτω λαβοῦσα πρὸς τὸ ὄρος ἀνῆλθεν, ὅπου δὴ καὶ ὁ ἅγιος ἦν, νυκτὸς ἐπιγενομένης ὄμβρων τε ἰσχυρῶς καταφερομένων καὶ ἀνέμων χαλεπῶν ἐμπνεόντων. ἤδη δὲ πλησίον αὐτοῦ γενομένη ἐλεεινὰς ἠφίει φωνάς, «Ἐλέησόν με» λέγουσα, «δοῦλε τοῦ Θεοῦ, ἐλέησον τὴν ἠπορημένην καὶ βρῶμα προκειμένην ἤδη θηρίοις· πεπλάνημαι γὰρ ἡ ταλαίπωρος τῆς ὁδοῦ καὶ οὐκ οἶδα ποῦ καὶ πορεύσομαι. μὴ τοίνυν ἀπώσῃ με τὴν ἐλεεινήν, μὴ βδελύξῃ τὴν ἁμαρτωλόν, ἐπεὶ κἀγὼ πλάσμα Θεοῦ· εἰ γάρ με παρίδῃς, θηρίοις ἔσῃ ψυχὴν προδιδοὺς καὶ τὸ κρῖμα ἔσται διακαῖόν σου τὴν ψυχήν».

4. Τοιαῦτα λεγούσης μετὰ δακρύων, προκύψας | διὰ θυρίδος ὁ col. 2 ὅσιος καὶ οὕτως ἔχουσαν ἐλεεινῶς κατιδών, πλήττεται τὴν ψυχήν, «Οἴμοι» λέγων καθ᾽ ἑαυτόν, «τί πράξω; εἰ μὲν μὴ εἰσενέγκω ταύτην, θηρίοις βρωθήσεται· εἰσαγαγὼν δὲ φοβοῦμαι, μή ποτέ μοι βόθρον ὁ ἐχθρὸς ὀρύξῃ δι᾽ αὐτῆς». εἶτα καὶ πρὸς τὸν Θεὸν «Ἐπὶ σοί, κύριε, ἤλπισα» ἔφη· «μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα, ἀλλὰ σῶσόν με κατὰ τὸ σὸν θέλημα καὶ σκέπασον, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας. ἀμήν». οὕτως εἰπὼν διανοίγει τὴν θύραν καὶ εἰσαγαγὼν αὐτὴν καὶ πυρὰν καύσας, «Γύναι», φησί, «θερμαίνου». ἐνεγκὼν δὲ καὶ φοίνικας καὶ παρασχὼν αὐτῇ (δύο γὰρ ἔξωθεν τῆς αὐτοῦ κέλλης ἵσταντο φοίνικες), «Φάγε» λέγει «καὶ μεῖνον ἐνταῦθα καὶ φρόντισον σεαυτῆς». οὕτως εἰπών, ἐάσας αὐτήν, εἰς τὸ || ἐνδό- f. 52 τερον κελλίον εἰσῆλθε καὶ εὐξάμενος ὕπνῳ δέδωκεν ἑαυτόν, στρωμνῇ ψιλῷ τῷ ἐδάφει χρώμενος, ὥσπερ ἦν εἰθισμένον αὐτῷ.

5. Ταύτης δὲ τῆς νυκτὸς ἐκείνη διεγερθεῖσα κοσμεῖ ἑαυτὴν καὶ καλλωπίζει πρὸς τὸ κλέψαι τὸν ἅγιον· ἐκεῖνος δὲ λογισμοῖς ὀχληθεὶς τῆς σαρκὸς καὶ διαναστάς, ὡς ἂν ἐκβάλοι τὸ γύναιον καὶ οἴκαδε παραπέμψοι, ταύτην οὕτως ἔχουσαν κεκαλλωπισμένην ἰδών, «Τί ταῦτα, ὦ γύναι», φησί, «τίς ἡ παρ᾽ ἐλπίδα μετάθεσις αὕτη»; ἡ δὲ παραχρῆμα πρὸς τὸ ἑταιρικὸν καὶ ἐπαγωγὸν ἑαυτὴν καταστήσασα, «Ἐγώ» φησιν «ἐκ τῆς πόλεώς εἰμι Καισαρείας τῆς Παλαιστίνης· ἀκούσασα δὲ περὶ τῆς σῆς νεότητος καὶ τοῦ κάλλους, πάντων

Rubro: v. 5 Ῥυπαρά, v. 8 Πλησίον, v. 16 Τοιαῦτα, v. 23 Διανοίγει, v. 30 Ταύτης

27 σεαυτῆς] ἑαυτῆς P.-K. 34 παρελπίδα 36 πόλεως εἰμὶ

4 ὡσεὶ ξυρὸν ἠκονημένον: Psal. 51, 4.

col. 2 ἀφεμένη τῶν ἄλλων ἑνὸς ἐγενόμην μόνου, τοῦ σὲ τὴν ἐμὴν | ὄντως ἰδεῖν καὶ ψυχὴν καὶ πνοήν, καὶ τοῦ σοῦ κάλλους καὶ τῆς ἡδίστης κατατρυφῆσαι νεότητος. τί δέ σοι καὶ ἡ πολλὴ αὕτη βούλεται νηστεία εἰς μαρασμὸν κάλλους τοιούτου καὶ ὡραιότητος; ποία δὲ καὶ γραφὴ λέγει μὴ φαγεῖν, μὴ πιεῖν, μὴ γυναικὶ συναφθῆναι; τίς τῶν προφητῶν ἢ πατριαρχῶν οὐκ ἔζευκται γυναικί; τίς δὲ καὶ ζευχθεὶς βασιλείας οὐρανῶν γέγονεν ἔκπτωτος; οὐχὶ Ἐνώχ, οὐχ Ἀβραάμ, οὐκ Ἰακώβ, οὐχὶ Μωσῆς ὁ μέγας γυναιξὶν ὁμιλήσαντες μεγάλοι τυγχάνουσι καὶ φίλοι Θεῷ; τί δὲ ὁ θεῖος Δαυίδ; τί δὲ ὁ λοιπὸς τῶν ἁγίων χορός, ἵνα μὴ καὶ Πέτρον εἴπω τὸν κορυφαῖον; οὐχὶ καὶ αὐτοὶ γάμου κοινωνήσαντες καὶ παίδων ὀφθέντες πατέρες, f. 52v εἶτα καὶ βασιλείας οὐρανῶν λαμπρῶς ἠξιώθησαν;» || οὕτω λέγουσα (καὶ γὰρ εἶχε τὸν πονηρὸν ἐνηχοῦντα) καὶ χεῖρας ἐκείνου τρίβουσα καὶ ῥήμασι κολακεύουσα, τὸν πύργον αὐτοῦ τῆς ψυχῆς διασαλεύειν ἤρξατο.

6. Προσσχὼν οὖν αὐτῇ Μαρτινιανός, «Καὶ εἰ λάβω σέ» φησιν «εἰς γυναῖκα, ποῦ πορευσόμεθα καὶ πῶς ἂν σε διαθρέψω»; ἡ δὲ πρὸς αὐτὸν «Τί σοι τούτων φροντίς»; ἔφη· «σὺ μίαν μοι λῦσον ἐπιθυμίαν, δι' ἣν ἐγὼ παραγέγονα, ἐγὼ δέ σοι περὶ τούτων ἀφρόντιδα θήσομαι· εἰσὶ γάρ μοι καὶ οἰκίαι καὶ κτήματα καὶ χρυσός, παῖδές τε καὶ παιδίσκαι, ὧν πάντων κύριον καταστήσω σε καὶ δεσπότην, εἰ μόνον ἀπολαύειν ἔχω κάλλους τοσούτου καὶ γλυκύτητος ὀφθαλμῶν». ταῦτα λεγούσης χαλεπὴ πύρωσις εἰσῄει τὸν col. 2 ἄνδρα καὶ πρὸς τὴν ἁμαρ|τίαν ὅλως αἰχμάλωτος ἤγετο. ἀλλὰ μὴ φοβηθῇς, ἀγαπητέ· φθάνει γὰρ ὁ ἀγαθὸς καὶ χεῖρα ὀρέγει, καὶ ὁ τρόπος ὡς θαυμαστός. ἐν τοσούτῳ γὰρ ὑπολαβὼν ὁ γενναῖος, «Μεῖνον, ὦ γύναι», φησί· «καὶ γὰρ εἰώθασί τινες φοιτᾶν πρὸς ἡμᾶς ὠφελείας χάριν. ἐξελθὼν οὖν διασκοπήσω τὰς ὁδούς, ἵνα μή τις ἡμᾶς καταλάβοι καὶ γελασθῶμεν· εἰ γὰρ καὶ Θεὸν κρύψαι τὴν ἁμαρτίαν οὐ δυνατόν, ἀλλ' οὖν γε σπεύσωμεν ἀνθρώπους λαθεῖν».

7. Ἐξιὼν οὖν περιέβλεπε τὰς ὁδούς, καὶ ὁρῶντα βλέπει τοῦτον Θεὸς καὶ τὴν καρδίαν αὐτοῦ μεταβάλλει καὶ μετάνοιαν τῶν ἐντεθυμημένων εἰσάγει. τοίνυν καὶ καταβὰς ἀπὸ τῆς πέτρας καὶ φρύγανα συλλεξάμενος, πῦρ τε τούτοις ὑφάψας, ὑπολυσάμενος τὰ || f. 53 σανδάλια, κατὰ μέσης εἰσῆλθε τῆς ἀρθείσης φλογός, φλέγων ὡσανεὶ τοὺς πονηροὺς λογισμούς. ἱκανῶς οὖν καταφλεχθεὶς καὶ τοὺς πόδας ἀλγήσας ἔξεισι τοῦ πυρὸς καὶ ὥσπερ ἐγκαλῶν ἑαυτῷ καὶ

Rubro: v. 16 Οὖν, v. 23 Ταῦτα, v. 31 Ἐξιών, v. 36 Ἱκανῶς
16 προσχώ(ν) — φησί   32 ὁ θεὸς P.-K.

διαμαχόμενος, «Τί σοι δοκεῖ, Μαρτινιανέ»; λέγει· «καλῶς ἔχει σοι τὰ τῆς καύσεως; φέρεις τοῦ πυρὸς τοῦδε τὴν κόλασιν; εἰ δυνατόν σοι φέρειν, πρόσελθε καὶ τῇ γυναικί, δι' ἧς ὁ πονηρὸς τὸ ἄσβεστόν σοι πῦρ προξενεῖ καὶ τὸν σκώληκα τὸν ἀκοίμητον καὶ τὰς ἄλλας ὀδύνας ἐκείνας». ταῦτα δὲ καὶ εἰς ὦτα τῆς γυναικὸς λεγόμενα εἶπεν. ἐπεὶ δὲ μικρὸν ἀνείθη, πάλιν τὸ πῦρ ὑποτρέχει καὶ φλέγεται δεινῶς καὶ τὸν πόνον μὴ ἐνεγκὼν ἔξεισι καὶ μέσης αὐτῆς ἐκ καρδίας στενάζει τῇ γῇ προσ|καταβληθείς, «Σύγγνωθί μοι» col. 2 *λέγων, «Χριστέ, σύγγνωθι καὶ ἄφες τὸ πρὸς ἁμαρτίαν ὅρμημα τῆς ψυχῆς· οἶδας γάρ, οἶδας ὅτι σὲ μόνον ἠγάπησα, βασιλεῦ, καὶ σοῦ χάριν ἐμαυτὸν τῷ πυρὶ παραδέδωκα». οὕτως ηὔξατο ἐπὶ γυμνοῦ κείμενος τοῦ ἐδάφους· ἵστασθαι γὰρ ὑπὸ τῆς καύσεως οὐκ ἠδύνατο· ἔψαλλε δὲ καὶ οἰκεῖον ψαλμόν, «Ὡς ἀγαθὸς» λέγων «ὁ θεὸς τῷ Ἰσραήλ, ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες· παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου».*

8. Τούτων ἀκούσασα ἡ γυνὴ καὶ τῷ πραχθέντι νοῦν ἐπιστήσασα, ἀναστᾶσα τὸ τάχος καὶ τὸν κόσμον ἐκεῖνον ἀποβαλοῦσα, δακρύων ἠφίει πηγάς, «Μὴ μνησικακήσῃς ἐπ' ἐμοὶ» λέγουσα, «πάτερ. οἶδας τὸ πολυμήχανον || τοῦ πονηροῦ· εὖξαι ὑπὲρ ἐμοῦ τῆς f. 53v *ἀθλίας καὶ τοῦτο γίνωσκε, ὡς τὸ ἀπὸ τοῦδε οὔτε πόλις ἐμὴ οὔτε οἰκία με ὄψεται, ἀλλὰ σοὶ παρατίθημι καὶ σῶμα ἤδη καὶ τὴν ψυχήν· σπεύσω γάρ, τῆς σῆς εὐχῆς βοηθούσης μοι, παίγνιον ἀποδεῖξαι τὸν πονηρὸν καὶ τὴν ἐμὴν ὅλῃ προθέσει σῶσαι ψυχήν». ταῦτα λεγούσης καὶ τὸ δάκρυον ἀπέσταζε τῶν ὀμμάτων, τὴν μετάνοιαν πάντως πιστούμενον. ὁ δὲ ὅσιος «Κύριος ὁ Θεός μου συγγνώσεταί σοι τῆς ἁμαρτίας» εἶπεν, «ὦ γύναι· πορεύου τὸ λοιπὸν ἐν εἰρήνῃ, μὴ ἐπιλανθανομένη τῶν συνθηκῶν». κἀκείνη «Ποίαν δὲ τὴν ὁδὸν» ἔφη «πορεύσομαι»; καὶ ὃς «Εἰς Ἱεροσόλυμα» φησὶ «καὶ πρὸς τὴν ἁγίαν Βηθλεὲμ συμφέρει σοι κατελθεῖν, ἔνθα παρθένον ἁγίαν, ὄνομα Παῦλαν, ζητῆσαί σε | δεῖ. ταύτῃ τὴν ὑπόθεσιν ἐξαγό-* col. 2 *ρευσαι, καὶ πολλῆς μεθέξεις τῆς ὠφελείας».*

9. Τοῦτο ἐπεὶ ἤκουσεν ἡ γυνή, προσκύνησιν αὐτῷ προσάγει καὶ ἀξιοῖ δέεσθαι ὑπὲρ αὐτῆς· ὁ δὲ μόλις διαναστὰς (δυσφόρως γὰρ εἶχε διὰ τὰς πληγὰς) καὶ φοίνικας αὐτῇ δοὺς ὀλίγους, βραχὺ τῆς ὁδοῦ παραμύθιον, «Πορεύου» λέγει, «πορεύου, γύναι», τὴν ὁδὸν ὑποδείξας, «καὶ σώζουσα δὴ τὴν ἑαυτῆς σῶζε ψυχήν· μετανοούντων γὰρ ὁ Θεός». τούτων λεγομένων, ἐκείνη τὸν κλαυθμὸν καὶ τὴν

Rubro: v. 6 *Μικρὸν*, v. 11 *ηὔ|Ξατο*, v. 16 *ἀ|Κούσασα*, v. 25 *Κύριος*, v. 32 *Ἤκουσεν*, v. 37 *Τούτων*.

14 *τῷ] τ(ῶν)* *cod.*, *em. P.-K.* 30 *σε om. P.-K.* 37 *καὶ τὴν μετάνοιαν om. P.-K.*

13 *Ὡς ἀγαθὸς — διαβήματά μου:* Psal. 72, 1—3.

μετάνοιαν ἐπιτείνουσα, «Ἐλπίζω εἰς Χριστὸν» ἔφη, «πρὸς ὃν καὶ ἔθνη ἤλπισαν καὶ οὐ κατῃσχύνθησαν, ὅτι τὸ λοιπὸν μερὶς τῷ ἀντικειμένῳ ἐν ἐμοὶ οὐκ ἔσται». οὕτως εἰποῦσα καὶ τὸν θεῖον προσ- *f. 54* κυνήσασα Μαρτινιανὸν ὁδοῦ εἴχετο· || ὁ δὲ τῷ σημείῳ τοῦ σταυροῦ σφραγίσας αὐτὴν καὶ σωτηρίαν αὐτῇ ἐπευξάμενος, εἰσῄει τὴν κέλλαν καὶ βαλὼν ἑαυτὸν εἰς ἔδαφος βάρει στεναγμῶν κατετείνετο καὶ θερμότερον ηὔχετο.

10. Ἡ μέντοι γυνὴ πορευομένη, ὅ φησιν ἡ θεία γραφή, ἐπορεύετο κλαίουσα καὶ δακρύων σπέρματα καταβάλλουσα διὰ τὸν μετ᾽ εὐφροσύνης ἔσχατον θερισμόν· εἶτα φθάνει καὶ τὴν Βηθλεὲμ καὶ τῷ μοναστηρίῳ Παύλας τῆς παρθένου προσέρχεται, ᾗ καὶ τὰ τῆς ὑποθέσεως (ὡς ἡ ἐντολὴ τοῦ ὁσίου) πάντα κατὰ μέρος εἰποῦσα, ὑποδέχεται καλῶς παρ᾽ αὐτῆς καὶ προνοίας ψυχικῆς ἅμα καὶ σωματικῆς ἀξιοῦται. τοσοῦτον οὖν πρὸς τοὺς ἀσκητικοὺς ἀγῶνας ἑαυτὴν *col. 2* κατέτεινεν, ἵνα συντόμως εἴπω, ὡς μὴ μόνον ἄφεσιν | ἁμαρτιῶν αὐτῇ προσγενέσθαι, ἀλλὰ καὶ χάριν ἰαμάτων δοθῆναι. γυνὴ γάρ τις τοὺς ὀφθαλμοὺς ἀλγοῦσα, καὶ λίαν ὀδυνηρῶς, εἰσῆλθε τὸ μοναστήριον, ἡ δὲ μακαρία Παῦλα προσευχὴν ἐπιτάττει Θεῷ ταύτην προσενεγκεῖν ὑπὲρ τῆς πασχούσης· τῆς δὲ τοῦτο ποιησαμένης, ὑγιαίνοντες ἦσαν οἱ πάσχοντες ὀφθαλμοί, καὶ ἡ τυχοῦσα τῆς θεραπείας τῷ βίῳ ἀποταξαμένη τὴν κόμην εὐθὺς ἀποκείρεται καὶ ταῖς λοιπαῖς συναριθμεῖται τῆς μονῆς γυναιξίν. ἡ τοίνυν θαυμασία ἐκείνη γυνή, ἡ ποτὲ φαύλη καὶ μοχθηρά (χαίρω γὰρ μετανοίας ἰσχὺν μανθάνων, ἅτε δὴ καὶ αὐτὸς ἁμαρτίαις ἀμέτρως ἔνοχος ὤν), δύο πρὸς τοῖς δέκα χρόνοις ἐν τῇ μονῇ ζήσασα τελευτᾷ *f. 54v* τὸν βίον, μὴ οἴνου μετασχοῦσα, μὴ || ἐλαίου, μὴ σταφυλῆς ἢ ἄλλης τῶν ὀπωρῶν, ἀλλ᾽ ἢ μόνον ἄρτου καὶ ὕδατος, καὶ ταῦτα διὰ τὴν ἀνάγκην τῆς φύσεως. οὕτως ἡ γενναία τὸ προλαβὸν διέλυσε σκότος, οὕτω περιφανῶς τὸν πτερνίσαντα ἥττησεν.

11. Ἀλλ᾽ ἐπὶ τὸν μακάριον Μαρτινιανὸν αὖθις ἰτέον καὶ διηγητέον, ὁποίῳ τέλει καὶ οὗτος τὸν βίον κατέλυσεν. εἴσω μὲν ἑβδόμου μηνὸς ἀδυνάτως εἶχε βαδίζειν ἐλευθερίως διὰ τὰς ἐκ τῶν πληγῶν ὀδύνας· ἐπεὶ δὲ μετρίως ἰάθησαν, διελογίζετο, ὅπως δὴ καὶ ἐν ποίῳ μεταβήσεται τόπῳ γυναιξὶν ὅλως ἀβάτῳ. «Εἰ μὴ γάρ» φησι «τοῦτο γένηται, οὐμενουν ἐλεύθερος ἔσομαι τῶν τοῦ ἀντικειμένου βελῶν». διὸ καὶ δέεται τοῦ Θεοῦ πρὸς τὴν φέρουσαν εἰς ζωὴν αὐτὸν ὁδη- *col. 2* γῆσαι | ὁδόν. οὕτως εἰπὼν καὶ τῷ σημείῳ τοῦ σταυροῦ φραξάμενος

Rubro: v. 8 Πορευομένη, v. 16 Γάρ, v. 23 θαυ|Μασία, v. 31 Ἑβδόμου.
2 ἤλπισαν — κατῃσχύνθησαν: Psal. 21, 6.

ἐξῆλθε τοῦ κελλίου καὶ πρὸς τὴν θάλασσαν ὥρμησεν· ὡς δὲ αὐτὸς ἐξήρχετο, φωνὴν ὁ δαίμων ἀφῆκεν, «Ἀνδριζέσθωσαν αἱ δυνάμεις μου» λέγων «καὶ εἴη τὸ ὄνομά μου λαμπρόν, ἐπεὶ καὶ ἴσχυσα κατ' αὐτοῦ· ἰδοὺ γὰρ καὶ πυρὶ κατέφλεξα καὶ τῆς κέλλης αὐτὸν ἀπήλασα καὶ φυγάδα κατέστησα». καὶ προσθεὶς «Ποῖ φεύγεις, Μαρτινιανέ»; λέγει· «ὅπου δ' ἂν ἀπέλθῃς, καὶ αὐτὸς ἐλεύσομαι, κἀκεῖθεν τάχος σε ἐκδιώξω καὶ οὐκ ἀποστήσομαί σου, ἄχρις ἂν καὶ εἰς τέλος σε ταπεινώσω». πρὸς ταῦτα ὁ ὅσιος· «Ἀλλὰ σὺ δοκεῖς, ἀσθενέστατε, τῆς κέλλης με διώκειν; μή σοι εἴη τοῦτο εἰς καύχημα, μοχθηρέ· ἀφίσταμαι γὰρ ἑκών, ἵνα σου || καταβάλω τὸ φρύαγμα. ὅρα δὲ *f. 55* ὅπως καὶ ὃ παρεσκεύασας κατ' ἐμοῦ ἐργαστήριον Θεῷ προσήνεγκα, καὶ νῦν ἐκείνη σε ἴσα καὶ πηλῷ νομίζει· σὺ δὲ ἀλλ' οὐδὲ σκιᾶς αὐτῆς ὅλως ψαῦσαι τολμᾷς». ταῦτα τοῦ ὁσίου λέγοντος ὁ διάβολος φυγῇ τε ἐχρῆτο καὶ ἀπιὼν ᾤχετο.

12. Ὁ μέντοι μακάριος κατέψαλλεν αὐτοῦ λέγων· «Ἀναστήτω ὁ Θεὸς καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ» καὶ τὰ λοιπὰ τοῦ ψαλμοῦ· ὡς δὲ ἤδη τοῦ λιμένος ἐντὸς ἦν, ἐντυγχάνει ναυκλήρῳ φοβουμένῳ τὸν κύριον καί [φησι] πρὸς αὐτόν· «Ἔστι σοί τις, ἀδελφέ, τῶν νήσων εἰς γνῶσιν, ἣ μέσον που κεῖται θαλάσσης, οὐδένα ἔχουσα τὸν οἰκοῦντα»; ὁ δὲ «Καὶ ὅτου χάριν ἐρωτᾷς» ἔφησε «περὶ τοῦδε;» καὶ ὁ δίκαιος «Ἡσυχίας ἔρως με» φησὶν «εἷλε καὶ | ἡ τοῦ κόσμου τούτου φυγή». καὶ ὁ ναύκληρος· «Ἔστι πέτρα *col. 2* τις στενὴ μὲν καὶ ὑψηλή, πολλῷ τῆς γῆς ἀπέχουσα διαστήματι· τῷ γὰρ ἔγγιστα αὐτῆς γινομένῳ ἡ γῆ τὸ παράπαν οὐ θεατή». καὶ ὁ ἅγιος· «Πάνυ σφόδρα με τοιοῦδε τόπου εἶχεν ἐπιθυμία, καὶ μάλιστα ὅτι καὶ ἄβατος εἶναι δι' ὅλου γυναικὶ δύναται».— «Πόθεν δέ σοι», ὁ ναύκληρος ἔφη, «τὰ πρὸς τροφὴν ἔσται»; καὶ ὁ ὅσιος· «Σύ μοι τὰ πρὸς τὸ ζῆν ἔσῃ παρέχων, ἐγὼ δέ σοι πρεσβεύων τὰ πρὸς Θεόν· πλὴν ἀλλ' εἴ μοι καὶ βαΐα φοινίκων κομίσεις, διὰ τῶν ἐκ τούτων ἔργων ἕξω τὰς πρὸς τὸ ζῆν ἀφορμάς· κομίσεις δέ μοι καὶ κεράμια, ἐν οἷς τὸ ὕδωρ μοι φυλαχθήσεται. ἐλεύσῃ δὲ τοῦ ἐνιαυτοῦ δὶς ἢ καὶ τρίτον αὐτός, τὸ ὕδωρ μετακομιζόμενος || ἡμῖν *f. 55v* καὶ τὸν ἄρτον».

13. Ἐπεὶ τούτων ὁ ναύκληρος ἤκουσε, γνοὺς εἶναι τὸν ἄνδρα πνευματικόν, ἐπένευσε ποιεῖν πάντα σὺν προθυμίᾳ. ἐμβιβάσας τοίνυν αὐτὸν ἔν τινι πλοίῳ, ἄχρις ἑσπέρας τὴν πέτραν πεφθάκασι, πρὸς ἣν χαίρων ὁ μέγας ἀνέβη καὶ ἔψαλλεν· «Ὑπομένων ὑπέ-

Rubro: v. 1 Ὡς δέ, v. 8 Ταῦτα, v. 15 Ὁ, v. 17 Ἤδη, v. 21 Καί, v. 25 Καὶ ὁ, v. 26 Πόθεν, v. 34 Τούτων

18 φησι *inserui* 31 ἐφοὶς *cod., em. P.-K.*

15 Ἀναστήτω κτλ. Psal. 67, 1—2. 37 Ὑπομένων κτλ. Psal. 39, 1—3.

μεινα τὸν κύριον, καὶ προσέσχε μοι καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου». καί φησι πρὸς τὸν ναύκληρον· «Ἀλλ' αὐτὸς ἄπιθι μετ' εἰρήνης, κομίσεις δέ μοι τά τε κεράμια καὶ τὸν ἄρτον, ἀδελφέ, καὶ τὸ ὕδωρ». ὁ δὲ «Ἀλλ' εἰ βούλει» φησὶ «καὶ ξύλα, δι' ὧν ἄρα σοι καὶ σκηνὴν ποιήσομαι». καὶ ὃς οὐκ ἐπένευσεν, ἀλλ' ἔμενεν οὕτως ἀνέμοις ἔκδοτος καὶ ἡλίῳ col. 2 καὶ ὑετῷ. πλὴν ἀλλ' ὁ μὲν ναύκληρος ἀπελθὼν πάντα δια|κομίζεται, καὶ τοῦτο δὴ τρίτον τοῦ ἐνιαυτοῦ διετέλει ποιῶν· ὁ δὲ ὅσιος γαλήνης μεστὸν ἦγε βίον καὶ ἡδονῆς πληρούμενον τῆς κατὰ Θεόν.

14. Τῷ μέντοι πονηρῷ δαίμονι πάλιν αἱ ἐπιβουλαὶ κατ' αὐτοῦ συσκευάζονται, καί ποτε νυκτὸς ὁ πανοῦργος τὴν θάλασσαν συνταράξας κύματα διήγειρε, πήχεσι πεντεκαίδεκα τῆς κεφαλῆς ὑπερφερόμενα τοῦ ὁσίου, ἐβόα τε μέγιστον· «Ἄλλα νῦν σε, Μάρτινιανέ, τοῖς ὕδασιν ἀποπνίγω». καὶ ὁ ἅγιος «Εἰς κενόν σοι τὰ τῆς μηχανῆς» ἀντεφθέγξατο· «ἔχω γὰρ τὸν ἐνισχύοντά με Χριστόν, δι' οὗ καὶ εἰς τέλος καταισχυνῶ σε». καὶ εὐθὺς ὁ ψαλμὸς ἐπὶ στόματος· «Σῶσόν με ὁ Θεός, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου» καὶ τὰ f. 56 λοιπὰ τοῦ ψαλμοῦ. εἶτα καὶ ηὔξατο, «Χριστὲ»||λέγων «μονογενής, ὁ διὰ τὰς ἡμῶν ἁμαρτίας ἐπὶ γῆς κατελθών, ἐπάκουσόν μου καὶ λῦσον τὸν ἐπιόντα μοι πειρασμόν». οὕτως εὐξαμένου ὁ μὲν ἐχθρὸς ἀφανὴς ἦν, ὁ δὲ ὅσιος ἔμεινεν ἀβλαβής.

15. Ἓξ διῆλθον ἐνιαυτοί, καὶ ἕτερον αὐτῷ πειρασμὸν πάλιν ὁ ἐχθρὸς ἐπανίστησι, τοῦ προτέρου βαρύτερον. πλοῖον γὰρ τὸν τόπον διιόν, ἀνδρῶν πλῆρες καὶ γυναικῶν, ἀνέμῳ τινὶ βιαίῳ προσαράσσει σφοδρῶς ὁ κακοῦργος τῇ πέτρᾳ καὶ αὐτὸ μὲν συνέτριψε, τοὺς ἐπιβάτας δὲ τοῖς ὕδασιν ἐναπέπνιξε. μία δέ τις κόρη τὸ κάλλος ὑπερφυὴς (ὢ τῶν τεχνῶν σου τῶν σκολιῶν, πονηρέ), σανίδος ἐπιλαβομένη μιᾶς, τῇ πέτρᾳ προσῆλθε καὶ βοᾶν ἤρξατο· «Ἐλέησόν με, col. 2 δοῦλε τοῦ Θεοῦ· ὄρεξον χεῖρα, πρόφθασον· ἤδη γὰρ ὁ| βυθός με λαμβάνει». ἰδὼν οὖν ὁ μακάριος ὡς ἐπὶ ξυροῦ ἡ ἀπώλεια, ὑπομειδιάσας, «Καὶ τοῦτο τέχνη» ἔφη «σή, πονηρέ· ἀλλ' οὐ νικήσεις αὐτὸς τὴν δύναμιν τοῦ Χριστοῦ». εἶτα κατελθὼν καὶ πρὸς οὐρανὸν ἀποβλέψας, «Κύριέ μου, κύριε», εἶπε, «μὴ ἐάσῃς με, σῶσαι βουλόμενον ἐμαυτόν, ἀπολέσθαι· ἀλλὰ τὸ συμφέρον μοι κατὰ ψυχὴν οἰκονόμησον». οὕτως εἰπὼν δίδωσι τῇ γυναικὶ χεῖρα καὶ ἀνάγει τοῦ ὕδατος· ἐπεὶ δὲ περικαλλῆ ταύτην εἶδεν, «Ἀληθῶς» ἔφη «οὐ συμφωνήσει χόρτος καὶ πῦρ, ἐπεὶ σῆψις ἀμφοτέροις ἔσται διὰ τοῦ

Rubro: v. 10 *Μέντοι*, v. 14 *Καὶ ὁ*, v. 22 *Ἓξ*, v. 30 *Οὖν*, v. 36 *Περικαλλῆ*

18 *μονογενὲς* cod., *μονογενῆ* P.-K.

17 *Σῶσον κτλ.* Psal. 68, 1.

πονηροῦ. σὺ τοίνυν ὑπόμεινον ἐνταῦθα καὶ μηδὲν φοβηθῇς· ἔστι σοι γὰρ καὶ ἄρτος καὶ ὕδωρ». εἶτα λέγει καὶ τὰ κατὰ τὸν ναύκληρον καὶ «Ἐπειδάν» φησιν «ἔλθοι, διασάφησον αὐτῷ τὸ || συμ- *f. 56v* βεβηκός, κἀκεῖνος πρὸς τὴν σὴν ἀπαγάγῃ σε πόλιν».

16. Οὕτως εἰπὼν τὸ σημεῖον τοῦ σταυροῦ τοῖς ὕδασιν ἐπιβάλλει, «Ὁ Θεὸς» εἰπών, «ἐπίβλεψον ἐπ' ἐμὲ καὶ μὴ ἐάσῃς με ἀπολέσθαι· ἰδοὺ γὰρ ἐπὶ τῷ ὀνόματί σου τοῖς ὕδασιν ἐμαυτὸν ἐπιτρέπω». εἶτα καὶ τῇ κόρῃ σωτηρίαν ψυχῆς ἐπευξάμενος καθῆκεν ἑαυτὸν τῇ θαλάσσῃ· δύο δὲ παραχρῆμα δελφῖνες ἑαυτοὺς ὑποθέντες καὶ ἀσφαλῶς τοῖς νώτοις τὸν ἄνδρα διαβαστάσαντες ἐξάγουσι τῶν ὑδάτων. ἡ κόρη δὲ ἀπὸ τοῦ ὕψους, ἄχρι καὶ ὀφθαλμοὶ ταύτης ἔβλεπον, ἑώρα τοῦτον ἄνω τῶν ὑδάτων ἀποφερόμενον. ὡς δὲ καὶ τῆς γῆς ἐπέβη ὁ ὅσιος καὶ Θεῷ μὲν ηὐχαρίστει τῆς σωτηρίας καὶ τί ποιητέον ἐσκόπει, κατὰ νοῦν τοίνυν λαβὼν | τὴν εὐαγγελικὴν *col. 2* κέλευσιν, τὸ διωκομένους τῆσδε τῆς πόλεως φεύγειν εἰς τὴν ἑτέραν, λέγει πρὸς ἑαυτόν· «Φεῦγε, Μαρτινιανέ, μή σε καταλάβῃ πειρασμός· φεῦγε, ταπεινὲ μοναχέ». καὶ οὕτως διετέλει φεύγων ἔρημος παντὸς ἀναγκαίου καὶ πάσης οἰκήσεως· ἔνθα γὰρ ἂν καὶ κατέλαβεν αὐτὸν ἡ ἑσπέρα, ἢ ἐπ' ὄρους, ἢ ἐρημίας, εἴτε μὴν καὶ πέτρας, ἐκεῖ τὴν νύκτα διῆγε. καὶ οὕτω φεύγοντος, ἢ μᾶλλον τὴν Χριστοῦ βασιλείαν διώκοντος, δύο μὲν χρόνοι διῆλθον, αὐτὸς δὲ τέσσαράς τε καὶ ἑξήκοντα πρὸς ταῖς ἑκατὸν διέδραμε πόλεις· ὧν ἡ ἐσχάτη πασῶν αἱ λαμπραὶ ἦσαν Ἀθῆναι, ἡνίκα καὶ τὸ μακάριον αὐτὸν ἐλάμβανε τέλος.

17. Ὡς οὖν ἤδη πέφθακε τὰς Ἀθήνας, τῷ ἐπισκόπῳ || τῆς *f. 57* πόλεως δήλη γίνεται ἡ αὐτοῦ τελευτή. ἀλλὰ καὶ αὐτὸς ὁ θεῖος Μαρτινιανὸς τοῦ τέλους τὴν ἡμέραν προεγνωκὼς καὶ τὸν ναὸν εἰσελθὼν ἔν τινι των σκάμνων ἀνέκλινεν ἑαυτὸν καὶ πρὸς τοὺς παρόντας «Μετακαλέσασθέ μοι τὸ τάχος» ἔφησε «τὸν ἐπίσκοπον». οἱ δὲ παραφρονεῖν ὑπολαβόντες αὐτὸν ἠμέλουν, ὅμως δὲ παραγενόμενοι πρὸς αὐτόν, «Ἄνθρωπός τις» λέγουσι «τὸν ναὸν εἰσελθὼν καὶ σκάμνῳ ἑαυτὸν ἀνακλίνας, ἄφρονι ἐοικώς, Καλέσατέ μοι τὸν ἐπίσκοπον φάσκει». ὁ δὲ «Ὑμεῖς ἐστέ» φησιν «ἄφρονες· τούτου γὰρ πολὺ τὸ μέσον ἡμῶν». καὶ τάχος διαναστὰς τὸν ναὸν κατέλαβεν· ὃν ὡς ἴδοι Μαρτινιανός, ἐπεὶ μὴ δυνατὸς ἦν ἀναστῆναι, τὰς χεῖρας εἰς τὸ ἔδαφος κατατείνας | ἐτίμα. καὶ ὁ ἐπίσκοπος δὲ τιμήσας *col. 2* εἰκότως αὐτόν, «Ὅταν τῆς μακαρίας ἀπολαύῃς» ἔφη «τρυφῆς, μὴ

Rubro: v. 12 Ὡς, v. 25 Οὖν, v. 33 Ὑμεῖς
1 φοβηθεὶς cod., em. P.-K. 4 ἀπαγάγη cod., ἀπαγάγει P.-K.
14 τὴν εὐαγγ. κέλευσιν: cf. Matth. 10, 23.

ἐλλίποις τῆς ἡμῶν διαμνημονεύων ψυχῆς». καὶ ὁ ἅγιος «Εὐλόγησόν με, πάτερ», φησί, «καὶ ὑπὲρ ἐμοῦ εὖχου, ἵν' ἐν τῷ μέλλειν με τῷ φοβερῷ παραστῆναι βήματι τοῦ Χριστοῦ τύχω τῆς παρ' αὐτῷ παρρησίας». Οὕτως ἔφη καὶ σφραγισάμενος ἑαυτὸν τῷ σταυρῷ καὶ «Παράθου με Θεῷ» τῷ ἐπισκόπῳ εἰπών, μειδιῶντι προσώπῳ παρατίθησι Χριστῷ τὴν ψυχήν, ἀνὴρ ὄντως τοῦ παντὸς ἄξιος.

18. Πλὴν ἀλλὰ καὶ περὶ τῆς κόρης, ἣν ἐπὶ τῆς πέτρας ὑπέλιπε, διηγητέον οἵαν μὲν ἔσχε τὴν ἀγωγήν, οἷον δὲ καὶ τὸ τέλος. μείνασα αὕτη ἐπὶ τῆς πέτρας τροφῇ μὲν ἐχρῆτο, ὥσπερ δὴ καὶ Μαρτι- f. 57v νιανὸς || αὐτῇ ἐνετείλατο, ἄχρι γοῦν καὶ ὁ ναύκληρος ἦλθεν· ἐπεὶ δὲ δύο μῆνες παρῆλθον καὶ οὗτος ἀφίκετο τὸν ἄρτον τε καὶ τὸ ὕδωρ κομίζων, τὰ μὲν πρῶτα τὴν κόρην ἰδὼν φάντασμα ἐδόκει ὁρᾶν καὶ φόβῳ συνείχετο καὶ ὅλαις κώπαις ὑπέστρεφεν· ὡς δὲ ἐβόα, ὅτι «Καὶ γυνὴ πρὸς ἀλήθειάν εἰμι καὶ χριστιανή», πείθεται μόλις καὶ προσιὼν «Ποῦ ἐστί» φησιν «ὃς ἐνταῦθα ἦν μοναχός, καὶ ποῦ μὲν ἐκεῖνος ᾤχετο, πῶς δὲ αὐτὴ τῆς πέτρας ἐπέβης»; ἡ δὲ πρῶτον μὲν σφραγίζει ἑαυτὴν τῇ τοῦ Χριστοῦ σφραγῖδι, ἔπειτα διασαφεῖ πάντα, τὸν κλύδωνα, τὸ ναυάγιον, τὴν μόνης αὐτῆς περίσωσιν, τὴν ἐπὶ τῆς πέτρας ἄνοδον, τὴν τοῦ ὁσίου διὰ σωφροσύνην col. 2 κατὰ τῶν | ὑδάτων ἄφεσιν καὶ τὴν ὑπὸ τῶν δελφίνων αὐτοῦ θαυμασίαν διάσωσιν. ταῦτα ἀκούσαντα τὸν ναύκληρον «Δεῦρο οὖν» εἰπεῖν πρὸς αὐτήν, «καὶ ἀπάξω σε τῶν ἐνταῦθα καὶ πρὸς τὴν πόλιν πορεύσῃ τὴν σήν». τὴν δέ, ὡς ἤκουσε, λύπη κατέσχε δεινή, καὶ ἐδεῖτο θερμῶς μὴ περιιδεῖν αὐτήν, ἀλλὰ κομίζειν αὐτῇ τὸν ἄρτον δὴ καὶ τὸ ὕδωρ ὁμοίως, πρὸς δὲ καὶ ὃ καλεῖται βηρίον ἐπικομίσαι ταύτῃ καὶ στιχάριον τρίχινον καὶ ἔριον· «Ἀλλὰ καὶ ὅτε μοι ταῦτα κομίσεις, ἐλθέτω καὶ ἡ γυνὴ τότε ἡ σή, ἵνα πρὸς τὸ ἀνδρικὸν παρούσης αὐτῆς ἐμαυτὴν ἀμφιάσω· ὁ δὲ κύριος δῴη ὑμῖν καὶ νῦν ἔλεος καὶ ἐν τῷ μέλλοντι παρρησίαν».

19. Ταῦτα ἀκούσας ὁ ναύκληρος, αὐτίκα τὴν πόλιν καταλαβὼν f. 58 καὶ πάντα λαβών, καὶ τὴν γυναῖκα δὲ || τὴν αὐτοῦ, δευτέρας οὔπω ληγούσης ἡμέρας εἰς ἐκείνην ἀνέστρεφεν. εἶτα ὑποχωρήσαντος αὐτοῦ καὶ τῶν γυναικῶν ὁμοῦ γενομένων, ἡ σεμνὴ ἐκείνη γυνὴ ἀποδύεται μὲν τὰ ἱμάτια καὶ σὺν αὐτοῖς τὴν γυναικείαν ἀσθένειαν, ἐνδύεται δὲ τὰ ἀνδρικὰ καὶ σὺν τούτοις τὴν χάριν τοῦ πνεύματος. ἔπειτα στᾶσα κατὰ ἀνατολὰς εὔχεται ἑαυτῇ μὲν τὴν τελείωσιν,

Rubro: v. 1 Καὶ, v. 8 Περὶ, v. 18 Μὲν, v. 22 Ταῦτα, v. 31 Ταῦτα
1 ἐλλίποις cod., ἐλλείποις P.-K. 8 ὑπέλειπε cod., em. P.-K. 25 περιιδεῖν cod., παριδεῖν P.-K. 35 τὰ [γυναικεῖα] ἱμάτια?

τοῖς ὑπουργήσασι δὲ τὴν ἀντάμειψιν. εἶτα καὶ πρὸς τὴν γυναῖκα τοῦ ναυκλήρου «Ἀλλ᾽ ὅτε μοι μέλλετε» φησὶ «τὸν ἄρτον καὶ τὸ ὕδωρ κομίζειν, καὶ ἔριον σὺν αὐτοῖς ἔστω, ὥστε με μὴ ἀργὴν οὖσαν τὸν ἄρτον ἐσθίειν· τὰ δὲ ἱμάτιά μου ταῦτα» (περὶ ὧν ἀπέδυ λέγουσα) «ἔστω σοι πρὸς μνήμην ἐμήν».

20. Τούτων οὕτω γενομένων ὁ μὲν ναύκληρος οἴκαδε σὺν τῇ γυναικὶ ἐπανή|εσαν, καὶ μετὰ παρέλευσιν τριῶν μηνῶν ἦλθον πάλιν col. 2 πάντα μετακομίζοντες καὶ διέμειναν εἰς τέλος ποιοῦντες ὁμοίως. ἐκείνην δὲ πολλή τις εἶχεν εὐφροσύνη τῇ πέτρᾳ ἐγκαθημένην· ἦσαν γὰρ ἡμέρας μὲν εὐχαὶ δυοκαίδεκα ταύτῃ, νυκτὸς δὲ διπλαῖ· ἡ δὲ τροφὴ ἄρτος μόνος λίτραν ἕλκων, κατὰ δύο ἡμέρας παρ᾽ ὅλην ζωὴν μεταλαμβανόμενος. καὶ τῆς μὲν πέτρας ἐπέβη πέμπτον καὶ εἰκοστὸν ἔτος τῆς ἡλικίας ἄγουσα, ἐν αὐτῇ δὲ τῇ πέτρᾳ χρόνους ἓξ διανύει καὶ θνήσκει πρὸ δύο μηνῶν τῆς τοῦ ναυκλήρου παρουσίας, γυνὴ τῷ ὄντι ἀξιοθαύμαστος. ἐπεὶ δὲ καὶ ὁ ναύκληρος ἅμα τῇ γυναικὶ παρεγένετο, θεωροῦσι ταύτην κειμένην εὐσχημόνως νεκράν,|| οὕτω νεαρῶς ἔχουσαν, ὡς πρὸ ὀλίγου τὸ πνεῦμα καταλιποῦσαν. f. 58v πεσόντες οὖν εἰς γῆν προσεκύνουν, εἶτα καὶ περιστείλαντες αὐτὴν ὡς ἔδει καὶ τῷ πλοίῳ ἐνθέμενοι, τῇ πόλει προσήνεγκαν δῶρον κοινωφελὲς σῶμα νεκρόν, μεγάλην τοῖς ζῶσιν εὐεργεσίαν.

21. Τοιαῦτά σου, Μαρτινιανέ, τὰ κατὰ τοῦ διαβόλου τρόπαια· ἃς γὰρ ὥπλισεν ἐκεῖνος κατὰ σοῦ γυναῖκας, ἀντεστράτευσας σὺ κατ᾽ αὐτοῦ καὶ ἔδειξας ὅπως δεῖ γυναῖκας ἀνδρίζεσθαι, οὐχ ἡδονῇ τὰ μέλη χραινούσας, ἀλλὰ Χριστῷ ταῦτα καθιερούσας ἁγνῶς, τῷ πάντων ποιητῇ καὶ δεσπότῃ· καὶ νῦν συνευφραινόμενος ταύταις ἐν τοῖς οὐρανίοις σκηνώμασιν αἴτησαι δοθῆναι παρὰ Θεοῦ καὶ βασιλεῖ ἡμῶν τῷ πιστῷ | καὶ φιλαγίῳ καὶ τὰ πάντα χρηστῷ μῆκος βίου καὶ ζωῆς col. 2 εἰρηναίας κατάστασιν, ἰσχὺν κατ᾽ ἐχθρῶν ἀοράτων ἅμα καὶ ὁρατῶν, χρηστότητα Θεοῦ καὶ παιδείαν καὶ γνῶσιν, αὐλῆς ἁγίας τὴν κατοικίαν, ἡλίου δόξης τὴν μετουσίαν, λειμώνων θείων τὴν κληρουχίαν, πάντων ἀγαθῶν τὴν ἀπόλαυσιν καὶ βασιλείας οὐρανῶν τὴν ἐπίτευξιν· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Rubro: v. 6 *Τούτων*, v. 15 *Ναύκληρος*, v. 21 *Μαρτινιανέ*, v. 27 *Μῆκος*, v. 31 *Πάντων*

19 προσήνεγκαν cod., προσήνεγκον P.-K.

f. 59 *Μηνὶ τῷ αὐτῷ ιδ'.*

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΚΑΙ ΜΕΡΙΚΗ ΘΑΥΜΑΤΩΝ ΕΞΗΓΗΣΙΣ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΑΥΞΕΝΤΙΟΥ.

1. Καὶ τί τῶν καλῶν ἔσομαι τῷ βίῳ διδούς, μὴ τὸν τοῦ μεγάλου Αὐξεντίου βίον ἐπεξηγούμενος, κανόνα καὶ αὐτὸν ἀρετῆς χρηματίζοντα καὶ ἀρχέτυπον; ἔσται γὰρ πάντως προτιθέμενος πολλοῖς ὠφελείας ὑπόθεσις. ἀρκτέον δὲ οὕτω τῆς διηγήσεως.

2. Ὁ μέγας οὗτος Αὐξέντιος, εὐγενὴς γεγονὼς καὶ τῶν ἀφ' col. 2 ἡλίου ἀνατολῶν, καὶ στρατιώτης γενναῖος ἐγνωρίζετό τε | καὶ ἦν. τῷ τριακοστῷ τοίνυν ἔτει τῆς βασιλείας Θεοδοσίου τοῦ νέου τῆς Συρίας ὁ νέος οὗτος ἐπανιὼν Ἀβραάμ (ταύτῃ γὰρ ἐν τῇ τετάρτῃ τῶν βασιλικῶν στρατευμάτων ἔτυχεν ἐκστρατεύων σχολῇ) τὴν Κωνσταντίνου κατέλαβε, καὶ ἐπεὶ μὴ εὕροι τὸν πρὸς γένος αὐτῷ θεῖον—θεία γὰρ αὐτὸν τῶν τῇδε μετεκαλέσατο πρόνοια,—θεῖον, ὡς εἰπεῖν, συλλαβόμενος φόβον, οὐ πρὸς βασιλείους ἔβλεψεν αὐλάς, οὐ f. 59v πρὸς δόξαν τὴν διαρρέουσαν, ἀλλ' εὐθὺς || τὸν συρφετώδη τοῦτον βίον λιπὼν τοὺς ἐπ' ἀρετῇ βιοῦντας περιῄει ζητῶν. καὶ μέντοι δὴ καὶ τῶν ἐλπίδων οὐ διεψεύσθη· μοναχῷ γάρ τινι περιτυχὼν Ἰωάννῃ τὴν κλῆσιν, τὸν βίον σεμνῷ, τὸν τρόπον χρηστῷ, τῆς βασιλευούσης ἔξω διάγοντι κατὰ τὸ λεγόμενον Ἕβδομον, Μαρκιανῷ τε τῷ μεγάλῳ, τὴν οἰκονομίαν ἄρτι τῆς μεγάλης ἐγκεχειρισμένῳ τοῦ Θεοῦ ἐκκλησίας, οὗ πλήρης τῶν κατορθωμάτων ἡ σύμπασα, ἔτι δὲ Σίττᾳ οὕτως ὠνομασμένῳ, ἀνδρὶ θεοφιλεῖ καὶ κοσμίῳ, ἀλλὰ δὴ καὶ Ἀνθίμῳ τῷ σοφῷ (ὀρδινάριος οὗτος ἐγνωρίζετο τηνικαῦτα τοῦ παλατίου καὶ δεκανός), ὃς καὶ τῷ περιόντι τῆς ἀρετῆς καὶ ἱερωσύνης ὕστερον κεκόσμητο ἀξιώματι, θείοις ὄντως ἀνδράσι καὶ col. 2 τὰ θεῖα σοφοῖς, | ἐκ τούτων τὰ κάλλιστα καὶ πᾶν εἶδος ἀρετῆς συνελέξατο καὶ τοσοῦτον, ὡς περιβόητον μᾶλλον ἐκείνων εἶναι τοῦτον καὶ τοῖς ἁπάντων ᾄδεσθαι στόμασιν. ἄξιον οὖν καί τινα τῆς ἀρετῆς αὐτοῦ γνωρίσματα παρενεῖραι τῷ διηγήματι.

3. Συνῆν ποτε τῷ Μαρκιανῷ κατὰ τὸν ὑπ' ἐκείνου δομηθέντα περικαλλῆ τῆς Εἰρήνης ναὸν τὸν πρὸς θάλασσαν ὁ θεῖος οὗτος Αὐξέντιος, παννύχους ἐκτελοῦντες ἄμφω τὰς ὑμνῳδίας. ὕδατος τοίνυν, ὃ σύνηθες ἐκείνοις ποτόν, αἰτηθέντος καὶ κράματος, ὃ ξένον

Rubro: v. 4 *Καί*, v. 8 *Αὐξέντιος*, v. 10 *Τοίνυν*, v. 18 *Μοναχῷ*, v. 31 *Συνῆν*
11 ἀβραάμ 14 θεῖα 31 ποτέ

τούτοις, ἀντιδοθέντος οἴνου, τὴν παρακοὴν ἐπείπερ ὁ κομίσας ἐνεκαλεῖτο, τοῦ Μαρκιανοῦ ταύτην αἰτιωμένου, «Ἄφες, ὦ πάτερ», ὁ Αὐξέντιος εἶπεν· «δῶρον καὶ τοῦτο Θεοῦ, καὶ μάρτυς || *ὁ ἐν τῷ καλῷ* f. 60 *γάμῳ τὸ ὕδωρ εἰς οἶνον μεταποιήσας Χριστός». τί οὖν ἔστιν ἐντεῦθεν καταμαθεῖν; τοῦ μὲν τὴν ἐγκράτειαν, τοῦ δὲ τὸ μέτριόν τε καὶ ἄτυφον.*

4. Ἄλλοτε πάλιν ἐν μιᾷ τῶν συνάξεων πτωχὸς βίαιος περιβολὴν ἐξαιτῶν οὐκ ἀφίστατο· καὶ ὃς τὸ χιτώνιον ἐν ἀποκρύφῳ γενόμενος ἀποδὺς (οὐδὲ γὰρ ἦν ἑτέρου τινὸς εὐπορῶν) ἐκείνῳ παρέσχετο, τοῦ Μαρκιανοῦ τὸ πᾶν ἀγνοήσαντος. τί οὖν γίνεται; νυκτερινοῦ κλέπτου πάγαις ὁ πτωχὸς ἐμπεσὼν προσαπώλεσε καὶ ἅπερ ἦν προκτησάμενος, καὶ καταλαβὼν τὸν ἐν τῷ Ἑβδόμῳ μοναχὸν Ἰωάννην, οὗ πρότερον ὁ λόγος ἐμνήσθη, λύσιν ᾔτει τῶν συμπεσόντων καὶ τῆς συμφορᾶς παρηγόρημα. ἐν τοσούτῳ δὲ καὶ ὁ θαυμαστὸς Αὐξέντιος σὺν τῷ Μαρκιανῷ τὸν ἄνδρα καταλαμβάνουσι· καὶ ἐπεὶ μάθοεν τὰ τῷ | *πένητι συμβάντα, ὁ Αὐξέντιος ἐπευ-* col. 2 *λογεῖ τὸν κλέψαντα, παράδοξον ὁ Ἰωάννης τὸ πρᾶγμα νομίζει καὶ «Ξένον μοι» λέγει «τὸ εἰρημένον, ξένον ἀγαθοῖς ἐμφαίνεται τρόποις». καὶ ὁ δίκαιος στραφεὶς πρὸς τὸν πένητα «Πόσα δή σοι καὶ ἱμάτια» εἶπεν «ὁ κλέψας ἀφείλετο;» — «Ἑπτά» ἔφη ἐκεῖνος «καὶ τὸ παρὰ τῆς σῆς μοι δοθὲν ὁσιότητος». — «Καὶ ἵνα τί τοσούτων εὐπορῶν» ὁ μέγας προσέθετο «καὶ τὸ ἓν ἐκεῖνο μοχθηρῶς ἐβιάσω λαβεῖν;» οὐ μικρολογῶν, ὡς ἂν εἴποι τις, παιδεύων δὲ μᾶλλον αὐτὸν μὴ πλεονεκτεῖν· πολὺ γὰρ ἦν τῇ μεγαλόφρονι ταύτῃ ψυχῇ τὸ συμπαθὲς καὶ τὸ μέτριον, ὡς ὁ λόγος δηλώσει.*

5. Τινὰ γὰρ ἄλλον ποτὲ κλοπῆς ἁλόντα πένητα βιαίως ἑλκόμενον [ἰδών], τοὺς ἕλκοντας ὁ συμπαθὴς δυσωπήσας ἐξείλετό τε || *τούτων καὶ διεσώσατο. ἄλλη δέ τις γυνὴ πονηρῷ κατάσχετος πνεύ-* f. 60v *ματι, χρόνοις ἐφ' ὅλοις εἴκοσι τούτῳ δεδουλωμένη, ὡς μόνον συνήντησε καθ' ὁδὸν τῷ ἁγίῳ, βοαῖς ἀσήμοις ἐκέχρητο. καὶ ὃς ἔστη μὲν εὐθὺς τῆς ὁρμῆς, τῷ συμπαθεῖ νικηθείς, εὐχὴν δὲ ποιησάμενος, ὢ τοῦ θαύματος, τῆς δαιμονίας αὐτὴν ἀπήλλαξε μάστιγος. ἐξέπληξε τοὺς παρατυχόντας τὸ μέγα τοῦτο θαυμασιούργημα, ἔθετο τοῖς ἁπάντων στόμασι τὸν μακάριον, καὶ περίφημος ἦν.*

6. Ἀλλὰ φεύγων οὗτος τὸν τύφον, τὴν ἐρημίαν ἠσπάσατο· τὴν Βιθυνίαν γὰρ τάχος καταλαβὼν ὄρει προσέρχεται λίαν ὑψηλῷ καὶ κρυμώδει, σημείοις ὡσεὶ δέκα τῆς Χαλκηδόνος ἀπέχοντι· Ὀξεῖαν

Rubro: v. 7 *Ἄλλοτε*, v. 10 *Οὖν*, v. 17 *Ἰωάννης*, v. 26 *Τινά*, v. 28 *Ἄλλη*, v. 35 *Ἀλλά*

16 *ἐπευλόγει* 27 *ἰδὼν* inserui

col. 2 τοῦτο καλοῦσιν· ἐφ' ᾧ χεῖρας εἰς Θεὸν ἀ|νατείνας «Ἔστησας» ἔλεγεν «ἐν εὐρυχώρῳ τοὺς πόδας μου, καὶ κατεύθυνάς μου τὰ διαβήματα, κύριε· ἐν πέτρᾳ ὕψωσας καὶ κατὰ μόνας ἐπ' ἐλπίδι κατῴκησάς με». μιᾷ γοῦν τῶν ἡμερῶν ποιμένες τινὲς περιῄεσαν τὸ ὄρος, ζητοῦντες τὰ ποίμνια· οἵτινες τῷ μακαρίτῃ προσεντυχόντες καὶ θηρίον ὥσπερ αὐτὸν ὑπειληφότες εἶναι τῷ τῆς κόμης δασεῖ καὶ τῷ τραχεῖ τῆς περιβολῆς, φόβῳ ληφθέντες ἔφυγον. οὓς ὁ θαυμαστὸς ἐκεῖνος φωνῇ γλυκείᾳ προσκαλούμενος «Μὴ φοβεῖσθε, τέκνα», πατρικῶς ἔλεγεν, «εἰμὶ γὰρ ἄνθρωπος ὡς ὑμεῖς». εἶτα καὶ διορατικώτατα «Τί δέ» φησι «κόπτεσθε τῶν ποιμνίων ἕνεκα; τῇ ἀριστερᾷ τοῦ ὄρους πλευρᾷ ταῦθ' εὑρήσετε προσιόντες». τρίτην f. 61 οὖν τοῦδε τοῦ μέρους περίοδον ἐκείνων εἰπόντων ποι||ῆσαι καὶ μηδὲν ἐφευρεῖν, ὁ ἀοίδιμος «Ἄπιτε, τέκνα», ἔφησεν, «ἄπιτε, καὶ χερσὶ ταῖς ὑμῶν ἔσται τὰ ποίμνια, τοῦ κυρίου θελήσαντος». ἔργον ὁ λόγος ἐγένετο, καὶ τὸ πρᾶγμα σὺν τοῖς ποιμνίοις οἱ παῖδες ἐπανιόντες τοῖς δεσπόταις ἐγνώρισαν. οἱ δὲ Θεοῦ ἄνθρωπον ὑπολαβόντες εἶναι τοῦτον τάχει καταλαμβάνουσι καὶ δὴ καὶ τὴν πρέπουσαν αὐτῷ προσκύνησιν ἀπονείμαντες, εὐλογίας τε τυχόντες τῆς παρ' αὐτοῦ καὶ κελλίον ὡς ἐκείνῳ δοκοῦν κατασκευασάμενοι, χαίροντες ἐπανῄεσαν. οὗτος δὲ συγκλεισάμενος ἑαυτὸν «Ἐγενόμην» ἔψαλλεν «ὡς στρουθίον μονάζον ἐπὶ δώματος· ἀλλὰ σύ, κύριε, μετ' ἐμοῦ ὁ Θεός· ὁ Θεὸς ὁ περιζωννύων με δύναμιν».

7. Τῆς φήμης οὖν διαδοθείσης ἁπανταχοῦ, οὐδὲ γὰρ οἷόν τε col. 2 ἦν κρύπτεσθαι πόλιν ἐπάνω κειμένην | ὄρους, γύναιον τῆς Νικομήδους ἐξωρμημένον, τῶν ὀφθαλμῶν ἀφῃρημένον τὴν ὅρασιν, ἄγεται πρὸς τὸν ὅσιον, τευξόμενον τῆς ἰάσεως. καὶ ὃς εὐχῇ μόνῃ δίδωσιν αὐτῷ τὸ ὁρᾶν. τοῦτο πρῶτον ἐν τῷ τῆς Ὀξείας ὄρει τελεσθὲν ὑπὸ τοῦ ἁγίου τὸ θαῦμα πολλοὺς ἐκάλει πρὸς τὸν θαυματουργὸν τῶν ἐγγὺς καὶ τῶν πόρρω.

8. Δέκα δὲ διατρίψας ἔτη καὶ πολλοὺς ἐν αὐτῷ πρὸς τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας ἀγῶνας ἀγωνισάμενος ἤγειρε κατ' αὐτοῦ τὸν πολέμιον ὄφιν. καὶ προσεκτέον, ὅπως. τῶν συνήθων τις τῷ ἁγίῳ παραβαλεῖν αὐτῷ βουληθείς τινι τῶν φίλων τὴν βουλὴν ἐκοινώσατο. ἀλλ' οἷά σου, πονηρέ, τὰ τεχνάσματα· λοιδορεῖν ἐκεῖνος ἤρξατο καὶ f. 61v διασύρειν τὸν || δίκαιον, μισθοῦ τὸ δαιμονᾶν ὑποκρίνεσθαι λέγων φόλεων ἓξ ἢ καὶ τριῶν τοὺς ὑπ' αὐτοῦ θεραπευομένους. ὅμως δὲ συναπῆλθε τῷ φίλῳ, καὶ ἐπεὶ τῆς παρ' ἐκείνου τυχόντες εὐλογίας

Rubro: v. 4 **Μιᾷ**, v. 14 **Ἔργον**, v. 23 **Τῆς**, v. 32 **Τῶν**

3 πείρα — ἐπελπίδι   13 κἀν χερσί?

1—4 Ἔστησας—κατῴκησάς με: cf. Psal. 30 (31), 8; 39 (40), 3; 26 (27), 5; 60 (61), 3; 4, 8.   20—22 Ἐγενόμην—δύναμιν: cf. Psal. 101 (102), 7; 17, 33.

ὑπέστρεφον, συναντᾷ τις αὐτῷ τῶν οἰκείων, ἐν ὄψει φέρων τὴν συμφοράν· «Δαιμονίᾳ» γὰρ ἔφασκε «μάστιγι τὸ θυγάτριόν σου πέπληκται καὶ κακῶς ἔχει». ὅπερ λοίδορος ἐκεῖνος ὡς ἤκουσε, τὸν οἶκον ῇ δρόμων εἶχε καταλαβὼν καὶ τὴν παῖδα δεινῶς οὕτω, φεῦ, ἔχουσαν κατιδών, δεσμούς τε περιβάλλει καὶ σὺν ἅμα ταύτῃ καὶ τοῖς προσήκουσι πρὸς τὸν ὅσιον ἄνεισιν· οὐ πολὺ τῆς κέλλης ἀπεῖχε, καὶ τὸ δαιμόνιον ἐκταράξαν αὐτὴν δρομαίαν αὐτῇ παρεστήσατο. τί οὖν ἡ μεγάλη ψυχή; ἆρα πα|ρεῖδεν; ἆρ' ἀπώσατο τῆς πατρικῆς col. 2
ἀπονοίας ἕνεκα; οὐμενοῦν, ἀλλὰ τῆς συμφορᾶς κατοικτείρας καὶ «Ἓξ ἢ καὶ τριῶν» εἰπὼν «φόλεων αὕτη τὸ δαιμονᾶν ὑποκρίνεται», παιδεύων δι' αὐτοῦ τὸν πατέρα μὴ λοιδορεῖν, τῷ διακόνῳ τὴν βακτηρίαν ἐγχειρισάμενος, σταυρὸν ἔχουσαν ὑπὲρ κεφαλῆς, τῇ πασχούσῃ προσεπιθεῖναι ταύτην ἐκέλευσε· καί, ὢ τοῦ παραδόξου θαύματος, ὑγιὴς εὐθὺς ἡ κόρη καὶ δοξάζουσα τὸν Θεὸν καθωρᾶτο.

9. Ἄλλοτε τοίνυν δύο πρὸς τὸν ὅσιον ἄνδρες ἀνῆλθον, τῷ ἐλεφαντίας τετρυχωμένοι νοσήματι, καὶ τὴν ἀπαλλαγὴν αὐτοῦ θερμῶς ἐξητοῦντο. τούτου οὖν τοὺς ὅρκους αἰτίους εἶναι τούτοις τῆς νόσου γνωρίσαντος καί, εἴπερ μὴ τούτων ἀπόσχοιντο, οὐκ ἂν ἄλλως θεραπείας || αὐτοὺς εἰπόντος τυχεῖν, ἐκεῖνοι ψυχῆς ἐξ αὐτῆς μηκέτι τῷ f. 62
πάθει τούτῳ τὸ σύνολον ἁλῶναι διαβεβαιωσάμενοι, ἰάσεως τυχόντες ἀπῆλθον.

10. Ἀλλὰ καὶ γύναια δύο τῆς Φρυγίας ἐξορμώμενα τὸ ὄρος κατέλαβον, τὸ μὲν πνεύματι κατάσχετον πονηρῷ, τὸ δὲ τεθραυσμένην ἔχον τὴν κοτύλην ἐκ φθόνου δαιμονικοῦ. τούτων ἡ δαιμονῶσα φωνὰς διὰ τοῦ δαίμονος ἀτάκτους ἠφίει, «Τί ἐμοὶ καὶ σοὶ» λέγουσα, «ὦ Αὐξέντιε; τί με τῆς τριακονταετοῦς ταύτης ἀπελαύνεις οἰκήσεως;» καὶ ἅμα τῇ γῇ προσηράσσετο. ἣν οὕτως ἔχουσαν ὁ μέγας Αὐξέντιος θεασάμενος χεῖρα δοθῆναι ταύτῃ παρεκελεύσατο, καὶ ἐπείπερ ἀνέστη καὶ συμπαρέστη τῇ ἄλλῃ, εὐχῇ ταύτας ἰασάμενος τὸν Θεὸν δοξαζούσας ἀπέλυσεν.

11. Προσηνέ|χθη γοῦν αὐτῷ καί τις ἐφ' ἁμάξης παράλυτος. ὃν col. 2
καὶ αὐτὸν ἰασάμενος τοῖς κομίσασι γεννήτορσιν ὑγιᾶ παραδέδωκε. ναὶ δὲ καί τις ἑτέρα γυνή, τῶν τῆς Κλαυδίου πολιτῶν θυγάτηρ ἑνός, δεινῶς ὑπὸ δαίμονος πάσχουσα πρὸς τὸν ὅσιον παραγίνεται· ἣν καὶ αὐτὴν ἡ συμπαθὴς τῷ ὄντι καὶ μεγάλη ψυχὴ τοῦ πάθους ἐλευθερώσασα τὰ οἰκεῖα καταλαβεῖν παρεσκεύασε. καὶ ταῦτα μὲν τοῦ δικαίου τὰ κατορθώματα.

Rubro: v. 8 **Ἡ** *μεγάλη*, v. 15 **Τ***οίνυν*, v. 22 *Ἀλ*|**Λ***ά*, v. 31 *Προσηνέ*|**Χ***θη*, v. 33 **Ν***αί*

3 *[ὁ] λοίδορος?* 4 *ῇ δρόμων* 30 *ἀπέλυσε*

12. Ἄρτι δὲ τοῦ φιλοχρίστου Μαρκιανοῦ μετὰ τὴν Θεοδοσίου τελευτὴν τῶν Ῥωμαϊκῶν σκήπτρων ἐπειλημμένου καὶ τοῦ χριστωνύμου λαοῦ καλῶς περὶ τὴν ὀρθόδοξον ἔχοντος πίστιν, ὁ τοῖς καλοῖς f. 62v εἰωθὼς βασκαίνειν ἀεί, τοὺς οἰκείους ὑπασπιστὰς ἐξεγείρας ||—Εὐτυχὴς ἦν ὁ παράφρων καὶ οἱ τὰ τοῦ σαπροῦ καὶ λήρου Νεστορίου φρονοῦντες, ὧν οἶδα μὴ ἀγνοεῖν ὑμᾶς τὰ ληρήματα,—σύγχυσίν τινα δεινὴν τῇ ἐκκλησίᾳ διὰ τούτων εἰργάσατο. μὴ δίκαιον οὖν εἶναι κρίνας ὁ βασιλεὺς οὕτω τὴν ἐκκλησίαν κυμαίνεσθαι, σύνοδον ἐν Χαλκηδόνι γενέσθαι διὰ τοῦτο προσέταξε. καὶ μέντοι δὴ μετὰ πάντων προσεκλήθη καὶ ὁ Αὐξέντιος· καὶ ἐπεὶ ποσὶν οἰκείοις ἀδυνάτως εἶχε βαδίζειν, τραύματος ὁλοσώμου τῶν ποδῶν αὐτοῦ τῇ στάσει γεγενημένων καὶ πεφυσημένων δίκην δρωμένων ἀσκοῦ, ὡς ἰχῶρα καταρρεῖν ἐκεῖθεν καὶ σκώληκας ἀποτίκτεσθαι, ἁμάξῃ τοῦτον οἱ παρὰ βασιλέως σταλέντες ἐνθέμενοι πρὸς τὴν σύνοδον ἦγον. col. 2 καὶ | δή τις τῶν ἑπομένων, Θεόφιλος φερωνύμως ὠνομασμένος, τὸν τοῦ μείζονος λεγομένου τῶν δακτύλων τοῦ δεξιοῦ ποδὸς ὄνυχα ἐκσπασθέντα πως ἰδὼν καὶ τῇ γῇ προσρυέντα, τῶν πολυτίμων, ὥσπερ καὶ ἦν, λογισάμενος αὐτὸν καὶ λαβών, φυλακτήριον εἶχε τῶν ἐλπιζομένων αὐτῷ δυσχερῶν.

13. Τοῦ ὄρους οὖν κατιόντι τῷ Αὐξεντίῳ γυνή τις τὸν ἑαυτῆς προσήγαγε παῖδα δαίμονι πεδηθέντα· ἥτις καὶ φωναῖς οἰκτραῖς τὸν ὅσιον πρὸς ἔλεον ἐξεκάλει, «Τὸ σπλάγχνον», λέγουσα, «τὸν ὀφθαλμόν, τὸν ποθεινὸν ἐμοὶ παῖδα χάρισαι, πάτερ, μητρὶ περιπαθεῖ καὶ τοῦτον μόνον ἐχούσῃ παραψυχήν». ὃν ἡ χριστομίμητος ἐκείνη ψυχὴ f. 63 τοῦ πάθους οἰκτειραμένη, ὀφθαλμὸν αὐτῷ προσβαλοῦσα || καὶ τῆς ἀνθρωπίνης καταστενάξασα φύσεως, εὐχῇ καὶ σταυροῦ τοῦ θείου σφραγῖδι τῇ μητρί, ὢ τοῦ θαύματος, ἀποδίδωσιν ὑγιᾶ.

14. Ἄλλη δέ τις γυνή, κόμητός τινος ἔγγονος Δωροθέου, ἀποδημίας ἔκ τινος οἴκοι κομιζομένη, ὡς τῆς τοῦ ἁγίου ᾔσθετο παρελάσεως, ὑπὸ τοῦ ἐνοικοῦντος αὐτῇ δαίμονος ἐκμανεῖσα καὶ τὴν ἐσθῆτα ῥήξασα, γυμνὴ τῆς ἁμάξης ἦλθεν ἐγγύς, ἣ τὸν ἅγιον ἔφερε. τῆς ἀπρεποῦς οὖν ἐκείνην γυμνώσεως, φεῦ, καὶ τοῦ πάθους ὁ μέγας οἰκτείρας, «Ἔξελθε τοῦ πλάσματος» εἶπε «τοῦ Θεοῦ, πονηρέ». καὶ ἅμα, πρὶν ἢ λόγος ἐκείνῳ τελεσθείη, φυγὴν ἠσπάσατο τὸ δαιμόνιον. καὶ ταῦτα μὲν τὰ παρόδια θαύματα.

15. Ὡς οὖν ἐν κώμῃ τινὶ Συκίδες προσαγορευομένῃ κατήντησαν, col. 2 ἐκ Λυδῶν | τις δρωμένος, Ἀγεώριος ὄνομα, πνεύματι κάτοχος ἀκα-

Rubro: v. 1 Τοῦ, v. 7 δί|Καιον, v. 15 Δή, v. 20 Οὖν, v. 28 Ἄλ|Λη, v. 36 Ἐν κώμῃ

37 ἀγεώρι̊ cod. an Γεώργιος?

θάρτῳ προσῆλθε τῷ δικαίῳ, «Ἐλέησον, συμπαθέστατε», λέγων, «οἰκτείρησον, χριστομίμητε, ψυχὴν δεινῶς οὕτω μαστιζομένην ὑπὸ δεινοῦ παιδευτοῦ· στῆσόν μοι, στῆσον τὸ τοσοῦτον κακόν· οὐ φέρω γὰρ τὰς μάστιγας· οὐ φέρω τὰς ἀλγηδόνας». καὶ ταῦτα μὲν ὁ πάσχων· ὁ δέ γε πανόσιος τὴν θαυματουργὸν αὐτοῦ χεῖρα σὺν εὐχῇ τῇ τοῦ πάσχοντος ἐπιθεὶς κεφαλῇ (τίς σου, Χριστέ μου, μὴ θαυμάσει τὴν δύναμιν;) τάχος τὸ δαιμόνιον ἀπεδίωξεν.

Ἤδη δὲ τὸν τοῦ μάρτυρος Θαλελαίου ναὸν τοῦ ὁσίου καταλαβόντος, οἱ μὲν τῶν ἑπομένων καὶ πρόσω χωρεῖν ἤθελον, οἱ δὲ καὶ συνεῖναι τούτῳ δι' ὅλου. ἀλλ' ἐκεῖνος || «Ἄπιτε, τέκνα», λέγει πρὸς f. 63v αὐτούς, «ἐν εἰρήνῃ, προσμένοντες τὴν ἐπάνοδον· πνεύματι γὰρ μεθ' ὑμῶν εἰμι καὶ εἰ τῷ σώματι ἄπειμι».

16. Τούτων οὖν ὑποστρεψάντων καὶ τῷ τῆς Φιάλης φροντιστηρίῳ τοῦ ἁγίου παραβαλόντος, νέος τις Ἰσίδωρος ὄνομα, δαίμονι κάτοχος καὶ αὐτός, «Ὢ βία», διεβόησε, «τί σοι καὶ ἡμῖν, Αὐξέντιε;» καὶ οὕτω διασπαράξαν αὐτὸν τὸ πνεῦμα καπνὸς ὥσπερ διέδρα. πλὴν δεῖ προσέχειν ἐπιμελῶς καὶ τῷ ῥηθήσεσθαι μέλλοντι. Κωνσταντῖνός τις στρατηλάτης καὶ Ἀρτάκιος κόμης, ἄνδρες ἐπιεικεῖς καὶ μάλα χρηστοί, προσιόντες τῷ μάκαρι καὶ τῆς παρ' αὐτοῦ τυχόντες εὐλογίας δέονται κρατύνειν καὶ αὐτὸν τὴν ὀρθόδοξον πίστιν καὶ πόρρω που τῆς ἐκκλησίας ἐκσφενδονῆσαι τὰ ἀλλόφυλα | δόγματα col. 2 καὶ μέντοι δὴ καὶ χρυσὸν αὐτῷ, τὴν πίστιν ἐπιδεικνύντες, ἐδίδουν· «Ἵν' ᾖ σοι» φασὶν «εἰς τὴν τοῦ ὀρθοδόξου συγκρότησιν». ἀλλ' ὁ δίκαιος διανεμηθῆναι τοῦτον κελεύει τοῖς ἐνδιαιτωμένοις τῷ τῆς Ὀξείας ὄρει πένησι, σοφῶς οὕτω δείξας αὐτοῖς μὴ χρημάτων δέεσθαι τοὺς πεποιθότας ἐπὶ Θεῷ.

17. Οἱ γοῦν τῆς μονῆς μοναχοί, φθόνου πληγέντες κέντρῳ, τὴν τοῦ ἀνδρὸς σκληραγωγίαν καὶ τὴν ἄλλην ἐγκράτειαν ἔνδειξιν, οὐκ ἀρετὴν ἔσπευσαν ἀποδεῖξαι· βρώματα γὰρ λεληθότως τῇ κέλλῃ τοῦ μάκαρος ἐντιθοῦσι καὶ παῖδά τινα καθιστῶσι τῶν πραττομένων ἐπόπτην, εἴ που καὶ μετάσχοι τούτων γνῶναι θέλοντες, ἵνα κατηγορήσωσιν. ἑβδόμη παρῆλθεν ἡμέρα, καὶ τῇ κέλλῃ προσιόντες ἄθικτα || ταῦτα βλέπουσι καὶ τὸ ὅλον ἄψαυστα. εἶτα καὶ τὸν παῖδα, f. 64 τί ἄρα καὶ κατίδοι τῷ μεταξὺ τῶν ἡμερῶν διαστήματι διηρώτων. καὶ ὃς φρίκης καὶ φόβου περίπλεως πληθὺν εἶπεν ὑπερφυῶν ἀνδρῶν κατιδεῖν συνᾴδουσαν αὐτῷ καὶ συμψάλλουσαν καί τινα περιστεράν, ἧς τὸ κάλλος ἄφραστον, τροφὴν αὐτῷ ξένην ἐπικομι-

Rubro: v. 5 Ὁ δέ, v. 8 Τόν, v. 13 Τούτων, v. 17 Κων|Σταντῖνος, v. 23 Ἀλλ' ὁ, v. 32 πα|Ρῆλθεν

23 φῆ(σι)

ζουσαν, ἀλλὰ δὴ καὶ τοὺς ἐκπίπτοντας σκώληκας τῶν ποδῶν συλλέγοντα τοῦτον τούτοις αὖθις ἐπιτιθέναι, χαίροντα μᾶλλον ἐπ' αὐτοῖς ἢ ἀνιώμενον. ἤκουσαν ἐκεῖνοι. φόβος εἷλεν αὐτούς, καὶ συγγνώμην αἰτοῦσι. καὶ ταῦτα μὲν οὕτως.

18. Ἐπεὶ δὲ τῇ ἐν Ῥουφινιαναῖς τοῦ σεβασμίου πατρὸς ἡμῶν col. 2 Ὑπατίου μονῇ παρέβαλεν, εἰς αὐτὴν μετὰ πολλῆς ὑπεδέχθη | χαρᾶς. πολλοὶ γὰρ ἐγχώριοί τε καὶ τῶν πέριξ κωμῶν, ἀλλὰ δὴ καὶ τῆς βασιλευούσης αὐτῆς, φοιτῶντες εἰς αὐτὸν τῶν ἡδίστων ἐκείνου λόγων καὶ παραδόξων θαυμάτων ἀπέλαυον. ἐν οἷς καί τις γυνή, κόμητός τινος γαμετή, δαίμονι κατειργασμένη δεινῷ, πρὸς αὐτὸν ἐκ Χαλκηδόνος ἀνεκομίζετο· ἥτις ἐπεὶ πλησίον γέγονε τῆς μονῆς, διέρρηξέ τε τὴν ἐσθῆτα καὶ βοῆς ἀσήμου τὸν ἀέρα ἐπλήρου. ἐπιτιμηθέντος οὖν τοῦ δαίμονος, ἰάθη τὸ γύναιον, χρήματα πλεῖστα τῇ τε μονῇ καὶ τοῖς πένησι παρασχόμενον.

19. Ὁ γοῦν πιστότατος βασιλεὺς τὸν ἀοίδιμον ἐν τῷ Ἑβδόμῳ μεταστειλάμενος (ἐκεῖσε γὰρ ἔτυχε τηνικαῦτα παρών), ὡς εἶδε τοῦτον τὸ σῶμα πάντῃ κακῶς ἔχοντα, δοῦλόν τε Θεοῦ ἀπεκάλει καὶ f. 64v τῇ τῶν πατέρων συνόδῳ (τε‖τάρτη δὲ ἦν, κατὰ τὴν Χαλκηδόνα συγκροτηθεῖσα) συνθέσθαι καὶ αὐτὸν ἠξίου. ὁ δὲ — καὶ ὅρα μοι ταπεινοφροσύνης ὑπερβολήν — «Καὶ τίς εἰμι ἐγώ» φησιν, «ἵνα καὶ ποιμέσι συντάττοιμι, ποιμένος αὐτὸς προσδεόμενος;» καὶ ὁ βασιλεὺς τῆς παρ' αὐτοῦ τυχὼν εὐλογίας αὖθις αὐτὸν ἀπέλυσεν εἰς τὸ μοναστήριον, σκέψει δοῦναι τὸ πρᾶγμα βουλόμενος. ὁ δὲ τούτῳ παραβαλὼν πολλοὺς τοῦ συνδεδραμηκότος πλήθους ῥιγῶντάς τε καὶ πυρέττοντας ἁφῇ τῆς χειρὸς ἐθεράπευεν.

20. Εἰσελθὼν οὖν τις πρὸς αὐτὸν ἀπαγγέλλει, ὅτι κόρη τις τῶν γάμων ἄρτι τελουμένων αὐτῇ πνεύματι κατεσχέθη δεινῷ καὶ τίλλει μὲν τρίχας, σάρκας δὲ κατεσθίει καὶ χαλεπὸν οὕτω κεῖται θέαμα col. 2 τοῖς ὁρῶσι. κομισθῆναι τοίνυν αὐτὴν | αὐτίκα κελεύει καὶ πρὸς τὸν δαίμονα «Ἔξελθε» φησί, «πονηρέ, τοῦ θεϊκοῦ πλάσματος, ἔξελθε, Χριστὸς ἐπιτάττει σοι δι' ἐμοῦ». καὶ τούτου ῥηθέντος ὕπνος μὲν ὀλίγος τῇ κόρῃ, δίωξις δὲ τῷ πονηρῷ γέγονε πνεύματι.

Οὐχὶ συχναὶ παρῆλθον ἡμέραι, καὶ πάλιν ὁ βασιλεὺς μετακαλεῖται τὸν ὅσιον συναινέσοντα τῇ συνόδῳ καὶ συνθησόμενον. ἐπεὶ δὲ καὶ ἵκετο καὶ διεγνώσθη τούτῳ τὰ τοῦ συμβόλου, ὅτι τὴν «Θεοτόκος» οὐκ ἀφεῖλε τῆς Παρθένου φωνὴν καὶ ἄλλα δὴ τὰ τὴν ὀρθόδοξον πίστιν ἐμφαίνοντα, καὶ στοιχεῖν αὐτοῖς κατένευσε καὶ

Rubro: v. 5 *Τῇ*, v. 9 *Ἐν*, v. 15 *Ὁ*, v. 26 *Εἰσελθὼν*, v. 33 *Συχναί*
17 δοῦλον τὲ 21 συντάττωμαι? 24 ῥηγῶντας τὲ

συναινεῖν ἐν ἅπασι. χαρεὶς οὖν ὁ βασιλεὺς ἐπὶ μέγα καὶ τὴν πάντιμον αὐτοῦ κατασπασάμενος κεφαλὴν σὺν πλήθει τοῦτον τῇ ἐκκλησίᾳ παρέπεμψεν. ὡς οὖν καὶ τῷ || πατριάρχῃ (Ἀνατόλιος δὲ οὗτος *f. 65* ἦν ὁ μέγας) ἐνέτυχε καὶ τὸν ὅρον ὑπανέγνω, στοιχῶν εἰς ἅπαν τοῖς πατράσιν ἐφάνη. εἶτα τούτῳ καὶ βασιλεῖ συνταξάμενος τὰ Ῥουφινιανοῦ κατειλήφει, κἀκεῖθεν ἀπάρας τὸ τῆς Ὀξείας μὲν ὄρος καταλαβεῖν οὐκέτι προσέθετο, ἄλλο δὲ λίαν ἄναντες καὶ ὑπερνεφὲς καὶ τραχύτατον (Σκοπὸν τοῦτο καλοῦσιν ἐγχώριοι) κατειλήφει· ἐν ᾧ κέλλαν πηξάμενος τοὺς μὲν ἄλλους εὐχαῖς ἐπιστηρίξας ἀπέλυσεν, αὐτὸς δὲ ταύτην εἰσιὼν τὰς τῶν δαιμόνων ὑπέμενε προσβολάς.

21. Μιᾷ δὲ τῶν νυκτῶν πλήθους ἐπελθόντος αὐτῶν καὶ «Τί σοὶ» κράζοντος «καὶ ταῖς ἐρήμοις; ἀπόστα τῶν ἡμετέρων»; οὐ διέπεσεν ἐκεῖνος πρὸς τὰς κραυγάς, ἐκραταιώθη δὲ μᾶλλον καὶ τούτους οὐκ ἀσθενεῖς,| ἀλλὰ καὶ φυγάδας ἀπέδειξε. πυκνότερον οὖν τῷ ὄρει τούτῳ *col. 2* παραβαλλόντων τινῶν ἔκ τε τῆς Κωνσταντίνου καὶ τῶν συγκειμένων χωρῶν, αὐτὸς ψαλμοῖς τισιν, ἥδιστον καὶ τὸν νοῦν ἔχουσι καὶ τὸ μέλος, τούτους φιλοφρόνως εἱστία καὶ τὰ νοσήματα τούτων ἰᾶτο καὶ χαίροντας τὰ οἴκοι καταλαμβάνειν ἐποίει. ἔστιν ὅτε καὶ διδασκαλικῶν ὁ γέρων ἥπτετο λόγων, «Χρὴ νήφειν, ὦ τέκνα», λέγων «διὰ πάσης ἡμῶν τῆς ζωῆς καὶ μὴ μόνον ταῖς σωματικαῖς ἐνασχολεῖσθαι φροντίσιν, ὧν μικρὸν ἢ οὐδὲν ἔσται τὸ κέρδος, ἀλλὰ πολλῷ μᾶλλον ταῖς ψυχικαῖς, ὧν μέγα μὲν τὸ ὄφελος καὶ χρόνῳ μηδενὶ λυμαινόμενον, μεγάλη δὲ καὶ ἡ ἐν Θεῷ παρρησία τε καὶ οἰκείωσις. διὸ χρὴ προηγουμένως τὸν τοῦ Θεοῦ φόβον ἔχειν || ἐν τῇ ψυχῇ· *f. 65v* τούτου γὰρ γινομένου σκύβαλα μὲν κατὰ τὸν ἀπόστολον τὰ τερπνὰ τοῦ βίου καὶ πᾶν εἴ τι περίγειον λογισθήσονται, μόνα δὲ τὰ μέλλοντα πλοῦτος ἄσυλος νομισθήσεται καὶ μηδέποτε δαπανώμενος».

22. Ταῦτα καὶ τὰ τούτοις ὅμοια πρὸς τὸ συντρέχον πλῆθος διαλεγομένου τοῦ μάκαρος, πολὺ πλῆθος, ἄνδρες ὁμοῦ καὶ γυναῖκες ἀπετάσσοντο κόσμῳ καὶ συνετάσσοντο τῷ Χριστῷ. τῶν ἄρτων οὖν ὡς κἀν τῷ τῆς Ὀξείας ὄρει χορηγουμένων τῷ πλήθει, τινὲς αὐτοῖς ἐπαρκούμενοι ἀδιαίρετον ἔχειν ἔκριναν αὐτῷ τὴν συνοίκησιν· εἴ ποτε δέ τις αὐτῷ προθυμηθείη τι παρασχεῖν, τούτῳ μὲν οὐδ' ὀφθαλμόν, μήτι γε χεῖρα προσέβαλλεν, εἰ μή που κηρὸς ἢ ἔλαιον| ἀγγελθείη εἶναι τὸ προσφερόμενον. τὰ γὰρ τρόφιμα μόνα τῶν παρα- *col. 2* βαλλόντων ἕνεκα πρὸς τὸν ἀρτοποιὸν ἐπέτρεπε δίδοσθαι καὶ οὔ τι

Rubro: v. 1 Ὁ, v. 11 Τῶν, v. 14 Πυκνότερον, v. 29 τού|Τοις
14 οὐκ ἀσθενεῖς [μόνον]? 32 κἂν
25 κατὰ τὸν ἀπόστολον: cf. Philipp. 3, 8.

ἕτερον. καὶ μή τις γλῶσσαν λοίδορον ἐπαφήσει τούτου γε χάριν, φειδωλὸν εἶναι κρίνων τὸν μάκαρα· ἀπέστω κακία καὶ λυσσώδης φορά. τῇ τελευτῇ γὰρ αὐτοῦ ὑπὲρ τοὺς ἑκατὸν χρυσίνους ὁ ἀρτοποιὸς ἐποφείλων εὕρηται, ὡς ὁ τιμιώτατος τῶν μαθητῶν τῷ ἁγίῳ καὶ διάδοχος ἐπιστώσατο. ἀλλ' ἐπὶ τὰ κάλλιστα καὶ αὖθις τῶν μεγάλων διηγημάτων τὸν λόγον ἐπαναγάγωμεν.

23. Τὸν καλὸν ζηλοῦντες πλεῖστοι τοῦ γέροντος τρόπον θερμῶς αὐτῷ προσήεσαν, τὸ σχῆμα τούτου λαβεῖν ἐξαιτούμενοι. καὶ ὃς οὐκ ἀναβολαῖς, οὐχ ὑπερθέσεσιν ἐδίδου τὸ πρᾶγμα, ἀλλ' αὐτίκα τρί- f. 66 χινον || αὐτοὺς ἢ δερμάτινον ἐνδιδύσκων στολήν, οἷς δῆτα καὶ οὗτος ἠμφίεστο, χαίροντας καὶ εὐφραινομένους ἀπέλυε, τοῦτο πρὸς ἕκαστον λέγων, ἵνα τῶν ἐκείνου ῥημάτων ἐπιμνησθῶ· «Πορεύου, ἀδελφέ, ἔνθα ὁ Θεὸς ὁδηγήσει σε». ἐξ ὧν καί τις ἀνήρ, Βασίλειος ἡ κλῆσις αὐτῷ, τὴν τοῦ ἁγίου μηλωτὴν ὑπενδὺς καὶ πρός τι τῶν συμπαρακειμένων ὁρῶν, ὡσεὶ σταδίους εἴκοσιν ἀπέχον, πορευθεὶς στενώτατον ὅτι κελλίον ὑπέδυ καὶ οὕτως ἐπὶ χρόνον συχνὸν τὸν ἀσκητικὸν δρόμον τελῶν τοσοῦτον ὑπὸ τῶν πονηρῶν πληγαῖς κατεξάνθη πνευμάτων, ὡς ἄπνουν αὐτὸν δρᾶσθαι ἐπὶ γῆς καὶ ἄφωνον κείμενον. τινὲς οὖν τῶν συνήθων (ποιμένες δὲ ἦσαν), οὕτως αὐτὸν col. 2 εὑρηκότες ἔχοντα, πρὸς τὸν μακαρίτην ἐκόμιζον. ὃς ἐπεὶ κατειρ|γασμένον ταῖς ἐκ δαιμόνων πληγαῖς ἴδοι, πατρικῇ τῇ φωνῇ «Βασίλειε», λέγει, «τί σοι ἄρα καὶ γέγονε;» τοῦ δὲ τάχος διεγερθέντος, «Ἀπόδος» ὁ δίκαιος ἔφη «σου τὰς εὐχὰς τῷ κυρίῳ· ἰδοὺ γάρ σοι δέδοται κατὰ τῶν δαιμόνων ἡ ἐξουσία». εἶτα καὶ τῶν ἀχράντων αὐτῷ μεταδοὺς μυστηρίων εἰς ἐκεῖνο τὸ κελλίον ἀπελθεῖν αὐτὸν αὖθις ἐκέλευσεν· ἐν ᾧ καὶ πορευθεὶς καὶ τρισὶν ἐνασκήσας τοῖς ἔτεσι πρὸς τὸν ποθούμενον Θεὸν ἐξεδήμησε, τῆς ὑπομονῆς τοὺς στεφάνους καὶ τὰ γέρα ληψόμενος.

24. Ὁ μέγας τοίνυν Αὐξέντιος, καρτερίας ὑπόδειγμα τοῦτον εἰς μέσον προθείς, «Προσέχειν» ἔλεγεν, «ἀδελφοί, ἑαυτοῖς ἐπιμελῶς χρὴ καὶ ἀγρύπνως, μήποτε ταῖς τῶν πονηρῶν δαιμόνων χαυνω- f. 66v θέντες ἀπάταις τὸν τῆς ἀσκή||σεως ἡμῶν ἀπολέσωμεν κόπον· σκολιοὶ γάρ εἰσι καὶ δεινοὶ καὶ βασκαίνουσιν ἡμῖν τῶν καλῶν τρόπων. ἡμεῖς οὖν, ἄμαχον ὅπλον ἔχοντες τὸν σταυρὸν τοῦ Χριστοῦ, στῶμεν ἀνδρικῶς κατ' αὐτῶν, ἵν' ἐντεῦθεν δυνηθῶμεν τὰ πεπυρωμένα βέλη σβέσαι τοῦ πονηροῦ καὶ στέφανον νίκης ἄρασθαι κατ' αὐτοῦ». τούτοις οὖν καὶ τοῖς ὁμοίοις οὐ διέλιπεν ἐφ' ἑκάστης

Rubro: v. 7 Τόν, v. 13 Ἀνήρ, v. 29 Ὁ

9 τρύχινον   15 ἀπέχοντι — στενότατον

παραινῶν καὶ διδάσκων, ὡς «Ἐμεγαλύνθη» τοὺς ἀκούοντας λέγειν «τὰ ἔργα σου, κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας».

25. Μιᾷ γοῦν τῶν ἡμερῶν, ὑμνῳδίας τελουμένης παννύχου, τὸ τῆς κέλλης ὁ μέγας ἀνοίξας θυρίδιον καὶ μεταδοὺς εὐλογίας τοῖς συνελθοῦσιν ἐστέναξε μέσης ἀπὸ ψυχῆς καὶ «Ὦ τέκνα», σὺν δάκρυσιν εἶπεν, «ὁ τῆς ἀνατολῆς ἀστὴρ ἐκοιμήθη». τῶν δὲ | μὴ συνιέν- col. 2 *των, ὅ τι δὴ καὶ ὁ λόγος ἐδήλου, ἔμεινεν ἐκεῖνος δακρύων, ὡς δὲ τέλος εἶχε τὰ τῆς ᾠδῆς, ἐκδηλότερόν πως ὁ πατὴρ εἶπε· «Συμεὼν ὁ μέγας, ἀδελφοί, τὸν βίον ἀπέλιπεν». εἶχε μὲν οὕτω ταῦτα, καὶ τὴν ἡμέραν ἐκεῖνοι καὶ τὴν ὥραν ἐσημειώσαντο. οὐ πολλαὶ παρῆλθον ἡμέραι, καὶ τῆς ἐκείνου τελευτῆς διαδοθείσης ἐν ἅπασιν, ἔγνωσται τούτοις ἀπλανὴς ἡ τοῦ γέροντος πρόρρησις. εἶχε γὰρ ἐκείνη ἡ ἡμέρα τὴν τοῦ Συμεὼν πρὸς Θεὸν ἐκδημίαν, καθ' ἣν ὁ μέγας τοῦτο προεῖπε, Λέοντος τηνικαῦτα τοῦ τῆς Βηρίνης τῶν Ῥωμαϊκῶν σκήπτρων ἐπειλημμένου.*

26. Ἀλλὰ ψάμμον ἂν τις θαλάσσης [θᾶττον] ἐκμετρήσειεν, ἢ τὸ πλῆθος ἐξαριθμήσοι τῶν τοῦ δικαίου θαυμάτων. ἐν μιᾷ γὰρ τῶν || συνάξεων «Εὐλόγησόν» τις ἐξεβόησεν, εἶτα, ἐπεὶ τὸν ἅγιον f. 67 *ἴδοι πρὸς αὐτὸν ἀποβλέψαντα, τὴν αἰτίαν δῆθεν ἐξεῖπεν, ὅτιπερ διὰ ἀπώλειαν ἑνὸς θρέμματος τὸν μηνιαῖον ὑπεκρατήθη μισθόν. ὁ δὲ μέγας, ὢ τῆς ἑνούσης αὐτῷ χάριτος, πρός τινα τῶν συνειλεγμένων «Ἀπόδος» ἔφη «τὸ θρέμμα τῷ πένητι καὶ τοῦ λοιποῦ τῶν μὴ σῶν ἀπόσχου, ἄνθρωπε». ἐξέπληξε τὸ ῥηθὲν τοὺς παρόντας καὶ μιᾷ φωνῇ τῷ Θεῷ ηὐχαρίστουν, τοῦ πένητος ἀπειληφότος τὸ πρόβατον. ἔστιν οὖν καὶ ἄλλα τινὰ τῶν αὐτοῦ θαυμασίων, ἀλλ' ἵνα μὴ προσκορὴς ἡ διήγησις αὐτῶν γένηται, ἓν ἢ καὶ δύο τούτων ἐπιμνησθεὶς τῷ τέλει τούτου συγκαταλύσω τὸν λόγον.*

27. Ἐλευθέρα τις οὕτω καλουμένη γυνή, τὸ γένος λαμπρά, τὸν τρόπον | σοφή, τὴν πίστιν πολλή, Στεφανὶς τὸ ἐπώνυμον, τῶν τῇ col. 2 *βασιλίδι Πουλχερίᾳ ὑπηρετουμένων μία, θείῳ γεγενημένη κατάσχετος ἔρωτι, πρόσεισι τῷ δικαίῳ, ἁγίων αὐτῷ κομίζουσα λείψανα, λείψανον πάντως ὡς ἂν καλὸν τῷ βίῳ γένοιτο καὶ αὐτή, καὶ τοῦ μονήρους ἐξαιτοῦσα βίου τυχεῖν. ὁ δὲ θείαν βούλησιν εἶναι κρίνας τὸ πρᾶγμα καὶ ἐδέξατο ταύτην καὶ τόπον εἰς διαγωγὴν ἀφώρισε, Γυρίτην οὕτω καλούμενον, σταδίου ὡς ἑνὸς τῆς κέλλης ἀπέχοντα, καὶ τῇ μελέτῃ τῶν θείων γραφῶν ἐξεπαίδευε. καὶ ἐπεὶ ζηλωτὴ ταῖς ἀρεταῖς κατεφάνη, καί τις ἑτέρα γυνὴ τὸν ἄνδρα καταλιποῦσα,*

Rubro: v. 8 *Τῶν*, v. 10 *Οὐ*, v. 18 *Συνάξεων*, v. 36 *Καὶ ἐπεὶ*
16 *θᾶττον* *inserui*
1 *Ἐμεγαλύνθη — ἐποίησας:* Psal. 103, 24.

f. 67v Κοσμία φερωνύμως ὠνομασμένη, τῷ ἁγίῳ προσῆλθε, τὸν ἀσκη||τικὸν ἐπανελέσθαι βίον ποθοῦσα. ἣν δὲ καὶ αὐτὴν τῇ προτέρᾳ συνάψας ὁ μέγας καλῶς ἐξεδίδασκε. καὶ θηροτρόφου δέ τινος γύναιον τῷ καλῷ τούτῳ ζήλῳ ῥωσθὲν ἐφ' ὁμοίῳ τρόπῳ ταῖς ἄλλαις τῷ παντίμῳ τούτῳ προσῆλθεν, ἥτις δὲ ταύταις συγκατελέγη καὶ συνηρίθμητο· καὶ ἦν ἡ τρίπλοκος αὕτη σειρὰ σφενδόνη πίστεως, βάλλουσα τὸν ἀρχέκακον τύραννον. οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ τὴν μοναχικὴν περιβολὴν ἀμφιέννυνται, τριχίνοις ἐνδύμασιν, ἐπωμίσι τε μέχρις αὐτῶν διηκούσαις ποδῶν σεμνῶς μάλα κατεσταλμέναι. ἔκτοτε γοῦν καὶ ἕτεραι πλεῖσται γυναῖκες τῷ ἁγίῳ προσῄεσαν, τῆς αὐτῆς ἐρῶσαι ταῖς γυναιξὶ πολιτείας, ὡς ὑπὲρ τὰς ἑβδομήκοντα ἐν
col. 2 οὐ πολλῷ | τῷ χρόνῳ ταύτας ἐπισυστῆναι. ὧν ἕνεκεν εὐκτήριον οἶκον ὁ μέγας ἀνήγειρε καὶ κατοικίαν Θεῷ πρέπουσαν αὐταῖς ᾠκοδόμησε, συνεχῶς αὐτὰς ἐκδιδάσκων τὸν λόγον τῆς ἀρετῆς.

28. Ἐπεὶ δὲ ἔδει καὶ αὐτὸν ἄνθρωπον ὄντα τὸν βίον ἀπολιπεῖν, περιπίπτει μὲν ἀρρωστίᾳ τινί, δέκα δὲ ἡμέραις ἐφ' ὅλαις τῇ νόσῳ προσταλαιπωρεῖ καὶ οὕτω τὴν ψυχὴν εἰς χεῖρας τοῦ δεδωκότος παρέθετο. ἦν οὖν ἰδεῖν τότε πλῆθος ἀνδρῶν εὐλαβῶν ἐκεῖσε συνηθροισμένων· οὐδὲ γυναῖκες ἀπελιμπάνοντο, οὐ παῖδες, οὐ τὸ δοῦλον αὐτό, ἀλλ' οὐδ' αὗται πάντως, αἳ τὸ καλὸν ἐκείνου νᾶμα τῶν διδαχῶν ἀρυσάμεναι Θεῷ ἑαυτὰς συνηρμόσαντο. ψαλμοῖς τοίνυν καὶ ὕμνοις, δάκρυσί τε θερμοῖς τὸ συνειλεγμένον πλῆθος τὸν πόθον
f. 68 ἀφοσιώσαντες, || πρὸς τὸν ὑπ' αὐτοῦ δομηθέντα ταῖς ὁσίαις γυναιξὶν οἶκον ἀπήγαγον· ἐν ᾧ δὴ καὶ κατετέθης ἡ μεγάλη καὶ οὐρανομήκης ψυχή, τεσσαρεσκαιδεκάτην ἐπαναβαίνοντος τοῦ Φεβρουαρίου μηνός, καθ' ἣν δὴ καὶ κεκοίμησαι καὶ καθ' ἣν σου τελεῖται τὸ ἱερὸν ὑπὸ πάντων μνημόσυνον, τοῦ εὐσεβοῦς Λέοντος ἔτι τὰ τῆς βασιλείας διιθύνοντος σκῆπτρα· καὶ νῦν ταῖς οὐρανίοις ἐναυλίζῃ σκηναῖς ὁ παγγέραστος, τῶν μακρῶν σου πόνων ἀπολαμβάνων τὰς ἀμοιβάς.

29. Πρόστηθι τοίνυν καὶ βασιλέως ἡμῶν τοῦ πιστοῦ, μέγιστα βραβεύων αὐτῷ τὰ κατ' ἐναντίων ἐν μακρᾷ ζωῇ καὶ ἀπήμονι τρόπαια ἰσχυρὰ καὶ ἀκαταγώνιστα καὶ νίκαις πλείσταις ἐμπρέποντα·
col. 2 χειρὶ σκέποις αὐτὸν τοῦ παντά|νακτος Χριστοῦ καὶ Θεοῦ τῶν ὅλων ἐν ταῖς τῶν ἐχθρῶν συμπλοκαῖς, ἀγαλλίασιν αὐτῷ παρέχων καὶ εὐφροσύνην καὶ παθῶν ἀνώτερον συντηρῶν ψυχικῶν ὁμοῦ καὶ σωματικῶν, ἡμέρας τε τῆς ἀνεσπέρου συγκοινωνῆσαί σοι ποίησον αὐτὸν καὶ υἱὸν ἀναδειχθῆναι φωτός, λαμπρότητος μετασχεῖν τῆς

Rubro: v. 3 *Δέ*, v. 7 *Πο|Λύ*, v. 15 *Ἔδει*, v. 18 *Ἦν*, v. 21 *Ψαλμοῖς*, v. 24 *Ἐν*, v. 30 *Μέγιστα*

6 ἡν] ἦν cod. 8 τρυχίνοις

θείας, πάσης χαρᾶς ἐμφορηθῆναι τῆς οὐρανίου καὶ βασιλείας καταξιωθῆναι Θεοῦ· ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ ιε΄. *f. 68v*

ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΑΠΟΣΤΟΛΟΝ ΟΝΗΣΙΜΟΝ ΤΟΝ ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΠΑΥΛΟΥ ΜΑΘΗΤΗΝ.

1. Τὰ κατὰ τὸν ἀπόστολον Ὀνήσιμον βουλομένοις ἡμῖν διεξελθεῖν, ὅθεν μὲν καὶ ὅστις ἦν, πῶς δὲ καὶ τοῦ Παύλου γέγονε μαθητής, αὐτοῖς δεῖ πάντως τοῖς τοῦ μεγάλου τούτου κήρυκος τῆς ἀληθείας, τοῦ Παύλου φημί, πρὸς ἔπος χρήσασθαι ῥήμασι· τί γὰρ καὶ ἀξιοπιστότερον τούτων γένοιτ᾿ ἄν, ἢ πρὸς ἐγκωμίου λόγον | (col. 2) ἀξιεπαινετώτερον;

2. Ὁ καλὸς οὗτος Ὀνήσιμος, ὁ Χριστοῦ τῷ ὄντι γνησιώτατος δοῦλος, οἰκέτης ὑπῆρξε Φιλήμονός τινος ἀνδρὸς Ῥωμαίου καὶ τὴν εἰς Χριστὸν πίστιν ὑπὸ τοῦ Παύλου καλῶς ἐκμεμαθηκότος καὶ πλείστην ὅσην ὁ λόγος παραστήσει κεκτημένου καὶ μεγάλην ἐν Θεῷ πρὸς αὐτὸν τὴν ἀγάπησιν. οὗτος ὁ Ὀνήσιμος ὀφειλήμασί τισιν ἔνοχος τῷ δεσπότῃ Φιλήμονι γεγονώς, ἐπεὶ μὴ εἶχεν ὅθεν ἀποτίσει ταῦτα, τὸν ἀπόστολον || (f. 69) ἅτε φίλον ἐς τὰ μάλιστα Φιλήμονος ὄντα τὸ τάχος κατέλαβε καὶ ἦν ὑπηρετούμενος ταῖς χρείαις τῶν ἀποστόλων καὶ διακονῶν ἔν τε τοῖς δεσμοῖς αὐτοῦ καὶ ταῖς θλίψεσιν, ἀλλὰ καὶ ἀρετῆς εἰς ἄκρον ἐπιμελόμενος, ὡς ἀγαπητὸν ἐντεῦθεν τῷ Παύλῳ τυγχάνειν καὶ ἀδελφὸν καὶ τέκνον κατονομάζεσθαι. καλὸν δὲ τῶν αὐτῶν ἐκείνου πάντως ⟨καὶ⟩, ὧν πρὸς Φιλήμονα γέγραφεν ὁ ἀπόστολος ἀπομνημονεῦσαι ῥημάτων· «Παρακαλῶ σε περὶ τοῦ ἐμοῦ τέκνου, ὃν ἐγέννησα ἐν τοῖς δεσμοῖς μου, Ὀνήσιμον τόν ποτέ σοι ἄχρηστον, νῦν δὲ σοὶ καὶ ἐμοὶ εὔχρηστον, ὃν ἀνέπεμψά σοι, αὐτὸν τοῦτον, τὰ ἐμὰ σπλάγχνα· προσλαβοῦ αὐτόν, ὃν ἐγὼ ἐβουλόμην πρὸς ἐμαυτὸν κατέχειν, ἵνα ὑπὲρ σοῦ μοι διακονῇ ἐν τοῖς δεσμοῖς τοῦ εὐαγ|γελίου· χωρὶς δὲ τῆς σῆς γνώμης οὐδὲν (col. 2)

Rubrio: v. 8 *Τὰ* (*T* **littera evanuit**), v. 14 *Ὁ καλός*, v. 18 *Ὁ*

20 *ἐστὰ* 25 *καὶ* ***delendum puto***

26 sqq. *Παρακαλῶ — ἀποτίσω:* ep. ad Philem. 10—19 (*cuius textus aliquot locis differt*).

ἠθέλησα ποιῆσαι, ἵνα μὴ ὡς κατὰ ἀνάγκην τὸ ἀγαθόν σου ᾖ, ἀλλὰ κατὰ ἑκούσιον· τάχα γὰρ διὰ τοῦτο ἐχωρίσθη πρὸς ὥραν, ἵνα αἰώνιον αὐτὸν ἀπέχῃς οὐκέτι ὡς δοῦλον, ἀλλ' ὑπὲρ δοῦλον, ἀδελφὸν ἀγαπητὸν μάλιστα ἐμοί, πόσῳ δὲ μᾶλλον σοὶ καὶ ἐν σαρκὶ καὶ ἐν κυρίῳ. εἰ οὖν με ἔχεις κοινωνόν, προσλαβοῦ αὐτὸν ὡς ἐμέ· εἰ δέ τι ἠδίκησεν ἢ ὀφείλει, τοῦτο ἐμοὶ ἐλλόγει. ἐγὼ Παῦλος ἔγραψα τῇ ἐμῇ χειρί· ἐγὼ ἀποτίσω».

3. Καὶ ταῦτα μὲν τὰ τῆς μεγάλης σάλπιγγος τοῦ Χριστοῦ ῥήματα, τοῦ θεηγόρου Παύλου φημί, τὴν ἀρετὴν συνάγοντα τοῦ ἀνδρὸς καὶ δούλου Χριστοῦ καὶ κοινωνὸν τῶν δι' ἐκεῖνον θλίψεων
f. 69v αὐτὸν παριστῶντα. σὺ δέ μοι σκόπει καὶ τὰ ἑξῆς, || πῶς ἄρα καὶ εἰς τὸ μαρτύριον ἦλθεν ὁ καλὸς τὰ πάντα καὶ σοφὸς Ὀνήσιμος.

Ἄρτι τοῦ μισοκάλου δαίμονος τὴν πλάνην καὶ ἐπ' αὐτῇ τῇ μεγαλωνύμῳ Ῥώμῃ διὰ τῶν αὐτῷ προσκειμένων παρανόμων ἀνδρῶν ὑφαπλώσαντος καὶ θύειν εἰδώλοις διὰ τούτων καταναγκάζοντος, ἄγεται καὶ Ὀνήσιμος ὁ σεμνὸς μεθ' ἑτέρων ἐπὶ βήματος Τερτύλου τοῦ τηνικαῦτα τὴν ὕπαρχον ἀρχὴν διαπρέποντος· ὃς κοινὴν μὲν καὶ κατὰ παντὸς χριστιανοῦ τὴν μανίαν ἐδείκνυ, χαλεπωτάτην δὲ μᾶλλον κατὰ τοῦ δικαίου τούτου τὴν ἔχθραν καὶ τυραννικωτέραν ἐποίει· ἐπεὶ γὰρ ὁ Ὀνήσιμος ταῖς ἑαυτοῦ θεοσόφοις διδασκαλίαις τὴν γυναῖκα τοῦ ἀδελφοῦ Τερτύλου πρὸς εὐσεβείας
col. 2 ἐξεπαίδευεν ἤθη καὶ γνῶσιν ἐνέσπειρε ταύτῃ θεογνω|σίας καὶ εἴσω τῶν τῆς πίστεως δικτύων ὅλην εἶχεν αὐτήν, ὁ δυσσεβὴς οὗτος γόητα τοῦτον καὶ μάγον ἐκάλει καὶ τρόποις κακὸν τὸν παντὸς καλοῦ παροχέα.

4. Διὸ δὴ καὶ τῷ βήματι τοῦτον παρίστησιν ἅμα Ῥωμύλῳ καὶ Παπίᾳ τοῖς συνεργοῖς καὶ συστρατιώταις καὶ «Τίς εἶ» λέγει πρὸς αὐτὸν «καὶ ὅθεν καὶ τίνα τὰ παρά σου διδασκόμενα;» καὶ ὁ ἅγιος «Εἰ καὶ μηδὲν ταῦτα συντελεῖ πρὸς τὸν προκείμενόν μοι σκοπὸν» εἶπεν, «ὦ ὕπαρχε, ὅμως ἐρῶ· δοῦλος ἐγὼ ἀνθρώπων ἤμην ποτέ, νυνὶ δὲ Χριστοῦ, ἀγαθοῦ καὶ μεγάλου δεσπότου· Ὀνήσιμος δέ μοι κλῆσις, καὶ τοῦτό μοι διδάσκειν ἐσπούδασται, τὸ τῆς πλάνης ἀφιστᾶν τοὺς ἀνθρώπους καὶ τῇ ἀληθινῇ πίστει προσάγειν Χριστοῦ».—«Καὶ τίς» ὁ ἔπαρχος εἶπεν «ἡ αἰτία τῆς ἀφ' ἑτέρας εἰς ἑτέραν ||
f. 70 δεσποτείαν εὐχεροῦς διαβάσεως καὶ πόσου τιμήματος εἰς τὴν οὕτω καινοπρεπῆ δεσποτείαν μετεβιβάσθης;» — «Αἰτία μὲν» ὁ ἅγιος ἔφη «τῆς ἀληθείας ἡ γνῶσις· ἐπιγνοὺς γὰρ τὸν ἀληθῆ δεσπότην καὶ τῷ

Rubro: v. 8 *Μὲν*, v. 13 *Ἄρτι*, v. 20 *Ἐπεὶ*, v. 29 *Εἰ*

26 *τοῦτον]* *τούτου* cod. 34 *ἔπαρχος*: *ita cod. pro* *ὕπαρχος* (cf. supra vv. 17 et 30).

ὄντι καὶ ψυχῆς ἔχοντα κυρείαν καὶ σώματος, τοῦτον ὡς εἰκὸς ἀγαπήσας προσῆλθον αὐτῷ, τὴν τῶν εἰδώλων μεμισηκὼς ματαιότητα· τιμήματος δὲ μεγάλου καὶ ξένου, τιμίου αἵματός φημι τοῦ μεγίστου θύματος Χριστοῦ Θεοῦ ἡμῶν, τοῦ δόντος ἑαυτὸν λύτρον ὑπὲρ ἡμῶν. διὸ δὴ καὶ σὲ παρακαλῶ, Τέρτυλε, ἀφεῖναι μὲν ταύτην τὴν δόξαν καὶ τὸν πλοῦτον, δίκην ὀνείρατος παρερχόμενα ἢ σκιᾶς καὶ καπνοῦ, πρὸς δὲ καὶ τὴν τῶν ματαίων εἰδώλων πλάνην, καὶ προσδραμεῖν Χριστῷ τῷ τῶν ὅλων Θεῷ, πλοῦτον καὶ δόξαν παρέχοντι τὰ μηδέ|ποτε διαπίπτοντα· οὐ γὰρ θανάτῳ τοῦ πταίσαντος τέρπεται, col. 2 *μετανοίᾳ δὲ μᾶλλον καὶ σεμνότητι βίου· θέλει γὰρ οὐδαμῶς τὸν τοῦ ἁμαρτωλοῦ θάνατον, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν».*

5. Καὶ ὁ ἔπαρχος «Ἔοικας» ἔφη «μὴ μόνον αὐτὸν ἀπολέσθαι, μὴ θύειν θέλων βούλεσθαι, ἀλλὰ καὶ ἡμᾶς ἀπατᾶν· τὸ δέ σοι πάντως ἡ ἡμετέρα πεποίηκε λέγειν χρηστότης. ἀλλ' εἰ μὴ θᾶττον θύεις προσελθὼν τοῖς θεοῖς, πολλαί σε καὶ μεγάλαι διαδέξονται τιμωρίαι, ὑφ' ὧν ἀναγκασθήσῃ πάντως καὶ ἄκων ὑπεῖξαι τοῖς βασιλικοῖς κελεύσμασι». καὶ ὁ ἅγιος «Ἀλλότριε τοῦ Θεοῦ καὶ τῆς ἀληθείας ἐχθρέ» λέγει, «καὶ ὅλως οἴει με πείσειν ταῖς ἀπειλαῖς ἢ ταῖς κολάσεσι μεταμαθεῖν τὴν ἀσέβειαν καὶ θυσίαν τοῖς εἰδώλοις προσενεγκεῖν; καὶ διὰ μικράν τινα κόλασιν || προδώσω μου τὴν f. 70ᵛ *εὐσέβειαν; καὶ τίς ἀνθρώπων νοῦν ἔχων ὀλίγων ἡμερῶν ζωὴν προτιμήσει τῆς μακρᾶς ἐκείνης καὶ ἀθανάτου καὶ τῶν ἐν ταύτῃ καλῶν;»*

6. Τούτων οὕτω ῥηθέντων ὑπὸ τοῦ μάκαρος φυλακῇ τοῦτόν τε καὶ τοὺς αὐτῷ συνόντας ὁ ἔπαρχος δίδωσιν ἀφεγγεῖ τινι καὶ ζοφώδει καὶ πᾶν εἶδος κακῶν ἐπάγεσθαι τούτοις κελεύει, μεταθήσειν αὐτοὺς βουλόμενος τοῦ σκοποῦ. ὡς δὲ μηδὲν ἤνυε καὶ ματαίας αὐτοῦ τὰς ἐλπίδας ἑώρα, φιλανθρώπου γνώμης προσχήματι τῆς πόλεως ἀπελαύνει. εἰς Ποτιόλους οὖν ἀφικόμενοι τὸν λόγον τῆς ἀληθείας κηρύττειν καὶ διδάσκειν οὐ διελίμπανον. ἐπεὶ δὲ καὶ Τέρτυλος καταλάβοι τὰς Ποτιόλους (τόπος δὲ οὗτός ἐστι Ῥωμαίοις ὑπήκοος) καὶ τούτους εὕ|ροι τὸν καλὸν σπόρον ταῖς τῶν ἀνθρώπων col. 2 *διανοίαις ἐνσπείροντας καὶ γεωργοῦντας αὐτοὺς ἐν τριάκοντα καὶ ἐν ἑξήκοντα καὶ ἐν ἑκατὸν κατὰ τὴν τοῦ εὐαγγελίου φωνήν, θυμῷ πληγεὶς τὴν ψυχὴν ὁ παράφρων ὁπλίζεται μανικῶς κατὰ τοῦ ἀποστόλου καὶ στέλλει τινὰς τοὺς συλληψομένους αὐτόν τε καὶ τοὺς*

Rubro: v. 13 *Ἔοικας*, v. 18 *Καὶ ὁ*, v. 25 *τού|Των*, v. 30 *Οὖν*
3 *αἵματος φημὶ* 6 *σκιὰς* 26 *ἀφεγγῆ* 27 *ζοφώδη*
35 *κατὰ τὴν — φωνήν*: cf. Matth. 13, 8 et 23; Marc. 4, 8 et 20.

σὺν αὐτῷ. καὶ μέντοι δὴ καὶ συλληφθέντες καὶ τράχηλον ὁμοῦ καὶ χεῖρας πεδηθέντες τοῖς ξύλοις, τῷ βήματι τούτου προσάγονται.

7. Τέρτυλος δὲ μανικῷ τῷ βλέμματι πρὸς τὸν ἀπόστολον ἀπιδών, «Μέχρι τίνος ἐπιμένεις σου τῇ ἀνοίᾳ, σιδήρου καὶ πυρὸς κατάδικε», λέγει, «καὶ μὴ θύειν βούλει κατὰ τὸ βασιλικὸν δόγμα θεοῖς»; Ὀνήσιμος εἶπεν· «Οὐκ ᾤμην σε, Τέρτυλε, παχὺν οὕτω f. 71 μεῖναι καὶ σκοτεινὸν ἐν οὕτω || πολλοῦ διαστήματι χρόνου, μὴ πρὸς τὴν ἀλήθειαν καὶ τὸ φῶς ἀνανῆψαι θελήσαντα, ἀλλ' ἅτε λογικὸν ἄνθρωπον χρηματίζοντα συνιδεῖν τὸ βέλτιον καὶ τὸ κρεῖττον ἀνθελέσθαι τοῦ χείρονος ἐπιστραφέντα καὶ τὸν ἀληθῆ γνόντα Θεὸν τὸν Χριστόν, ὅς ἐστιν οὐρανοῦ καὶ γῆς ποιητής, καὶ μὴ λίθοις ἀψύχοις, ἔργα χειρῶν ἀνθρώπων, κωφοῖς καὶ τυφλοῖς θυσίας ἐθέλειν προσάγειν, μηδεμίαν αὐτῶν λαμβάνουσιν αἴσθησιν».

8. Τούτοις ὑπαναφθεὶς τὴν μανίαν ὁ βέβηλος καὶ ὅλως ἀκατάσχετος, ὡς εἴποι τις, τῷ θυμῷ γεγονώς, ἐκ τεσσάρων ἰσχυρῶς διαταθῆναι κελεύει τὸν μάρτυρα καὶ ῥάβδων βαρυτάτων καταφοραῖς τὸν τῆς εὐσεβείας ἀγωνιστὴν καταικίζεσθαι. ἐπὶ πολλαῖς οὖν ταῖς col. 2 ὥραις τυπτομένου τοῦ ἀθλητοῦ | σάρκες μὲν τῶν ὀστῶν ἀπεσπῶντο, αἷμα δὲ τούτου τὴν γῆν ἐφοίνισσε, φεῦ, καὶ ὀστᾶ συνετρίβετο. τῆς δέ γε θεοσεβοῦς ἐκείνης ψυχῆς ὡς ἐν ἀλλοτρίῳ σώματι τὰς τιμωρίας ταύτας ὑπομενούσης τῇ τῶν ἀγαθῶν ἐλπίδι τῶν οὐρανίων, ὁ κάκιστος Τέρτυλος καὶ τὴν κατὰ μέλος ἠπείλει τομήν, εἰ μὴ θῦσαι τοῖς θεοῖς, ὁ μάρτυς πεισθῇ. ὁ δὲ θεῖος οὗτος Ὀνήσιμος ἀνδριὰς ὥς τις τὰς πληγὰς ὑπομένων καὶ κατ' οὐδένα τρόπον τὸν νοῦν ὑποχαυνωθείς, ἀλλ' ὥς τι τεῖχος ἑδραῖον πρὸς τὰς ἐπαγωγὰς ἱστάμενος τῶν κολάσεων, πείθει διὰ τοῦ ἀνελπίστου τὸν κολαστὴν πρὸς τὸν αὐτοῦ θάνατον ἀπιδεῖν. καὶ δὴ κελεύει ὁ παράνομος καὶ παράφορος καὶ θηρίον [μᾶλλον] ἢ ἄνθρωπος ὕπτιον ἀνακλιθῆναι f. 71v τὸν || ἅγιον καὶ ταῖς τῶν ῥάβδων ἐκείνων καταφοραῖς τὰ σκέλη τούτου, φεῦ, ἀνηλεῶς συντριβῆναι.

9. Οὗ δὴ γεγονότος, Ὀνήσιμε καλὲ καὶ θαυμάσιε, τὴν ψυχὴν εἰς χεῖρας τοῦ δημιουργήσαντος δίδως. πεντεκαιδεκάτην ἀνέβαινεν ὁ Φεβρουάριος τὴν ἡμέραν. γυνὴ δέ τις, βασιλικοῦ γένους καταγομένη, ἐντίμως σε καὶ λαμπρῶς περιστείλασα ταφῇ παραδέδωκε. καὶ νῦν τῶν πόνων ἐκ Θεοῦ τοῦ κηρύγματος, τῆς ἀθλήσεως, τοῦ δι' αὐτὸν δρόμου λαμβάνων τὰς ἀμοιβάς, αἴτησαι δοθῆναι παρ' αὐτοῦ καὶ βασιλεῖ ἡμῶν τῷ πιστῷ μῆκος μὲν ἐνταῦθα ζωῆς καὶ

Rubro: v. 3 τέρ|**Τυλος**, v. 14 ὑ|**Παναφθεὶς**, v. 17 **Οὖν**, v. 31 **Οὗ**, v. 37 **Μῆκος**
13 μὴ δὲ μίαν   24 ἀνδριὰς ὅστις   28 μᾶλλον **inserui** (cf. supra p. 14, 7)   29 σκέλλη

πλῆθος τροπαίων κατ' ἐναντίων, ἰσχὺν κραταιὰν καὶ νίκας δσημέραι κατὰ τῶν ἀντιπάλων χρηστότητος αὐτοῦ καὶ | παιδείαν καὶ col. 2 *γνῶσιν, αὐτόθι δὲ σκηνῆς δικαίων τὴν καλὴν κατοικίαν, ἡμεροφαῆ καὶ τερπνὴν σὺν αὐτοῖς ξυναυλίαν, λαμπρὰν διαυγῆ τῆς τριάδος τὴν λάμψιν, πάντων τῶν καλῶν τὴν μετάληψιν ὅλην καὶ βασιλείας οὐρανῶν τὴν ἀπόλαυσιν· ὅτι αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

Μηνὶ τῷ αὐτῷ ις'. f. 72

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΠΑΜΦΙΛΟΥ ΚΑΙ ΤΗΣ ΣΥΝΟΔΙΑΣ ΑΥΤΟΥ.

1. Καὶ τί μνήμης μαρτύρων τοῖς φιλομάρτυσι ποθεινότερόν τε καὶ τιμιώτερον; τέρπει γὰρ αὕτη τὰς τῶν φιλοθέων ψυχὰς καὶ πλήρεις εὐφροσύνης καθίστησι. διὸ δὴ καὶ Παμφίλου τοῦ σοφοῦ καὶ τῶν αὐτοῦ συνάθλων καλὸν τοὺς ἀγῶνας προθεῖναι καὶ τὰ παλαίσματα πρὸς δόξαν Θεοῦ, πρὸς κοινὴν εὐφροσύνην καὶ ἀγαλλίασιν.

2. Πάμφιλος οὗτος, ὦ φίλον ἀκροατήριον, τῆς Βηρυτοῦ βλαστὸς πέφυκε | πόλεως, ἐν ᾗ περιφανῶν πεφυκὼς γεννητόρων, τὴν πρώτην col. 2 *περιφανῶς ἀναχθεὶς ἡλικίαν καὶ παιδείαν τήν τε διὰ λόγων καὶ τὴν ἐκ πράξεως αὐτῆς καλῶς παιδευθεὶς καὶ συνετῶς ἐκπονήσας, τῶν τεκόντων τῶν τῇδε μεταπεφοιτηκότων, τὰ προσόντα τούτοις φρονίμως ἐκεῖνος τοῖς πένησιν ἀποδοὺς καὶ τὸν ἀσκητικὸν ἐπανελόμενος βίον καὶ τόπους ἐκ τόπων ἀμείβων καὶ μέλιττα καθαπερεὶ φιλεργὸς τὰς τῶν φιλοθέων ἀνδρῶν γνώμας καὶ τοὺς || βίους εἰς* f. 72ᵛ *ἀρετῆς ὥς τινα ἄνθη συλλέγων ἐργασίαν, τὴν Καισαρέων καταλαμβάνει, ἐν ᾗ καὶ τῇ τῶν πρεσβυτέρων καθέδρᾳ χρηστότητι τρόπων αἰνέσας τὸν κύριον, κατὰ τοὺς Διοκλητιανοῦ χρόνους πρὸς τὸ μαρτύριον ἄγεται καὶ τέως φυλακῇ παραδίδοται.*

3. Δεύτερος δὲ μετ' αὐτὸν ὁ καλὸς Οὐάλης ἐπὶ τὸ μαρτύριον ἤχθη, πολιᾷ καὶ συνέσει κεκοσμημένος, πρεσβυτικὸν ἔχων τὸν τρόπον τε καὶ τὸ ἦθος καὶ γνῶσιν πάσης εἰς ἄκρον ἐξησκημένος γρα-

Rubro: v. 5 *Πάντων*, v. 12 *Καὶ*, v. 18 *Ὦ*, v. 30 *Δεύτερος*

φῆς, τῆς Ἐλιαίων ἐκκλησίας διάκονος, καὶ τρίτος Παῦλος ὁ περὶ τὴν πίστιν θερμὸς καὶ ζέων τῷ πνεύματι κατὰ τὸν ἀπόστολον, τῆς Ἀειμνητῶν πόλεως ἐξορμώμενος.

4. Ἀλλὰ τούτοις χρόνοις ἐπὶ δυσὶ διὰ Χριστὸν μετὰ πολλὰς col. 2 βασάνους ἐγκεκλει|σμένοις τῇ φυλακῇ πρόφασις καὶ τοῦ δι᾽ αὐτὸν τέλους ἡ πεντάριθμος καὶ προφητώνυμος ξυνωρὶς τῶν ἐξ Αἰγύπτου κατέστη, Ἠλίας ὁ μεγαλώνυμος, Ἱερεμίας ὁ συμπαθής, ὁ προφητικώτατος Ἠσαΐας, Σαμουὴλ καὶ Δανιὴλ οἱ θαυμάσιοι. καὶ γὰρ ξένον τινὰ ζῆλον ἐπανελόμενος ὁ προφητώνυμος οὗτος χορός, ἀπάραντες ἐξ Αἰγύπτου περιήεσαν ἁπανταχοῦ, τοὺς διὰ Χριστὸν ἀθλοῦντας πρὸς τοὺς ἀγῶνας ἐπιθαρρύνοντες, ἀλλὰ δὴ καὶ τοὺς ἰχῶρας τῶν αὐτῶν τραυμάτων ἀποκαθαίροντες, χορηγοῦντές τε τούτοις τὰ πρὸς τὴν χρείαν καὶ παντὶ τρόπῳ πρὸς τὴν ἀληθῆ πίστιν ἐπιστηρίζοντες.

5. Καὶ δή ποτε καὶ πρὸ τῶν πυλῶν τῆς Καισαρείας διιόντων f. 73 αὐτῶν οἱ φυλάσσοντες ἐν αὐταῖς, ὡς εἶδον αὐτοὺς καὶ τίνες || ἄρα καὶ ὅθεν εἶεν ἠρώτησαν καὶ χριστιανοὺς εἶναι ἤκουσαν καὶ Χριστοῦ δούλους, εὐθὺς συλλαμβάνονται τούτους καὶ τοῖς περὶ τὸν Πάμφιλον συνδεσμοῦσιν. οὓς δὴ καὶ μετά τινας ἡμέρας Φιρμιλιανῷ παριστῶσι τῷ ἡγεμόνι· ὁ δὲ τῶν Αἰγυπτίων πρῶτον ἀποπειρώμενος «Ὁποίας ἐστὲ πόλεως» ἤρετο «καὶ τίνα τὰ ὀνόματα καὶ ὁποῖον ὑμῶν τὸ σέβας;» οἱ δὲ χριστιανοὺς ἑαυτοὺς εἶναι καὶ πόλεως ἐξορμᾶσθαι τῆς αὐτῶν ἔλεγον, ἣν δὴ καὶ Ἱερουσαλὴμ ἐκάλουν, καὶ τὸν μὲν Ἠλίαν, τὸν δὲ Ἱερεμίαν, Ἠσαΐαν τε τὸν ἄλλον καὶ τοὺς λοιποὺς Σαμουήλ τε καὶ Δανιὴλ κατονομάζεσθαι ἀπεκρίναντο, τὰ κοινὰ μὲν ἀποσιωπήσαντες, τὰ προφητικώτατα δὲ προσλαβόντες ὀνόματα, col. 2 κήρυκες ἅτε καὶ αὐτοὶ τῆς ἀληθείας καὶ προφῆται | τυγχάνοντες, ἐξ ὧν μεγαλυνθῆναι προὔλεγον τὴν Χριστοῦ πίστιν καὶ τὰ τῶν Ἑλλήνων οἴχεσθαι. μὴ συνεὶς οὖν ὁ παράνομος ἄρχων, ὅ τι καὶ βούλοιτο τούτοις ὁ λόγος, αἰκίαις αὐτοὺς ἐκδίδωσι χαλεπαῖς, καὶ ἐπεὶ μὴ πειθομένους εἶχε θυσίας εἰδώλοις προσενεγκεῖν, καὶ ξίφει τὰς ἑαυτῶν κεφαλὰς ἀποτέμνει. καὶ ταῦτα μὲν περὶ τούτων.

6. Εἶτα μεταβὰς ὁ δεινὸς ἐπὶ τοὺς περὶ τὸν Πάμφιλον καὶ μαθὼν ὡς ἤδη πρότερον πολλῶν βασάνων ἐν πείρᾳ γεγόνασι καὶ κατ᾽ οὐδένα λόγον ἡττήθησαν τῆς ἐνστάσεως, τὸ μὲν κολάζειν αὐτοὺς ἀνεβάλλετο, πρὸς θυσίαν δὲ λόγοις ἡμέροις ἐξεκαλεῖτο. ὡς δὲ παρὰ κωφοῖς ᾄδειν ἐφαίνετο, δίδωσι καὶ κατ᾽ αὐτῶν τὴν ἀπό-

Rubro: v. 1 Παῦλος, v. 7 ἡ Ἀλίας, v. 15 Πρὸ, v. 19 Δὴ, v. 29 Μὴ, v. 33 Εἶτα
12 χορηγοῦντες τὲ 23 πόλεως — τῆς αὐτῆς? 35 κατουδένα
2 κατὰ τὸν ἀπόστολον: Rom. 12, 11 (cf. Act. 18, 25).

φασιν καὶ ξίφει τμηθῆναι κελεύει || τὰς μαρτυρικὰς αὐτῶν κεφαλάς. f. 73v τούτων δὲ πρὸς τὸν τῆς τελειώσεως τόπον ἀπαγομένων νεανίας τις εἰς τὸ μέσον γεγονὼς — Πορφύριος δὲ ἦν ὁ καλός, οἰκέτης γνωριζόμενος τοῦ Παμφίλου, — πρὸς ταφὴν ἐξῃτεῖτο τὰ τῶν ἁγίων σώματα. ὁ τοίνυν θὴρ καὶ οὐκ ἄνθρωπος, ὁ κάκιστος ἐκεῖνος ἄρχων, χριστιανὸν ἐντεῦθεν αὐτὸν ἐπιγνοὺς εἶναι, συσχεθῆναι κελεύει καὶ συσχεθέντα θύειν τοῖς εἰδώλοις καταναγκάζει. ἐπεὶ δὲ πρὸς τοὺς λόγους ἀνένευεν ὁ θαυμάσιος καὶ ὅλος ἦν ἀμετάθετος τῆς εἰς Χριστὸν ὁμολογίας καὶ πίστεως, αἰκίζεται σφοδρῶς καθ' ὅλου τοῦ σώματος, εἶτα ξέεται δεινῶς τὰ σπλάγχνα καὶ τὰς πλευράς. ὡς δὲ καὶ οὕτω πάσχων ἀδάμαντος ἰσχυρότερος ὡρᾶτο τὴν ψυχὴν καὶ τὴν πίστιν, ὑ|φάσμασι τριχίνοις ὁ στερρὸς ἀνατρίβεται τὰς πληγάς, col. 2 τοῦτο τοῦ τυράννου κελεύσαντος. ἀλλὰ μηδ' ἐν τούτῳ κόρον λαβόντος τοῦ δυσσεβοῦς, ὁ γενναῖος καὶ πυρὶ παραδίδοται καὶ οὕτω τὸν τῆς ἀθανασίας ὁ καλὸς Πορφύριος ἀνεδήσατο στέφανον.

7. Σέλευκος δὲ τὸ τάχος τῷ Παμφίλῳ τὸ πρᾶγμα γνωρίσας καὶ ὡς διήνυσε τὸ μαρτύριον ὁ Πορφύριος, ὑπὸ τῶν στρατιωτῶν συλλαμβάνεται καὶ τῷ ἡγεμόνι προσάγεται· Καππαδόκης δὲ τὸ γένος ὁ Σέλευκος καὶ στρατείᾳ περίδοξος, ῥώμῃ τε καὶ μεγέθει καὶ κάλλει σώματος περιδέξιος· ὃς διὰ τὴν εἰς Χριστὸν πίστιν τοῖς τῆς μαρτυρίας τὸ πρῶτον ἐνδιαπρέψας ἀγῶσιν ἐπείπερ ἀπολέλυτο, τὴν στρατείαν καταλιπὼν διηκόνει τοῖς διὰ Χριστὸν μαρτυροῦσι, πάντα τούτοις γινόμενος καὶ θεραπεύων || μὴ μόνον αὐτούς, ἀλλὰ δὴ καὶ f. 74 τοὺς ἐν κακοπαθείαις ἄλλαις καὶ πενίᾳ συζῶντας· οὗτος οὖν τῷ ἄρχοντι προσαχθείς, ὡς δεδήλωται, μετὰ πολλὰς τὰς τιμωρίας σὺν τῷ Παμφίλῳ καὶ τοῖς λοιποῖς τὸν τοῦ μαρτυρίου στέφανον τῇ διὰ ξίφους ἐκτομῇ προσαπείληφεν.

8. Τούτους οὖν τοὺς ἀοιδίμους μάρτυρας ὁ Θεοῦ τῷ ὄντι δοῦλος Θεόδουλος, οἷα δὴ τοὺς διὰ Χριστὸν ὑπομεμενηκότας ἀγῶνας κατασπαζόμενος καὶ τὴν τιμὴν ἀπονέμων τὴν πρέπουσαν, δάκρυά τε τούτοις ἐπισταλάζων συλλαμβάνεται καὶ τῷ ἀδίκῳ προσάγεται ἄρχοντι· καὶ ἐπεὶ μὴ ἐπείθετο τῷ αὐτοῦ συνθέσθαι θελήματι καὶ τοῖς εἰδώλοις ἀπονεῖμαι θυσίαν, σταυροῦται κατὰ τὸν ἐμὸν Ἰησοῦν καὶ τὸ τέλος οὕτως ἐνδόξως τῆς ὁμολογίας λαμβάνει.

9. Καλεῖ δὲ καὶ τὸν δωδέκατον | τῶν μαρτύρων ὁ λόγος. col. 2 Ἰουλιανὸς ὁ θαυμάσιος, Καππαδόκης ὢν καὶ οὗτος καὶ τὸν τρόπον θεοσεβής, ἄρτι τὴν πόλιν εἰσιὼν καὶ τὰ κατὰ τοὺς ἀθλητὰς ἐκ

Rubro: v. 2 Πρὸς, v. 5 Ὁ τοίνυν, v. 16 Δέ, v. 24 Οὗτος, v. 28 Οὖν, v. 35 Καλεῖ

27 προσαπείληφε

πλείστων ἀναμαθών, ἔρχεται τούτους ὀψόμενος· καὶ ἐπεὶ παρῆν καὶ τὴν προσήκουσαν ἀσπασμοῖς καὶ δάκρυσιν ἀπεδίδου τούτοις τιμήν, οἱ στρατιῶται τοῦτον κρατήσαντες παριστῶσι τῷ ἄρχοντι. καὶ ὃς τὰ κατ' αὐτὸν ἐκμαθών, ἐπείπερ ἀμετάθετον εἶδε, καλούμενον ὑπ' αὐτοῦ πρὸς τὴν τῶν ξοάνων λατρείαν, πυρὶ παραδίδωσι· καὶ οὕτως μὲν ὁ δωδεκάριθμος τῶν μαρτύρων χορὸς τὸν τῆς νίκης ἀνεδήσατο στέφανον.

10. Ὁ δὲ παράνομος ἐκεῖνος ἄρχων ἐπὶ τέτταρας δὴ τὰς ἡμέρας f. 74v *καὶ νύκτας τοσαύτας κυσὶ καὶ ὀρνέοις τὰ πάντιμα ὑμῶν, ὦ || μακάριοι μάρτυρες, καὶ θεοτερπῆ σώματα προθεὶς εἰς βοράν, οὐμενοῦν οὐκ ἐλυμάνθησαν ὑπ' αὐτῶν, ἀλλὰ καὶ σεμνῶς ὥσπερ ὑπὸ φυλάκων τούτων συνετηρήθησαν ἀβλαβῆ. πιστοὶ δέ τινες εὐλαβῶς αὐτὰ περιστείλαντες τῇ προσηκούσῃ ταφῇ προσηκόντως παραδεδώκασι. καὶ νῦν τῷ ἀθλοθέτῃ Χριστῷ παριστάμενοι νέμοιτε ταῖς πρὸς αὐτὸν εὐκτικαῖς ὑμῶν ἱκεσίαις βασιλεῖ ἡμῶν τῷ ὀρθοδόξῳ καὶ* col. 2 *φιλομάρτυρι | μέγιστα κατὰ τῶν ἀντιπάλων τρόπαια, ἰσχὺν ἐκ Θεοῦ καὶ κράτος ἀπρόσμαχον, χωρῶν ἐθνῶν τὴν κατάλυσιν, ἀΰλων θείων μονῶν τὴν κατοίκησιν, ἡμέρας ἀνεσπέρου τὴν φαῦσιν, λειμώνων ἀκηράτων τὴν τέρψιν, παντὸς ἀγαθοῦ τὴν μετάληψιν καὶ βασιλείας Θεοῦ τὴν συγκλήρωσιν· ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

Μηνὶ τῷ αὐτῷ ιζ'.

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΤΗΡΩΝΟΣ.||

f. 75 *1. Μαξιμιανῷ καὶ Μαξιμίνῳ τοῖς βασιλεῦσι πολλή τις καὶ ἄσχετος ἡ ὁρμὴ κατὰ τῆς τῶν χριστιανῶν κεκίνητο πίστεως. ἠρευνῶντο γὰρ πόλεις, ἠρευνῶντο καὶ κῶμαι, χῶραί τε καὶ ἀγροὶ καὶ σπήλαια, καὶ πᾶς ὅστις τὰ χριστιανῶν σεβόμενος ἦν ἐχειροῦτο καὶ πρὸς αὐτοὺς ἤγετο καὶ δειναῖς κολάσεσι παρεδίδοτο.*

2. Κατ' ἐκεῖνο τοίνυν καιροῦ καὶ ὁ τοῦ Χριστοῦ μάρτυς Θεόδωρος, χριστιανὸς ἐκ προγόνων τυγχάνων, ἐπόθει μὲν παρρησιάσασθαι τὴν εὐσέβειαν, οὐκ ἐβούλετο δέ, εἰ μὴ καὶ τὸ θεῖον ἕξει θέλημα πρὸς τοῦτο συνευδοκοῦν. ἀπολεχθεὶς οὖν εἰς τήρωνα περὶ τὴν ἀνα-

Rubro: v. 7 *παρά|Νομος*, v. 16 *Μέγιστα*, v. 19 *Παντός*, v. 25 *Μαξιμιανῷ*, v. 30 *κα|Τ' ἐκεῖνο*, v. 33 *Οὖν*

13 *προσήκουσι* 27 *χῶραι τὲ*

τολὴν μεθ' ἑτέρων καὶ ἤδη εἰς λεγεῶνα μέλλων ἄγεσθαι τῶν Μαρμαριτῶν λεγομένην, ἥτις ὑπὸ πραιποσίτῳ μὲν Βρίγγᾳ καλουμένῳ ἐτύγχανεν | οὖσα, ἐν πόλει δὲ Ἀμασείᾳ τῇ κατὰ τὸν Πόντον διά- col. 2 γουσα ἦν, δοκιμὴν ποιεῖται τοῦ προκειμένου σκοποῦ. καὶ ἡ δοκιμὴ δράκοντος ἀναίρεσις ἦν, ἐμφωλεύοντος κατά τινα τόπον, ᾧ Εὐχάϊτα τοὔνομα, δεινοῦ μὲν ἰδεῖν, δεινοτέρου δὲ προσβαλεῖν· πῦρ μὲν γὰρ ἠφίει τῶν ὀφθαλμῶν, ἰὸν δὲ τῶν χειλέων· ὅθεν οὐδὲν ἄλλο τοῖς πλησιάζουσιν ὑπελείπετο ἢ τὸ φυγεῖν ἐκεῖθεν καὶ μετανάστας γενέσθαι.

3. Τούτῳ δὴ οὖν ἐπιστὰς ὁ γενναῖος τῷ τόπῳ καὶ τῷ τῶν ἐγχωρίων οἴκτῳ κατακαμφθεὶς τὴν ψυχήν, τῷ ὅπλῳ τε τοῦ τιμίου σταυροῦ φραξάμενος, τὸν θῆρα διηρευνᾶτο. κεκοπιακὼς δὲ τῷ δασεῖ καὶ δυσβάτῳ τῆς ὕλης, τοῦ ἵππου ἀποβὰς ὕπνῳ ἑαυτὸν ἔξω ταύτης ἐδίδου καὶ διανέπαυε. || καί τις γυνὴ τῶν ἐπιφανῶν, ἧς ὁ f. 75ᵛ τόπος ἐτύγχανεν, ὑπότρομος ἐπιστᾶσα ἀφύπνιζέ τε τὸν ἅγιον καὶ «Ἀνάστα τὸ τάχος» ἐβόα, «εἰ μέλει σοι ζωῆς· τὸ γὰρ ἐνταῦθα κακὸν ὁ δράκων πολλοὺς ἀνεῖλεν ἄχρι καὶ νῦν». ταῦτα ἔλεγε, καὶ δάκρυα κατέρρει τῶν ὀφθαλμῶν. ὁ δὲ ὡς εἶδεν, ὡς ἤκουσεν, χριστιανήν τε αὐτὴν ὡς ἔμαθεν εἶναι, εὔθυμος ὅλος γενόμενος, «Ἀπαλλαγήσῃ σήμερον, γύναι», πρὸς αὐτὴν εἶπεν, «ἀπαλλαγήσῃ γείτονος πονηροῦ». ἔφη καὶ τῷ τοῦ σταυροῦ σημείῳ φραξάμενος ἐπέβη τοῦ ἵππου καὶ κτύπου τινὸς αἰσθόμενος, ὅθεν ἐξῄει ὁ δράκων, φθάνει τὴν λόγχην ἀκοντίσας καὶ βάλλει τὴν αὐτοῦ κεφαλὴν καὶ παραχρῆμα νεκροῖ.

4. Τοῦτο σύμβολον φανερὸν κατέστη τῷ μακαρίῳ, | ὅτιπερ καὶ col. 2 ὁ τοῦ μαρτυρίου δρόμος αὐτῷ καλὸν δέξαιτο πέρας. διὸ καὶ χαίρων ἀπῄει πρὸς τὴν τοῦ Πόντου Ἀμάσειαν· ἐν ᾗ καὶ γενόμενος καὶ ὅπως ἔχοι περὶ τὴν πίστιν διαγνωσθείς, θύειν εἰδώλοις παρὰ τῶν ἀναισθήτων διεκελεύετο. ὁ δὲ στὰς ἐν μέσῳ τῆς λεγεῶνος «Ἐγὼ χριστιανός εἰμι» ἔφη «καὶ θῦσαι θεοῖς κιβδήλοις οὐκ ἐπιτέταγμαι». καὶ τοῦ πραιποσίτου «Τὴν προσοῦσάν σοι στρατείαν» εἰπόντος, «Θεόδωρε, μὴ βδελύττου, θύε τε τοῖς θεοῖς καὶ πείθου τοῖς βασιλεῦσιν», ὁ μάρτυς πάλιν «Ἐγὼ τῷ ἐμῷ» φησι «στρατεύομαι βασιλεῖ καὶ αὐτῷ πείθομαι καὶ αὐτῷ μόνῳ θυσίαν προσάγω». καὶ τὸν πραιπόσιτον ἀποβλέψαντα πρὸς τοὺς παρεστῶτας «Ἀλλὰ καὶ τούτους» εἰπεῖν «χριστιανοὺς ὄντας οὐδὲν || διεκώλυσε τοῦ στρα- f. 76 τεύεσθαι». εἶτα τοῦ μάρτυρος εἰπόντος «Ἕκαστος ὡς ἐπίσταται

Rubro: v. 10 *Τούτῳ*, v. 14 *Καί τις*, v. 25 *Τοῦτο*, v. 29 *Ἐν μέσῳ*, v. 35 *πραιπό|Σιτον*
16 *μέλλει σοι*

στρατευέσθω, ἐγὼ μέντοι εἴρηκα καὶ πάλιν ἐρῶ, ὅτι τῷ ἐμῷ στρατεύομαι βασιλεῖ, τῷ μόνῳ ζῶντι Θεῷ καὶ τῷ μονογενεῖ υἱῷ αὐτοῦ», Ποσειδώνιός τις δουκηνάριος παρεστὼς καὶ οἷον ἐγγελῶν τῷ μάρτυρι «Ὁ γὰρ Θεός σου» ἔφη, «Θεόδωρε, καὶ υἱὸν ἔχει;» ὁ δὲ μάρτυς προθύμῳ φωνῇ «Ναὶ» εἶπεν, «ἔχει τὸν Λόγον τῆς ἀληθείας, δι' οὗ τὰ πάντα παρήγαγε». καὶ ὁ πραιπόσιτος «Δυνάμεθα οὖν» ἔφη «καὶ ἡμεῖς τοῦτον ἰδεῖν;» — «Εἴθε» εἶπεν ὁ μάρτυς «τοιαύτην ὑμῖν ἐκεῖνος ἐχαρίσατο σύνεσιν, ὥστε τοῦτον ἐπιγνῶναι καὶ τούτῳ λατρεύειν». καὶ ὁ Ποσειδώνιος «Ἀλλ' εἴπερ ἐπιγνῶμεν αὐτὸν» ἔφη, col. 2 «τί ἔσται πλέον ἡμῖν»; — «Καὶ ποῖον οὐκ ἔσται καλὸν» ὁ μά|ρτυς ἀντέφησεν «καὶ πῶς δὲ οὐ νοῦν ἔχοντος καὶ φρένας ἀνθρώπου παριδεῖν τὸ σκότος καὶ τῷ φωτὶ προσδραμεῖν».

5. Ἀφέντες τοιγαροῦν οὕτως εἰπόντα τὸν μάρτυρα πρὸς μικρόν, ἦσαν οἱ δυσσεβεῖς πρὸς χριστιανοὺς ἐνασχολούμενοι, οὓς ὁ μάρτυς θάρσους ἐνεπίμπλα καὶ τόλμης καὶ πρὸς τοὺς ἀγῶνας ἤλειφε καὶ μακαρίους ἐκάλει, τὰ μέλη τούτων κατασπαζόμενος. εἶτα ἐκείνων ἐγκλεισθέντων ἐν τῇ φυλακῇ, αὐτὸς εὐκαίρου ὥρας ἐπιτυχὼν ἐπιτίθεται νυκτὸς τῇ μητρὶ τῶν θεῶν καὶ πυρὶ τὸν ταύτης καταφλέγει ναόν. ἐπεὶ δὲ τοῦτο κατεῖδόν τινες, καὶ εἰς πολλοὺς διεδόθη, Κρονίδης ὁ λογιστὴς συλλαβόμενος αὐτὸν Ποπλίῳ τῷ ἡγεμόνι παρίf. 76ᵛ στησιν, «Οὗτος» λέγων, «ὦ ἡγεμών, ὁ νεόλεκτος || στρατιώτης, ὁ κακῶς τῇ ἡμετέρᾳ πόλει ἐπιδεδημηκώς, τόν τε ναὸν τῆς μητρὸς τῶν θεῶν ἐνέπρησε καὶ εἰς τοὺς θεοὺς ἐξύβρισε. δεῖ οὖν αὐτὸν δίκην ὑποσχεῖν τῆς τόλμης ἀξίαν».

6. Ὁ οὖν δικαστὴς μεταστειλάμενος τὸν πραιπόσιτον «Εἰ μὴ σὺ» ἔφη «ῥαθύμως διετέθης, οὐκ ἂν οὗτος ὁ πάντολμος χώραν ἔσχε τοιαῦτα ποιεῖν». ὁ δὲ «Ἐγὼ» ἔφη «μετὰ πολλὰς καὶ ἀπειλὰς καὶ ἀγαθῶν ἐπαγγελίας διάσκεψιν αὐτῷ παρέσχον, ὡς ἂν μετάθηται πρὸς τὸ βέλτιον καὶ θύσει τοῖς θεοῖς. ἐπεὶ δὲ τοιοῦτος ἐφάνη, ἔπου τοῖς νόμοις καὶ τιμώρει τοῦτον κατ' αὐτούς». καὶ ὁ ἡγεμὼν εὐθὺς τοῦ βήματος προκαθίσας ἀχθῆναι κελεύει τὸν ἅγιον καὶ δριμὺ col. 2 πρὸς αὐτὸν ἀπιδών· «Τοῦτό σοι, Θεόδωρε, ἡ διάσκεψις ἐ|χαρίσατο, τὸ ἀντὶ τοῦ θῦσαί σε καὶ λίβανον προσαγαγεῖν τῇ θεῷ πῦρ ἐκείνῃ προσενεγκεῖν;» ὁ δὲ μάρτυς οὐδὲν ὑποδειλιάσας «Ὅ μοι πέπρακται» εἶπεν, «ἡγεμών, οὐκ ἂν ἀρνηθείην· ξύλοις ἐπήγαγον πῦρ, ὥστε λίθον καυθῆναι. τοιαύτη δὲ ὑμῶν ἡ θεά, ὡς μηδὲ ἑαυτῇ βοηθῆσαι δύνασθαι». θυμωθεὶς οὖν ἐπὶ τούτοις ὁ δικαστὴς τύπτεσθαι κελεύει

Rubro: v. 3 **Ποσειδώνιος**, v. 6 **Πραιπόσιτος**, v. 10 **Ποῖον**, v. 16 **Εἶτα**, v. 25 **Μεταστειλάμενος**, v. 30 **Καὶ ὁ**, v. 34 **Μάρτυς**

3 et 9 *ποσειδόνιος* 19 *κατεῖδον τινὲς*

τὸν ἅγιον, «Ἡ τῶν ἐμῶν λόγων» εἰπὼν «ἁπαλότης θρασύτερόν σε πρὸς τὰς ἀποκρίσεις ἐποίησε, στρέβλαι δὲ καὶ πολλαὶ βάσανοι πείσουσι βασιλικοῖς προστάγμασιν εἴκειν». καὶ ὁ ἅγιος «Οὔτε σοὶ πείθομαι» ἔφη, «οὔτε τῶν σῶν φροντίζω κολάσεων. ἄλλους μὲν γὰρ ἴσως πτοήσεις δι' αὐτῶν, ἐμὲ δὲ οὐδαμῶς. ὁ γάρ κύριός μου καὶ βασιλεὺς παρίσταταί μοι κουφίζων μου τὰς ὀδύνας, ὃν σὺ οὐχ ὁρᾷς, || ἐπεὶ μὴ βλέπεις τοῖς τῆς ψυχῆς ὀφθαλμοῖς». f. 77

7. Τούτων ἀκούσαντα θυμὸς λαμβάνει τὸν δικαστὴν κἀν τῷ δεσμωτηρίῳ πάλιν Θεόδωρος κατακλείεται προνοίας πάσης ἐκτός· ἀλλ' ὁ Χριστός, δι' ὃν ὑπέμενε ταῦτα, καὶ προσῆλθε καὶ ἐπεσκέψατο καὶ «Θάρσει, Θεόδωρε», εἶπεν, «ἐγὼ γάρ εἰμι μετὰ σοῦ. καὶ οὐδὲν εἰς βρῶσιν καὶ πόσιν λήψῃ παρὰ τῶν ἀσεβῶν· ἐγὼ γάρ σε τροφῆς ἀφθάρτου καὶ ζωῆς κοινωνήσω». ταῦτα πολλὴν ἐνέσταξε τὴν χαρὰν τῷ ἁγίῳ, καὶ ψάλλειν ἤρξατο· ψάλλοντι δὲ πολὺς αὐτῷ συνᾴδων ἠκούετο ὄχλος, ὡς καὶ τοὺς δεσμοφύλακας δραμεῖν ὀψομένους, τίνες οὗτοί εἰσιν. ἰδόντες δὲ σώας μὲν τῶν θυρῶν τὰς σφραγῖδας, λευχειμόνων δὲ πλῆθος ἀκούοντες συμψαλλόντων αὐτῷ, τῷ δικαστῇ τὸ τάχος ἀ|παγγέλλουσι τοῦτο· col. 2 καὶ ὃς δρομαῖος τῇ θύρᾳ ἐπιφοιτᾷ· ἰδὼν δὲ αὐτὸ τὸ παράδοξον κύκλῳ περιίστησι τῆς φρουρᾶς στρατιώτας, χριστιανοὺς εἶναι τοὺς ἔνδον ὑπολαβών· ἐπεὶ δὲ εἰσελθὼν οὐδένα ἴδοι, ἀλλ' ἢ μόνον τὸν Χριστοῦ δοῦλον Θεόδωρον, καὶ αὐτὸν ἀσφαλῶς τῷ ξύλῳ πεπεδημένον, ἀπορίᾳ συσχεθεὶς ἐξεπλάγη· ὅμως δὲ κλείσας τὰς θύρας ἀπῆλθε, μηδὲν αὐτῷ προτρεψάμενος δίδοσθαι, εἰ μὴ οὐγκίαν ἑκάστης ἡμέρας ἄρτου καὶ βραχύτατον ὕδατος, τούτοις ὁ ἄφρων τὴν μεγάλην ψυχὴν ἐκείνην ἐλπίζων ἑλεῖν. ἀλλ' ὁ μάρτυς οὐδὲν ἐδέξατο τὸ παράπαν αὐτῶν.

8. Ἕωθεν δὲ τὸν ἅγιον ἀχθέντα πρὸς αὐτὸν λόγοις ὁ ἄνους ἐπειρᾶτο συλήσειν καὶ ἀγαθῶν ὑποσχέσεσιν, «Πείσθητί μοι» || λέγων f. 77v «πρὸ τῶν βασάνων, Θεόδωρε, καὶ εὐθὺς γράψω τοῖς βασιλεῦσι, καὶ ἀρχιερέα σε τῶν μεγάλων θεῶν καταστήσουσι». τούτων ἀκούσας ὁ μάρτυς ἐγέλασε μὲν φαιδρὸν περὶ τῆς ἀρχιερωσύνης, ἔπειτα δὲ καὶ πρὸς τὸν δικαστὴν «Εἰ καὶ πυρὶ τὰς σάρκας μου τήξεις» εἶπεν, «εἰ καὶ τὸν διὰ ξίφους θάνατον εὐθὺς ἐπαγάγῃς, οὐκ ἔξαρνος ὀφθήσομαι τοῦ Θεοῦ μου καὶ βασιλέως». ἤκουσεν ὁ τύραννος ταῦτα καὶ κελεύει ὄνυξι τὰς πλευρὰς τοῦ μάρτυρος καταξέειν. τὸ δὲ γενόμενον θέαμα χαλεπὸν ἡμέροις ἦν ὀφθαλμοῖς. εἰς τοσοῦτον γὰρ κατεξέσθη,

Rubro: v. 3 Σοί, v. 8 τού|Των, v. 13 Ταῦτα, v. 28 Ἕωθεν, v. 31 Ἀκούσας
26 ἐλπίζειν

ὡς γυμνὰ σαρκῶν τὰ ὀστᾶ δείκνυσθαι τούτου. ἀλλ' ὁ μὲν καὶ οὕτω
πάσχων δεινῶς ἡσύχως ὑπέψαλλεν· «Εὐλογήσω τὸν κύριον ἐν παντὶ
col. 2 καιρῷ· διὰ παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ | στόματί μου».

9. Ἐκπλαγεὶς οὖν ὁ τύραννος τῆς καρτερίας τὸν ἅγιον, «Εἶτα
οὐκ αἰσχύνῃ» ἔφη, «ἀθλιώτατε σύ, ἐπ' ἀνθρώπῳ τὰς ἐλπίδας ἔχων,
κακῶς καταλύσαντι τὴν ζωήν;» ὁ δὲ λίαν ἐπὶ τούτῳ τερπόμενος
«Αὕτη μοι αἰσχύνη» ἔφη «καὶ πᾶσι τοῖς ἐπικαλουμένοις τὸ τοῦ
Χριστοῦ ὄνομα». τοῦ δήμου τοίνυν ἐπιβοῶντος ὅσον οὔπω τὸν
ἅγιον παραπόλλυσθαι, ὁ ἡγεμὼν αὐτὸν ἐπηρώτα, «Θῦσαι» λέγων,
«ὦ Θεόδωρε, βούλει, ἢ καὶ ἔτι σοι τὰς κολάσεις παραταθῆναι»; καὶ
ὁ μάρτυς «Ἀσεβέστατε» ἔφη «καὶ ἀνομίας πάσης πεπληρωμένε,
υἱὲ διαβόλου, οὐδὲ φοβῇ σὺ τὸν Θεόν, ἀλλὰ προσκυνεῖν ἀψύχοις με
κελεύεις λίθοις». καὶ ἡ ἀσύνετος ἐκείνη ψυχὴ ὁ διώκτης «Τί θέλεις»
f. 78 λέγει, «μεθ' ἡμῶν εἶναι, ἢ μετὰ τοῦ Θεοῦ σου;» || καὶ ὁ ἅγιος «Μετὰ
τοῦ Χριστοῦ μου» ἔφη «καὶ ἤμην καὶ εἰμὶ καὶ ἔσομαι». εἰδὼς οὖν
ὁ δικάζων, ὅτι μηδὲν ἀνύει, τὸν διὰ πυρὸς αὐτοῦ καταψηφίζεται
θάνατον, «Θεόδωρον» εἰπὼν «ἀπειθήσαντα τῷ κράτει τῶν βασι-
λέων καὶ τῶν θεῶν, πιστεύσαντα δὲ τῷ ἐσταυρωμένῳ, πυρὶ παρα-
δοθῆναι κελεύω».

10. Καὶ αὐτίκα ξύλα τῶν δημίων συνενεγκόντων καὶ τῆς πυρᾶς
μέγιστον ἀναφθείσης, τῶν δημίων προσηλοῦν μελλόντων ὀργάνοις
τισὶ τὸν γενναῖον, «Ἄφετέ με», φησὶν ἐκεῖνος, «Χριστὸς γὰρ ὁ ἐμὸς
καὶ τῆς τῶν ἥλων ἐκτὸς ἀσφαλείας τὴν τοῦ πυρὸς ὑπομεῖναί με
καῦσιν ἐνδυναμώσει». διά τοι τοῦτο καὶ οὐ καθήλωσαν μέν, προσέ-
δησαν δέ. κἀκεῖνος τὴν τοῦ σταυροῦ σφραγῖδα τῷ μετώπῳ ἐπι-
βαλών, «Κύριε» εἶπεν «Ἰησοῦ Χριστὲ ὁ Θεός, εὐλογῶ σε, ὅτι με
col. 2 κατη|ξίωσας μερίδα σχεῖν μετὰ τῶν ἁγίων μαρτύρων σου· διὸ προσ-
δεχθείην ἐνώπιόν σου σήμερον, ὡς θυσία σοι καθαρὰ καὶ εὐάρεστος.
δὸς δέ, κύριε, καὶ τοὺς συγκατασχεθέντας τήρωνας μετ' ἐμοῦ τῶν
ἴσων ἐμοὶ κοινωνῆσαι βραβείων». οὕτως εὐξάμενος εἰς τὸ πλῆθος
ἐπεῖδε καὶ τὸν συλληφθέντα τούτῳ Κλεόνικον, τήρωνα καὶ αὐτὸν
ὄντα, ἐπίλυπον καὶ δεδακρυμένον ἰδών, «Κλεόνικε, περιμένω σε»
ἔφη, «ἀκολούθει μοι». οὕτως εἰπὼν εὐχῇ πάλιν δίδωσιν ἑαυτόν,
«Κύριε» λέγων «καὶ Θεὲ παντοκράτωρ, πρόσδεξαί μου τὴν ψυχὴν ἐν
εἰρήνῃ, ὅτι σοὶ πρέπει δόξα σὺν τῷ Υἱῷ καὶ τῷ παναγίῳ σου πνεύ-
ματι». καὶ ἅμα εἰσεπήδησε τὴν πυρὰν καὶ ὕμνον ἀταράχως ἐφαίνετο
f. 78v τοῖς χείλεσιν ᾄδων || καὶ οὕτως ἡσυχῇ τὸ πνεῦμα παρέθετο τῷ Θεῷ.

Rubro: v. 4 Οὖν, v. 8 Τοίνυν, v. 13 Καὶ, v. 20 αὐτί|Κα. v. 30 Οὕτως
9 ἐπηρῶτα
2—3 Εὐλογήσω — μου: Ps. 33 (34), 1.

11. Εὐσεβία δέ τις φερωνύμως καὶ κληθεῖσα καὶ ζῶσα, αἰτησαμένη τὸ σῶμα τοῦ μάρτυρος καὶ λαβοῦσα, οἴνῳ τε καὶ μύροις ὑπαλείψασα καὶ κηδεύσασα θήκῃ φιλοτίμῳ κατέθετο κἀν τῷ οἴκῳ αὐτῆς τῷ ἐν Εὐχαΐτοις ὄντι ὑπὸ τὴν τῶν Ἀμασέων μητρόπολιν ὥς τι χρῆμα πολυτελὲς θησαυρίζει, μνήμην ἐτήσιον ἐκτελοῦσα τῷ μάρτυρι καὶ τὸ ἱερὸν λόγιον ὡς δυνατὸν ἐκπληροῦσα· «Εἰς» γὰρ «μνημόσυνον αἰώνιόν» φησιν «ἔσται ὁ δίκαιος». εἶχε μὲν οὕτως ἡ φιλόχριστος Εὐσεβία τὸ σῶμα τοῦ μάρτυρος θησαυρὸν ἄσυλον, ἄγρυπνον φύλακα καὶ πλοῦτον ἀδάπανον. πλὴν ἀλλὰ τὴν ἐπισκιάζουσαν τῷ σώματι δύναμιν οὐκ εἶχεν αὐτὴ μόνη, ἀλλὰ καὶ πᾶς ὅστις | βοηθὸν ἐκεῖνον ἐπιβοώμενος ἦν· ἴσον γὰρ ἑαυτὸν οἶδε νέμειν col. 2 ὁ ἅγιος τοῖς πλησίον ὁμοῦ καὶ τοῖς πόρρω καὶ ὁμοίας ἁπανταχοῦ τὰς τῶν θαυμάτων ἐπιλάμπων αὐγάς.

12. Διά τοι τοῦτο καὶ τὴν τῶν πόλεων τῆς Εὐρώπης προκαθημένην καὶ βασιλεύουσαν, τὴν Κωνσταντίνου φημί, ἐμπεσεῖν ταῖς πάγαις τοῦ πονηροῦ κινδυνεύουσαν βοηθὸς αὐτόκλητος ἐπιφθάσας ἀπαθῆ κακῶν διετήρησεν. ἐπεὶ γὰρ ὁ πονηρὸς καὶ ἀρχέκακος δαίμων τὰ μὲν τῆς αὐτοῦ πλάνης ἑώρα καταλυόμενα, τὰ δὲ τῶν χριστιανῶν ἀνθοῦντα καὶ θάλλοντα καὶ πρὸς πληθυσμὸν ἀνιόντα, τοῦ μεγάλου Κωνσταντίνου τὰ χριστιανῶν ἐκθύμως ἄρτι πρεσβεύοντος, ἤσχαλλεν οὗτος, ἐδυσφόρει, ἐπεζήτει τὸν τοῖς αὐτοῦ θελήμασιν ὑπηρετησόμενον καὶ ζητῶν || — ὢ τῶν ἐμῶν κακῶν καὶ τῶν ἀδήλων τοῦ Θεοῦ f. 79 κριμάτων — εὑρίσκει. καὶ τίνα τοῦτον; Ἰουλιανὸν τὸν μισόχριστον καὶ τῆς ἀληθοῦς πίστεως παραβάτην· εὑρίσκει δὲ τῆς ἑαυτοῦ κακίας ἄξιον ὑπουργόν, δι᾽οὗ καὶ τὴν εἰδωλολατρείαν πάλιν ὁ πονηρὸς ἀνιστᾷ καὶ σπεύδει ῥίζαις αὐταῖς ἐξελεῖν τὴν ἀλήθειαν. ἔνθεν τοι καὶ διωγμὸν ἐγείρει τῶν πώποτε μνημονευομένων τὸν ἀγριώτερον. ἐπεὶ δὲ μηδὲν τῷ πλήθει τῶν τιμωριῶν ἤνυε, βουλὴν βουλεύεται ὡς λίαν ἔκτοπον καὶ πολύτροπον καὶ τοῦ πατρὸς αὐτοῦ τοῦ Σατανᾶ τυγχάνουσαν κύημα. εἰδὼς γὰρ ὁ βδελυρός, ὡς οἱ χριστιανοὶ τὰς τῶν νηστειῶν ἡμέρας καθαρὰς φυλάξαι σπεύδουσι καὶ μάλιστα κατὰ τὴν πρώτην αὐτῶν ἑβδομάδα, τὸν τῆς πόλεως ἔπαρχον μετακαλεσάμενος φησὶ πρὸς αὐτόν· «Ἐπεὶ κα|τ᾽οὐδένα τρόπον τοὺς col. 2 χριστιανοὺς εἰς τοὺς θεοὺς ἐξυβρίζοντας μεταπείσειν ἰσχύσαμεν, οὐ τιμαῖς, οὐ δωρεαῖς, οὐ κολάσεσιν, εἰς νοῦν ἦλθέ μοι καὶ ἄκοντας αὐτοὺς πεῖσαι τῶν θυσιῶν ἀπογεύσασθαι. γενέσθω σοι τοίνυν φροντὶς μηδὲν εἰς τὴν ἀγορὰν προτεθῆναι βρωτὸν ἢ ποτὸν ἐκείνων,

Rubro: v. 1 εὐ|Σεβία, v. 7 Οὕτως, v. 17 Ἐπεὶ, v. 28 Μηδὲν
10 αὐτῆι μόνη 14 εὐρόπης 20 ἤσχαλεν 25 εἰδωλολατρίαν 33 κατουδένα
6—7 Εἰς — δίκαιος: Psal. 111 (112), 6.

ἀλλ' ἢ μόνα τὰ παρ' ἡμῶν ἐκ τῶν θυσιῶν χορηγούμενα· καὶ πάντως ἀνάγκη καὶ μὴ βουλομένους αὐτῶν ἀπογεύσασθαι». ταῦτα εἶπε, καὶ τὰ τῆς βουλῆς τὸ πέρας ἐλάμβανεν.

13. Ἀλλ' ὅρα μοι τῆς τοῦ Χριστοῦ κηδεμονίας τὸ θαῦμα· τὸν λαμπρὸν ἐν μάρτυσιν ἐπιπέμπει Θεόδωρον, τὸ Θεοῦ δῶρον, τὴν ἄμαχον χριστιανῶν προστασίαν· ὃς τῷ ἀρχιερεῖ τῆς πόλεως νυκτὸς f. 79v ἐπιστὰς «Ἰουλιανὸς» ἔφησεν «ὁ βασιλεὺς διετάξατο || ἀφαιρεθῆναι μὲν κατὰ τὴν πρώτην ἑβδομάδα τῶν νηστειῶν τὰ προβεβλημένα βρώματα τῇ ἀγορᾷ, ἀντεισαχθῆναι δὲ τὰ μεμολυσμένα τῷ αἵματι τῶν ἐναγῶν θυσιῶν· ἀλλὰ σὺ διαμάρτυρε τῷ λαῷ μηδενὸς αὐτῶν ἀπογεύσασθαι». τοῦ δὲ διαπορήσαντος καὶ «Πῶς οἱ ἐνδεῶς ἔχοντες» εἰπόντος «τραφήσονται καὶ τὸν λιμὸν θεραπεύσουσιν», ὁ δίκαιος «Κόλυβά» φησιν «αὐτοῖς παρασχόμενος, τούτοις τὴν ἔνδειαν παραμύθησαι». ἐκείνου δὲ πάλιν καὶ τί ταῦτα εἴη πυνθανομένου, «Σῖτον ἑψήσας» ὁ μάρτυς εἶπεν, «τούτοις εἰς βρῶσιν διάνειμε· οὕτω γὰρ σύνηθες ἐν Εὐχαΐτοις τὸν σῖτον καλεῖν· ἐμὲ δὲ γίνωσκε εἶναι Θεόδωρον τὸν κατὰ τὴν Ἀμάσειαν ὑπὲρ Χριστοῦ μαρτυρήσαντα, παρ' οὗ καὶ ἀπέσταλμαι σωτὴρ ὑμέτερος νῦν».

col. 2 14. Ταῦτα τὸν | ἀρχιερέα μαθόντα καὶ μετακαλεσάμενον εὐθὺς τοὺς ἐν τῇ πόλει χριστιανοὺς γνωρίσαι ⟨τε⟩ τὴν τοῦ Θεοῦ πρόνοιαν καὶ τοῦ μάρτυρος αὐτοῖς τὴν ἀντίληψιν. οἱ δὲ καὶ ἐφυλάξαντο ⟨τὸ⟩ ἑαυτοὺς κατὰ τὴν εἰσήγησιν. ἐπεὶ οὖν τῆς ἑβδομάδος ἤδη πέρας λαβούσης ὁ τύραννος ἀσθενῆ τὴν ἐπίνοιαν αὐτοῦ διέγνω γενέσθαι, ἐξαιρεθῆναι μὲν κελεύει τὰ μεμιασμένα, προτεθῆναι δὲ τὰ συνήθη. ἐκ τούτου τί γίνεται; αἰσχύνη μὲν ἐκείνῳ, τοῖς δὲ χριστιανοῖς πάνδημος ἑορτή, ἣν δὴ καὶ ἐτησίως, ὦ λαμπρότατε μάρτυς, τελοῦμεν ὑπερευχαριστοῦντές σοι τῆς τοσαύτης χρηστότητος καὶ δεόμενοι μῆκος ζωῆς τῷ χρηστῷ ἡμῶν χαρισθῆναι βασιλεῖ ταῖς εἰς Χριστὸν ἱκεσίαις σου, ἰσχυρὸν αὐτῷ τὸν βραχίονα γενέσθαι κατὰ τῶν ἀντι- f. 80 πάλων, χώρας αὐτῶν τοῖς αὐτοῦ || ποσὶν ὑποταγῆναι, Ἀγαρηνῶν ἐχθίστων καταλυθῆναι τὸ θράσος, ἥσυχον ὡς ἂν τὸ βασίλειον ἕξοι, λαμπρόν, μέγιστον καὶ κραταιὸν εἰς ἅπαν, πᾶσιν εὐθηνοῦν τοῖς col. 2 καλῶν τρόπων | ἔργοις καὶ βασιλείας οὐρανῶν ἐπαξίοις· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Rubro: v. 4 ὅ|Ρα. v. 11 δια|Πορήσαντος, v. 19 Ἀρχιερέα, v. 22 Ἐπεί, v. 26 Ὦ, v. 28 Μῆκος, v. 32 Πᾶσιν

16 σύνηθεις   20 τε et 21 τὸ delevi   31 ἕξει

Μηνὶ τῷ αὐτῷ ιη'.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΑΓΑΠΗΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΣΥΝΑΩΝ.

1. Οὐχ οὕτως οἶδέ τι τῶν ἄλλων ἐμποιεῖν τοῖς φιλαρέτοις χάριν ἅμα καὶ ἡδονήν, ὡς πολιτεία δικαίου καὶ κατορθώματα διηγούμενα. ἐπεὶ οὖν οὐχ ἡδεῖα μόνον ἡ τοῦ δικαίου μνήμη, ἀλλὰ καὶ λίαν ὠφέλιμος, φέρε δὴ | καὶ ἡμεῖς τὸν μέγαν Ἀγαπητὸν εἰς μέσον col. 2 *προθέντες κοινὴν ὠφέλειαν τὰ ἐκείνου καὶ ἡδονὴν ποιήσωμεν.*

2. Ἀγαπητῷ τῷ πάνυ πατρὶς μὲν ἡ Καππαδοκῶν, πατέρες δὲ περὶ τὴν Χριστοῦ πίστιν θερμοί· ὑφ' ὧν ἀναχθεὶς οὗτος καὶ καλῶς παιδευθείς, ἔτι μὲν τὴν ἡλικίαν νέος ὢν καὶ τὸ σῶμα γεν||ναῖος, τὴν f. 80ᵛ *ἀρετὴν δὲ πολιὸς καὶ τὴν σύνεσιν, ἔν τινι μοναστηρίῳ τῶν κατὰ τὴν Συναὸν ὀρέων κειμένῳ, μεγίστῳ μὲν εἰς ἀρετῆς λόγον, μεγίστῳ δὲ καὶ τῷ πλήθει τῶν ἐν αὐτῷ συνειλεγμένων θείων ἀνδρῶν, τῆς πατρίδος ἀπαναστὰς παραγίνεται· περίπου γὰρ τοὺς χιλίους συνηθροῖσθαι τούτῳ λόγος. ἐξ ὧν τὰ κάλλιστα συλλεξάμενος ἠγαπᾶτο μὲν καὶ παρὰ πάσης τῆς ἀδελφότητος, ἠγαπᾶτο δὲ μᾶλλον καὶ παρὰ τοῦ τῆς μάνδρας ἀφηγουμένου· Ἀβραὰμ ἦν ὁ σοφὸς οὗτος καὶ τοῦ πατριάρχου συνόμιλος· ὃς τῷ διορατικῷ τῆς ψυχῆς ὀφθαλμῷ μέγαν ἔν τε βίῳ καὶ θαύμασι τὸν Ἀγαπητὸν προορῶν, ἐπεὶ παρὰ τῶν προσηκόντων ἀνηρευνᾶτό τε καὶ ἀκριβῶς ἐζητεῖτο (Διοκλητιανὸς τότε | καὶ Μαξιμιανὸς ἐβασίλευον), ἵνα μὴ τὸ τῆς* col. 2 *ἐκλογῆς τοῦτο σκεῦος τοῖς τοῦ κόσμου πράγμασι συσχεθῇ, τῶν ἐπισκόπων τινὶ παρατίθεται, διδάξας τὰ κατ' αὐτὸν καὶ οἷος ἀναφανήσεται. ὁ δὲ τοῦτον δεξάμενος δι' ὅσης ἂν εἴποις ἦγε τιμῆς, αἰδούμενος εἰ μή τί γε ἄλλο, ἀλλὰ τὰς ἀρετὰς τοῦ γενναίου, ἃς αἰδεῖσθαι πάντως καὶ πολέμιος οἶδεν.*

3. Χρόνος οὐκ ὀλίγος παρῆλθε, καὶ ἐπείπερ ὁ Ἀγαπητὸς μάθοι πεπαῦσθαι τοὺς ἐκζητοῦντας αὐτόν, τῷ ἀσκητηρίῳ πάλιν φέρων δίδωσιν ἑαυτόν, τῶν προτέρων ἢ καὶ μειζόνων τῆς ἀσκήσεως ἀγώνων ἐχόμενος· ἐπὶ τριάκοντα μὲν γὰρ ὅλοις ἔτεσι φλοιοῖς ἠρκεῖτο θερμίων μόνοις, ἀλλὰ καὶ σποδὸν ἐσθίων ἐν ὅλαις ἡμέραις ὀγδοήκοντα διετέλεσε, τὸ τοῦ θείου φάναι || Δαυὶδ ἐκπληρῶν· «Σποδὸν» f. 81

Rubro: v. 5 *Οὐχ*, v. 10 *Πάνυ*, v. 29 *Οὐκ*

Vitam in capita divisit Papadopulus-Kerameus in editione sua. 4 *συνα(ῶν) cod., ΣΥΝΑΟΥ P.-K.* 14 *συναὼν cod., em. P.-K.* 19 *Ἀβραὰμ cod.* 20 *συνόμιλλος cod., συνάμιλλος P.-K.* 32 *φλυοῖς cod., em. P.-K.*

24 *ἐκλογῆς σκεῦος*: cf. Act. 9, 15. 34 *Σποδὸν κτλ.* Psal. 101, 10.

γὰρ ἐκεῖνός φησιν «ὡσεὶ ἄρτον ἔφαγον». ὕπνου δὲ τοσούτῳ γέγονεν ἐγκρατής, ὡς ἐπὶ μίαν καὶ μόνην τῆς νυκτὸς ὥραν ἀπογεύεσθαι τούτου, τὰς δ' ἄλλας τοῖς ὕμνοις διδόναι καὶ ταῖς εὐχαῖς. εὔχρηστος ταῖς τῆς μονῆς διακονίαις ὑπῆρχε καὶ δεσπότας ὥσπερ ἔβλεπέ τε καὶ εἶχε τοὺς ἀδελφούς, τὸ ὑπερβάλλον ἐντεῦθεν τῆς ταπεινώσεως ἐνδεικνύμενος· ἁπλοῦς ἦν καὶ ἀκέραιος καὶ—τί χρὴ τὰ πολλὰ λέγειν;—πάσαις ἀρεταῖς κατάκομος.

3. Ἐξ οὗ τί γίνεται; θαυμάτων πλείστων αὐτουργὸς ὁ μέγας γνωρίζεται· τοιαῦται γὰρ αἱ τῶν κατὰ θεὸν ἀρετῶν ἀντιδόσεις. δράκοντα γάρ που τοῖς τόποις ἐμφωλεύοντα τούτοις καὶ κατὰ τοὺς col. 2 *πονηροὺς γείτονας πολλῶν κακῶν τοῖς προσοι|κοις γινόμενον αἴτιον, κτήνη τούτων καὶ αὐτοὺς δὴ τούτους λαφύσσοντα, εὐχῇ τῇ πρὸς Θεὸν θανατοῖ. ναὶ δὴ καὶ ἕτερον κατ' αὐτὸ δὴ τὸ ὄρος, ᾧ τὸ μοναστήριον ἵδρυτο, μακρῶν ἐκ χρόνων διάγοντα τοῖς ὅπλοις τῶν εὐχῶν ἐθανάτωσε. θεραπεύει παρθένον συνεχομένην ἀρρωστίᾳ δεινῇ. καὶ οὐ μόνον ταῦτα, ἀλλὰ δὴ καὶ ἕτερα πλεῖστα τελῶν καθ' ἑκάστην ἐφαίνετο θαύματα· συνείργει γὰρ αὐτῷ Χριστὸς ἐν ἅπασιν, ὁ μόνος ἀληθὴς Θεὸς ἡμῶν.*

4. Ἀλλ' οἷά σου, διάβολε, τὰ τεχνάσματα. διαβάλλεται Λικιννίῳ τῷ βασιλεῖ (γαμβρὸς δὲ οὗτος ἐπ' ἀδελφῇ τοῦ μεγάλου Κωνσταντίνου, τοῦ πρώτως χριστιανῶν βασιλεύσαντος, ἦν), ὡς εἴη γενναῖος f. 81v *ὁ Ἀγαπητὸς κατὰ σῶμα καὶ πρὸς ἀντιπάλους δεινός. ὃς || αὐτίκα τοῦτον ἀγαγών, ἐπείπερ ἴδοι μέγιστον τὸ σῶμα καὶ ῥωμαλέον, τοῖς στρατιωτικοῖς αὐτὸν ἐντάττει καὶ ἄκοντα καταλόγοις. ἀλλὰ καὶ τούτου γενομένου καὶ ὥσπερ ὑποχαυνῶσαί σου σπεύδοντος ἐντεῦθεν τοῦ πονηροῦ τὸν τῆς ἀσκήσεως τόνον, αὐτὸς οὐκ ἠμέλησας τοῦ κανόνος, Ἀγαπητὲ θαυμαστέ, ἀλλὰ καὶ μᾶλλον πλήττων κἂν τούτῳ τὸν πονηρὸν μείζονας ὥσπερ ἐπεδείκνυσο τοὺς ἀγῶνας, ὑπηρετούμενος δὴ καὶ ταῖς στρατηγικαῖς αὐταῖς λειτουργίας. οὐ μὴν ἀλλὰ καὶ νόσους αὐτῶν ὁ Ἀγαπητὸς ἐξιᾶτο παντοίας, οὐκ ἀνθρώπων μόνον, ἀλλὰ καὶ ἵππων καὶ λοιπῶν ἄλλων ζώων. ὁ ταξίαρχος οὖν τῆς ἐν ᾗ τέτακτο τάξεως, ταῦτα θεώμενος, τὴν γαμετὴν δαίμονι* col. 2 *δεινῷ προσπαλαίουσαν | ἄγει πρὸς αὐτόν, ἱκέτης ἐλεεινὸς γινόμενος τοῦ δικαίου. ὁ δὲ λανθανόντως ἐγκλεισθῆναι ταύτην κελεύει. γίνεται τοῦτο, καὶ τρισὶν ἐν ἡμέραις εὐχομένου τοῦ μάκαρος, εἰς τὴν τρίτην πεφυγάδευται τὸ δαιμόνιον καὶ ὑγιὲς τὸ γύναιον ἀπεδείκνυτο, καὶ οὕτω κῆρυξ ὁ ταξίαρχος καὶ τοῦ παραδόξου τούτου γέγονε θαύματος.*

Rubro: v. 8 ***Θαυμάτων***, v. 9 ***Δράκοντα***, v. 13 ***Ναί***, v. 15 ***Παρθένον***, v. 19 ***Ἀλλ'***, v. 25 ***Τούτου***, v. 32 ***Οὖν***

15 *δεινὴ* cod. 37 *τούτου* om. P.-K.

5. Τούτων οὕτως ἐχόντων ἆρ' ὑπέμεινεν ὁ πολύτροπος δαίμων; οὐ μὲν οὖν. διὸ καὶ παρά τινων αὐτῷ προσφιλῶν διαβάλλει τοῦτον τῷ Λικιννίῳ, ὡς εἴη περὶ τὴν στρατείαν Ἀγαπητὸς ἀμελῶν, ὧδέ τε κἀκεῖσε περιιὼν καὶ τὰς διδομένας αὐτῷ δαπάνας, ναὶ δὴ καὶ τὰ τῶν πολέμων ὅπλα διασκορπίζων ἐν τοῖς ὁμόφροσιν. εὐθὺς οὖν ἀχθεὶς καὶ πρὸς τὸ μέσον καταστάς, ἐπεὶ τὴν πο||λεμικὴν ἐμπειρίαν f. 82 κεκέλευστο ἔνοπλον ἐπιδείξασθαι, τοσοῦτον ἐξέπληξε πάντας ἔν τε τῇ μετακινήσει τοῦ σώματος καὶ τοῖς ἅλμασι, καὶ μάλιστα τὸν Λικίννιον, ὡς περιτραπῆναι τούτου τὴν ὀργὴν κατὰ τῶν συκοφαντῶν, τοῦ Θεοῦ πάντως οὕτως οἰκονομήσαντος.

6. Πληγεὶς οὖν ὁ βέβηλος κἀν τούτῳ δαίμων τῷ κόμητι τῆς τάξεως ὑποτίθησιν, ὡς γοητείαις Ἀγαπητὸς τὰς ἰάσεις, οὐκ ἐνεργείᾳ διαπράττοιτο θείᾳ· καὶ ὃς αὐτίκα τοῦτον μετεκαλεῖτο καὶ τὴν αἰτίαν ἠρώτα. καὶ ὅρα μοι τοῦ ἁγίου τὴν σύνεσιν· σιωπᾷ καὶ μηδὲν ὅλως λαλεῖ. ὅρκοις οὖν τοῦ κόμητος αὐτὸν ὑποβαλόντος εἰπεῖν, ἐκεῖνος «Οὐκ ἔγωγε» εἶπε, «Θεὸς δὲ ταῦτα οἰκονομεῖ, παρ' οὗ πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον πέφυκε δίδοσθαι». | τούτων col. 2 οὗτος ἀκούσας οὐδὲν εἰπεῖν ἄλλο προσέθετο, ἀλλ' ἔμεινεν ἡσυχάζων.

7. Μάγου δέ τινος ὄντος ἐν τῷ στρατεύματι καὶ τερατώδη τινὰ ποιοῦντος (δράκοντα γὰρ δῆθεν ἐναέριον ὁ μάγος ἐδείκνυ φερόμενον, δι' οὗ τὸ πλῆθος ἐξεδειμάτου καὶ θυσίας αὐτῷ προσάγειν ἀνέπειθεν), οἱ τῆς παρατάξεως αὐτῷ τὰ περὶ τοῦ ἁγίου ἐγνώρισαν· τοῦ δὲ μυκτηρίσαντος ὡσανεὶ τοῦτον, ἐκεῖνοι τὸν μέγαν μετεκαλέσαντο· καὶ ἐπεὶ παραγένοιτο, ὁ μάγος τὸ φάντασμα τοῦ δράκοντος ἐπεδείκνυ· καὶ εὐθὺς εὐχαῖς τοῦ μεγάλου βρονταὶ μὲν συνεχεῖς κατερρήγνυντο, ἀστραπαὶ δὲ φρικώδεις αὐτῶν ἐξετρίβοντο καὶ τὸν φαινόμενον ἐκεῖνον θῆρα σὺν τῷ μάγῳ διελικμήσαντο. ἐξέστησε τοῦτο τοὺς συνειλεγμένους ἅπαντας, ἐβεβαίωσε || πρὸς τὴν Χριστοῦ f. 82ᵛ πίστιν καὶ παρεσκεύασε βαπτισθῆναι.

8. Συνέβη δὲ τότε γυμνάσιον ἔν τινι τόπῳ τὸν στρατὸν ἐκτελεῖν, ἐν ᾧ δαιμόνων ἐπεχωρίαζε φῦλον. τεσσαράκοντα οὖν ἄνδρες ὑπολειφθέντες ἐν αὐτῷ δαιμονίᾳ πλήττονται μάστιγι, οἳ καὶ ἦσαν τὰς ἐσθῆτάς τε διαρρήξαντες καὶ δεινῶς ἐλαυνόμενοι. ὧν οἶκτον εἰληφὼς ὁ μακάριος ἰάσατό τε τούτους τῇ παρακλήσει τοῦ στρατηγέτου καὶ ὑγιεῖς τῇ τοῦ σταυροῦ σφραγῖδι πεποίηκεν.

9. Ὁδεύων δέ ποτε καὶ νεκρὸν ἄνθρωπον γυμνὸν ἐρριμμένον

Rubro: v. 1 **Οὕτως**, v. 5 **Οὖν**, v. 11 **Οὖν**, v. 19 **Μάγου**, v. 28 **Τοῦτο**, v. 30 **Συνέβη**, v. 36 ὁ|**Δεύων**

9 σακοφαντιῶν P.-K. 14 ἠρῶτα cod. 19 καὶ om. P.-K. 21 ἐξεδημάτου cod., em. P.-K. 25 ἐπεδείκνυ cod., ἐπεδείκνυε P.-K. 31 φύλον cod.

16 πᾶσα — τέλειον: cf. Iac. 1, 17.

ἰδὼν κατὰ τὴν ὁδόν, ἐπεὶ μηδὲν εἶχεν, ᾧ τοῦτον τῇ ταφῇ παραδῷ, τὴν ἀγορὰν θαρρῶν ὅμως καταλαμβάνει, τὰ πρὸς ταφὴν ὠνησόμενος· col. 2 καὶ ἅμα ψόφου τινὸς (ὦ τῶν ἀπορρήτων σου, | Χριστέ μου, κριμάτων) ἐν τῷ κόλπῳ τούτου αἰσθόμενος καὶ τὴν χεῖρα βαλὼν τοσοῦτον εὕροι, ὅσον δὴ καὶ ἀρκοῦν ἦν πρὸς τὴν τῶν ἀμφίων ἐξώνησιν· ἃ καὶ λαβὼν καὶ τὸν νεκρὸν περιστείλας τῇ προσηκούσῃ ταφῇ παραδέδωκεν.

10. Κατὰ τοῦτον οὖν τὸν καιρὸν Βικτωρίνου καὶ Δωροθέου, Θεοδούλου τε καὶ Ἀγρίππα τῶν καλλινίκων μαρτύρων, ἄλλων τε πλείστων, ὧν ἐν βίβλῳ ζώντων τὰ ὀνόματα γέγραπται, τὸν καλὸν διὰ Χριστὸν ἀνδριζομένων ἀγῶνα, συνήθλει τούτοις καὶ οὗτος καὶ βασάνων καὶ φυλακῶν συμπεπείρατο· εἰ χρὴ δὲ εἰπεῖν, καὶ κοινωνὸς αὐτοῖς γέγονε καὶ τοῦ διὰ Χριστὸν εὐκλεεστάτου θανάτου, εἰ καὶ πολλῶν εἰς σωτηρίαν συνετηρήθη ψυχῶν. καὶ γὰρ δόρατι καὶ οὗτος f. 83 πληγεὶς καιριώτατα καὶ συμπεσὼν ὡς θανὼν ‖ τοῖς θανοῦσιν, ἡ χάρις αὐτὸν τοῦ Θεοῦ διεσώσατο.

11. Λικιννίου μέντοι τοῦ δυσσεβοῦς διὰ τὸν κατὰ χριστιανῶν διωγμὸν ἐν χειροπέδαις ὑπὸ τοῦ μεγάλου Κωνσταντίνου τὴν ὑπερορίαν ἐν Θεσσαλονίκῃ κατακριθέντος καὶ τὴν ψυχὴν κακῶς ἀπορρήξαντος, τῆς οἰκουμένης δὲ καθαρὸν ἀπολαβούσης τὸ τῆς πίστεως φῶς, τῆς στρατιωτικῆς καὶ ὁ μέγας ἀπαλλάττεται λειτουργίας, ἰάσεως παιδὸς δαιμονῶντος τοῦ βασιλέως τῶν εἰς ὑπηρεσίαν αὐτῷ τεταγμένων ἑνὸς τούτῳ ταύτην χαρισαμένης.

12. Ἔνθεν τοι καὶ τὴν μονήν, ᾗ καὶ πρότερον ἐνησκεῖτο, καταλαβεῖν ἐπειγόμενος τῇ πόλει πρότερον παραβάλλει, τῷ ἀπλάστῳ τοῦ ἤθους καὶ τῷ ταπεινῷ σεμνυνόμενος. συνάξεως οὖν (οὕτω col. 2 συμβὰν) τηνικαῦτα | τελουμένης θείας καὶ δεσποτικῆς ἑορτῆς, ἀπαντᾷ πρὸς τὴν ἐκκλησίαν καὶ οὗτος. ὁ γοῦν ταύτης ἐπίσκοπος πεῖράν τινα τούτῳ προσάγων ὑπομονῆς, τοῦ ναοῦ τοῦτον ἐξάγει διά τινος τῶν διακονούντων. γέγονε τοῦτο, καὶ ὁ ἅγιος ἐνδοτέρω πάλιν εἰσελθὼν ἔστη· ὡς δὲ δὶς καὶ τρὶς τοῦτο γέγονε καὶ αὐτὸς ἔγγιστά που τοῦ βήματος εἰσιὼν ἔστη, μηδὲν τὸ σύνολον ἐφ᾽ οἷς ὑπέμεινε σκυθρωπάσας, θαῦμα τὸν ἐπίσκοπον εἶχε, καὶ ἅμα τὴν τοῦ ἀνδρὸς ἀρετὴν δήλην ἐνεποίει τῷ πλήθει καὶ τοῦτον ἀποκειράμενος τῷ τῆς ἱερωσύνης κατεκόσμησεν ἀξιώματι· ἐρημικὸν γὰρ εἶχεν εἰσέτι τὸ σχῆμα.

13. Ὁ θεῖος τοίνυν οὗτος ἀνὴρ τὸ ὄρος πάλιν καταλαβὼν τῆς

Rubro: v. 8 *Κατά*, v. 17 *Λικιννίου*, v. 37 *Ὁ θεῖος*
9 *καλινίκων* cod.
10 *ἐν βίβλῳ — γέγραπται:* cf. Phil. 4, 3.

συνήθους ἀσκήσεως ἐπεμέλετο. ‖ χρόνος παρῆλθεν οὐ πολύς, καὶ τοῦ δηλωθέντος ἐπισκόπου τὸν βίον ἀπολιπόντος, ψήφῳ κοινῇ τοὺς τῆς ἐκκλησίας ὁ Ἀγαπητὸς ἐγχειρίζεται οἴακας· καὶ ἦν τύπος ἅπασι καὶ κανών, ἀφθόνους αὐτοῖς ὁσημέραι τὰς διδασκαλίας προχέων, ναὶ δὴ καὶ τὰς ἰάσεις χορηγῶν τοῖς νοσοῦσιν. f. 83v

14. Τὴν βασιλεύουσαν οὖν ποτε χρείας καλούσης εἰσιών, τὴν Κωνσταντίνου φημί, πρὸς ἑαυτὸν τοῦτο μαθὼν ὁ μέγας ἤγαγε Κωνσταντῖνος· οὗ καὶ τῶν εὐχῶν ἀπολαύσας, μεῖναι τοῦτον ἐν τῇ βασιλευούσῃ παρακαλεῖ καὶ τὸν ταύτης θρόνον ἐμπιστευθῆναι· τοῦ δὲ μὴ βούλεσθαι τοῦτο τὸ θεῖον εἰπόντος, ὁ βασιλεὺς χρήμασι τοῦτον ἐδεξιοῦτο· ἀλλὰ μηδὲ ταῦτα καταδεχομένου λαβεῖν, ὅρκοις | αὐτὸν ὁ κρατῶν πείθει μικρά τινα χάριν φιλίας λαβεῖν. ἃ καὶ λαβὼν ἐκεῖνος, τοῖς ὅρκοις πάντως καμφθείς, τοῖς ἐνδεέσιν εὐθὺς διανέμει· ὅπερ μαθόντα τὸν βασιλέα ἔκπληξις εἶχε καὶ θαῦμα καὶ ἀληθῆ ἐπίσκοπον τὸν ἀοίδιμον ἀπεκάλει. col. 2

15. Τῆς βασιλευούσης οὖν ὁ μέγας ἀπάρας, πλοίου τε ἐπιβὰς καὶ πρὸς τὰ τοῦ Καταβόλου μέρη γενόμενος, τῆς θαλάσσης ἀνέμῳ βιαίῳ συνταραχθείσης καὶ κλύδωνος γενομένου μεγίστου, σφραγῖδι σταυροῦ κατηύνασέ τε ταύτην καὶ γαλήνης ὁρᾶσθαι μεστὴν παρεσκεύασε, καὶ οὕτω τῇ χέρσῳ προσέβαλε καὶ τάχος τὴν αὐτοῦ κατέλαβε πόλιν. σπουδὴν δὴ πολλὴν εἰσάγων τοῦ ναὸν ἀνεγεῖραι θεῖον κἀν τούτῳ τοὺς εἰρημένους μάρτυρας καταθέσθαι, τὸ τοῦ τόπου δύσβατον (πέτρα γὰρ ὑ‖περκειμένη τούτου μέγιστον τὸ ὕψος ἔχουσα, ναὶ δὴ καὶ τὸ εὖρος) ἀπεῖργεν αὐτὸν τῆς προθέσεως· ἐρρίζωτο καὶ γὰρ εἰς βάθος. χερσὶν οὖν ἀνθρωπίναις ἀδυνάτου τῆς ποσῶς μετακινήσεως αὐτῆς οὔσης, χερσὶ θείαις δι' εὐχῆς ὁ μέγας μετέστησε· ταύτῃ γὰρ ἐπιβαλὼν τὸν θεῖον τοῦ σταυροῦ τύπον καὶ τῇ εὐχῇ διανυκτερεύσας (ὢ τῶν ξένων σου θαυμάτων, Χριστὲ βασιλεῦ), ὁμαλὸς ὁ τόπος τῇ ἑξῆς ὡρᾶτο καὶ πρὸς οἰκοδομὴν ἐπιτήδειος· ἐφ' ᾧ τὸν ναὸν ἀνεγείρας καὶ καλῶς ἅμα καὶ περιφανῶς ὡραΐσας, τούτῳ τοὺς μάρτυρας ἐναπέθετο. f. 84

16. Χρόνος οὐκ ὀλίγος παρῆλθε, καὶ τοῦ προέδρου Κυζίκου (πόλις δὲ αὕτη τῆς Ἑλλησπόντου) τῶν τῇδε μετακεχωρηκότος, ὁ μέγας οὗτος ἅμα τῇ συνόδῳ τὴν πόλιν κατέλαβεν, ἐφ' ᾧ τὸν προ|στησόμενον προχειρίσονται. διαπορούντων οὖν, ὅστις ἄρα καὶ εἴη ὁ ἄξιος, τοῦτον Θεὸς τῷ ἁγίῳ διὰ νυκτερινῆς ἀποδέδειχεν ὄψεως· ὃν δὴ καὶ χειροτονήσαντες οἱ ἐπίσκοποι τὰ οἰκεῖα κατέλαβον. col. 2

Rubro: v. 6 Οὖν, v. 32 Παρῆλθε

5 νοσοῦσι cod. 23 τὸ ante ὕψος om. P.-K. 23—24 ἔχουσα), ναὶ δὴ καὶ τὸ εὖρος ἀπεῖργεν P.-K. 30 περιφανῶς cod., περιφανῆ P.-K. 33 ἑλησπόντου cod.

17. Ἀλλὰ ψάμμον ἄν τις θαλάσσης ἀριθμήσαιτο πάντως, ἢ τὰ τούτου τερατουργήματα. γυναῖκα γάρ τινα μετὰ θυγατρὸς ἐκ Νικομηδείας ἄρτι πρὸς αὐτὸν ἐρχομένην προλέγει· ᾗ δὴ καὶ προσελθούσῃ καὶ εὐχὰς ἐξαιτουμένῃ τούτου λαβεῖν αὐτὸς «Τὴν ἀπρεπῆ πρᾶξιν» ἔφη, «γύναι, κατάλιπε» (τῷ οἰκείῳ γὰρ συνεφθείρετο δούλῳ) «καὶ πρόσεχε σεαυτῇ καὶ μετανοήσασα σώθητι», δῆλον αὐτῇ καὶ τὸ ἁμάρτημα ποιησάμενος. ἡ δὲ παρὰ πᾶσαν προσδοκίαν ὡς ἤκουσεν, f. 84v ὡς ἐπέγνω, || πάντα δῆλα τῷ ἁγίῳ τὰ πεπραγμένα ποιεῖ καὶ συγχώρησιν αὐτῶν μετὰ δακρύων αἰτεῖ. καὶ μέντοι δὴ καὶ λαβοῦσα τὰ οἰκεῖα καταλαβεῖν ἔσπευδε, τὸν υἱὸν τετιμῆσθαι παρὰ βασιλέως τῇ τοῦ κανδιδάτου μαθοῦσα τιμῇ· πρὸς ἣν ὁ μέγας «Μὴ σπεῦδε, γύναι», φησί· «μετὰ τὴν τιμὴν γὰρ ὁ σὸς υἱὸς πρὸς κύριον ἐξεδήμησε». σπουδῇ τοίνυν ἡ γυνὴ τὰ οἰκεῖα.καταλαβοῦσα καὶ τὸν τοῦ παιδὸς θάνατον ἐκμαθοῦσα πάλιν πρὸς τὸν ἅγιον μετ᾽ ὀδυρμῶν ἐπανῆλθεν, ὃς καὶ παραμυθησάμενος αὐτὴν καὶ παρακαλέσας ἀπέλυσεν.

18. Κατὰ τοῦτον δὴ τὸν καιρὸν καὶ διάκονον τῆς Θρᾳκικῆς Ἡρακλείας πρὸς αὐτὸν ἀφικόμενον διήλεγξεν ὁ σοφός, κατ᾽ ἰδίαν col. 2 φήσας· «Οὐ σὺ τὴν παρθένον κυρίου ὑπὸ μίαν | ἐταπείνωσας κλίμακα»; ὃν ἀκούσαντα φρίκη συνέσχε καὶ τρόμος, «Ἡμάρτηκα» λέγοντα «τῷ κυρίῳ» μετὰ συντετριμμένης ψυχῆς καὶ δακρύων πηγῆς· ὃν ὁ συμπαθὴς πρὸς γῆν κείμενον ἀναστήσας συγγνώμης τε ἀξιοῖ καὶ μήποτε τούτοις ἁλῶναι πατρικῶς παραινεῖ.

19. Κεκέραστο δὲ τῷ δικαίῳ τὸ αὐστηρὸν ἐν τῷ συμπαθεῖ· καὶ γὰρ τὸν ἀνεψιὸν Μάρκελλον, χήραν λελυπηκότα τινά, ἐφ᾽ ὅλαις ἡμέραις τεσσαράκοντα νόσῳ χαλεπῇ παραδέδωκε καὶ οὕτω συγγνώμης ἠξίωσε, μήποτε ἄλλοτε τοιοῦτόν τι διαπράξασθαι βεβαιώσαντα.

20. Ἀλλὰ καί τινι πρεσβυτέρῳ τῆς ἐκκλησίας ὕβριν ἐπαγαγόντι πένητι θάνατον ἠπείλησε, καὶ μέντοι δὴ καὶ γέγονεν ἂν ὁ λόγος f. 85 ἔργον, εἰ μὴ ταῖς τοῦ κλήρου παντὸς || ἐπικαμφθεὶς ἱκεσίαις ἔλυσε τῷ ἀνδρὶ τὴν ὀργήν. φόβος οὖν ἅπαντας εἶχεν ἐντεῦθεν καὶ οὐδεὶς ἔκτοτε τὸν πλησίον ἐκακοποίει.

21. Τί μὴ τἆλλα τὰ παράδοξα λέγειν καὶ τῶν Μωσαϊκῶν μηδὲν ἀπολιπόμενα τεραστίων; ποταμὸν εὐχῇ μόνῃ μεθίστησι τῆς παλαιτάτης κοίτης, βλάπτοντα κατὰ τοὺς πονηροὺς γείτονας τοὺς προσοίκους, Δαμιανοῦ δεηθέντος τοῦ Σιλανδῶν ἐπισκόπου· τούτου γὰρ τὴν ἐκκλησίαν ἐπὶ μᾶλλον κατέβλαπτεν.

22. Ναὶ δὴ καὶ τῶν Δανιὴλ κρίσεων οὐδαμῶς ἀπελίπετο· ἐλεγ-

Rubro: v. 1 *Ψάμμον*, v. 2 *Τινα*, v. 16 *Τοῦτον*, v. 27 *Ἀλλὰ*, v. 32 *Τἆλλα*, v. 37 *Καὶ*
2 *ἐκ Νικομηδείας* cod., *ἐν Νικομηδείᾳ* P.-K. 28 *πένητι* om. P.-K. 34 *βλάπτοντα καὶ τοὺς προσοίκους* P.-K. 36 *κατέβλαπτε* cod. 37 *ἀπελείπετο* P.-K.

χόμενον γάρ τινα παρά τινος ἐπισκόπου ἐπὶ δεινοτάτῳ σφάλματι καὶ τῷ ἀρνεῖσθαι τοῦτον πρὸς τὴν τοῦ μεγάλου κρίσιν ἀχθέντα καὶ ταῖς αὐταῖς ἀρνήσεσιν ἐπιμένοντα | μάστιξ παιδεύει θεία, μέχρις col. 2 ὅτου καὶ ἄκων ἐξεῖπε τὰ πεπραγμένα.

23. Ἀλλὰ καί τινας μοναχοὺς ἔρεις πρὸς ἀλλήλους καὶ μάχας κινοῦντας καὶ παρὰ τοῦ Λαμψάκων προέδρου Μαρκιανοῦ (οὗ διάδοχος ὁ μέγας Παρθένιος) πρὸς τὸν δίκαιον ἀπαχθέντας, αὐτὸς τοὺς ἑκατέρων καταστείλας θυμοὺς ταῖς σοφαῖς παραινέσεσιν ἀπέλυσε χαίροντας ἐν εἰρήνῃ.

24. Οὐδὲ τῶν τοῦ ἐμοῦ Ἰησοῦ θαυμάτων μὴ γενέσθαι πράκτωρ ὁ καλὸς Ἀγαπητὸς ὑπελείφθη. νεκρὸν γὰρ καὶ οὗτος Ἑβραῖον ἀνέστησε καὶ ἀλλόμενον ἔδειξεν, οὐ τετραήμερον, ὡς ἐκεῖνος, ἀλλὰ νεαρὸν καὶ ἐφήμερον· οὗ τοὺς προσήκοντας τῷ ὑπερμεγέθει τοῦ θαύματος ἐκπλαγέντας καὶ Χριστοῦ || πίστει προσδραμόντας εὐθὺς f. 85ᵛ ἐβάπτισέ τε καὶ τῷ Χριστῷ προθύμους προσήγαγεν.

25. Ἀνδρῶν δέ τινων περικεχρεωστημένων μὲν αὐτοῖς, ἀποδοθέντων δέ, τὴν τοῦ χρεώστου θανόντος γαμετὴν καθελκόντων, ὁ μέγας σὺν αὐτοῖς τῷ τάφῳ τούτου προσεπιστὰς «Ἐν ὀνόματι Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν» φησὶ πρὸς αὐτὸν «ἀπάγγειλον ἡμῖν, ἀδελφέ, τί τοῖσδε τοῖς ἀνθρώποις ὀφείλεις»; καὶ ἅμα (ὢ τῆς ἀπείρου σου δυναστείας, Χριστὲ βασιλεῦ) ὁ νεκρὸς ἀνέστη καὶ τὴν ὀφειλὴν ἀποδοῦναι διεβεβαίου καὶ αὖθις κεκοίμητο. τί τούτου παραδοξότερον γένοιτ' ἂν ἢ ὑψηλότερον; ἀλλὰ περὶ μὲν τούτων οὕτως· ἃ δὲ καὶ πρὸς τοὺς ὑπὸ δαιμόνων πάσχοντας ἐξετέλει θαύματα, | τίς ἄρα παραστήσειε λόγος; ὅμως ὡς ἐγχωροῦν διηγητέον col. 2 καὶ περὶ τούτων καὶ ταῖς φιλοθέοις ἀκοαῖς προσθετέον.

26. Δαίμων τις χαλεπὸς ἔκ τινος ἀπελαθεὶς ὑπὸ τοῦ μεγάλου τῷ φεύγειν ἠπείλησε καὶ ἄκοντα τοῦτον ἐναγαγεῖν τῇ βασιλευούσῃ τῶν πόλεων. ὅστις δαίμων τῶν περιδόξων τῆς Κωνσταντίνου θυγάτριον ἐκμήνας δι' αὐτῆς τὸν Ἀγαπητὸν ἐπεκάλει. τοῦ πατρὸς οὖν ἐν ὀδύνῃ καρδίας τῷ βασιλεῖ προσιόντος, ἐφ' ᾧ τὸν μέγαν μετακαλέσεται, εὐθὺς ἐκεῖνος γράμμασι τὸν ἅγιον μετεστέλλετο, τοῦτον αὐτὸν ἐκπέμψας τὸν τῆς κόρης πατέρα· τῷ δὲ πρὸς ἐκεῖνον ἀφικομένῳ γράμματα δίδωσιν ὁ δίκαιος· οὐδὲ γὰρ αὐτὸς ἠνέσχετο τὴν πόλιν καταλαβεῖν, τοῦ μὴ πέρας || λαβεῖν τὴν τοῦ δαίμονος πρόρρη- f. 86 σιν. ὃς δὴ ταῦτα λαβὼν καὶ εἰσελθὼν καὶ τῇ κόρῃ προσεπιθεὶς ὑγιᾶ ταύτην καὶ ὅλως εἶχε καθεστηκυῖαν.

Rubro: v. 5 Ἀλλά, v. 10 Οὐδέ, v. 16 Τινων, v. 22 τοῦ|Του, v. 27 Τις
5 ἔρις cod., em. P.-K. 20 τοῖς om. P.-K. 28 ἠπείλησεν P.-K.

27. Ἀκρίδων πλῆθος καὶ κάμπης, τὴν χώραν πᾶσαν λυμαινομένων, ὁ μακαρίτης οὗτος εὐχαῖς ὁσίαις ἐδίωξε καὶ τοῖς ὕδασιν ἐναπέπνιξεν.

28. Ἀλλὰ καὶ κωνώπων ἐμφιλοχωρούντων τῇ τῆς αὐτοῦ πόλεως λίμνῃ καὶ λύμην ὅτι δεινὴν ἀνθρώποις τε καὶ κτήνεσιν ἐμποιούντων, ὁ θεῖος οὗτος ἀνὴρ ταῖς εἰς Θεὸν ἱκεσίαις τὴν δίωξιν ἐποιήσατο. ἐξ ἐκείνου οὖν καὶ μέχρι τοῦ νῦν ἔστιν ἰδεῖν ταῖς ἄλλαις μὲν τῶν κωμῶν καὶ πόλεων τὴν ἐξ αὐτῶν βλάβην ἐγγινομένην, μηδαμῶς δὲ τῇ Συναῷ μηδὲ κατά τι μικρόν.

29. Τόπον τινὰ πρὸς λαχάνων ἐπιτήδειον ἐργασίαν τῇ ἐκκλησίᾳ col. 2 *τοῦ περιοδευτοῦ Γερμανοῦ δωρη|σαμένου καὶ τοῦτον ἐκ μεταμέλου λαβεῖν βουληθέντος, ὁ ἅγιος μὴ δίκαιον εἶναι κρίνας τὸ ἅπαξ ἀφιερωθὲν Θεῷ κοινωθῆναι, ὅμως δὲ τῇ κρίσει τοῦτο τοῦ Θεοῦ ἀναθείς, τὸ ποτάμιον ὕδωρ, πλημμύρας ἐξ ὄμβρων γεγενημένης, ἐξιὸν κατέκλυσέ τε τὸν τόπον καὶ πελαγίζοντα δέδειχεν· ὅπερ σύνεσιν ἐνῆκε τῷ Γερμανῷ, καὶ οὐκέτι τοῦτον ἐπιζητῆσαι προσέθετο.*

30. Φορᾶς ποτε πολλῆς ὑετοῦ γενομένης καὶ τὰς οἰκοδομὰς τοῦ ναοῦ μελλούσης ἤδη τῇ γῇ καταβαλεῖν, ὁ μέγας τὴν ῥαγδαίαν ἔστησεν ἐκείνην ὁρμὴν τῇ εὐχῇ καὶ εἰς αἰθρίαν καθαρὰν τὴν ὥραν μετέβαλε, πολλὰ μὲν τῶν ὑδάτων πράγματα παρασυράντων τῶν f. 86v *πολιτῶν, μηδεμίαν δὲ τοῖς τῆς || ἐκκλησίας οἰκοδομήμασιν, ἄρτι γινομένοις, βλάβην ἐμποιησάντων.*

31. Παρθένου τινὸς παρασφαλείσης, οἷα τὰ τῆς ἡμῶν ἀσθενείας, καὶ τὴν μονὴν ἐκβάσης, ἐπείπερ διὰ μετανοίας ἐπανιοῦσαν ὁ λοιπὸς τῶν παρθένων αὐτὴν χορὸς οὐκ ἐδέχετο, τῇ προσελεύσει ταύτης τὴν μονὴν ἐκείνων ὁ συμπαθὴς κατειληφὼς πείθει ταύτας λόγοις πατρικοῖς τὸ τῆς αὐτῶν ποίμνης ἐκ πλάνης δέξασθαι πρόβατον, καὶ οὕτω τὴν ἐκκλησίαν αὖθις καταλαμβάνει.

32. Ἰᾶτο καὶ τὰ ψυχικὰ παθήματα καταλλήλως ὁ γέρων. εἴ που καὶ γάρ αὐτῷ τις παρενέβαλε μοναχός, ἢ τῶν ἐν κόσμῳ περισπωμένων, ἐγνώριζέ τε τὰ τῆς ψυχῆς ἐλαττώματα καὶ μεγάλως αὐτὸν col. 2 *ὠφελῶν ἀπέλυε. | καί τισι δὲ μοναχοῖς περί τινος διηγουμένοις πόλεως, ὡς μεγάλοις καὶ λαμπροῖς κεκόσμηται τοῖς οἰκοδομήμασιν, ὁ τοῦ Θεοῦ ἱεράρχης σεισμῷ προλέγει ταύτην καταστραφῆναι· ὃ δὴ καὶ μετά τινα χρόνον ἐγένετο. ἀλλὰ καὶ τοὺς ἀσθενοῦντας ὁ δίκαιος καὶ τῇ πενίᾳ μηδεμιᾶς ὑπό τινος ἀπολαύοντας θεραπείας τῇ ἐκκλησίᾳ μετακομίζων παντοίας ἠξίου τῆς θεραπείας· ἔμελε γὰρ*

Rubro: v. 1 *Πλῆθος*, v. 4 *Ἐμφιλοχωρούντων*, v. 10 *Τόπον*, v. 17 *Φορᾶς*, v. 29 *Τά*, v. 32 *Καί*, v. 35 *Ἀλλά*

20 *μετέβαλλε* cod., em. *P.-K.* 21 *μηδὲ μίαν* et 36 *μηδὲ μιᾶς* *P.-K.* 37 *ἔμελλε* cod.

αὐτῷ πολὺ τῶν πενήτων, ὅτι καὶ πέλαγος ἐλέους ἐτύγχανε. διδάσκων τε τὸν ὄχλον καὶ παραινῶν ἐφ' ἑκάστης οὐ διελίμπανεν, οὐ κάλλει λέξεων, νοημάτων δὲ καὶ θεοπρεπῶν.

33. Ἐπέστελλε δὲ καὶ τοῖς πόρρω καὶ συνεβούλευε τὰ χρηστὰ καὶ παντοίως ἦν τῆς ἁπάντων σωτηρίας φροντίζων. καὶ γὰρ || *f. 87* διάκονόν τινα τῆς ὑπ' αὐτὸν ἐκκλησίας φθορέα γνοὺς παρθένου γεγενημένον οὐκ ἀπώσατο μέν, ἐπαίδευσε δὲ λόγοις σοφοῖς καὶ διὰ μετανοίας τὴν σωτηρίαν αὐτῷ προεξένησε, τοῦ ἱερᾶσθαι μόνον κατὰ τοὺς ἱεροὺς κανόνας κωλύσας αὐτόν. ἀλλὰ καί τινα διάκονον ἄλλον ἐν ἐπιτιμίοις ὄντα καὶ μήπω τὸ πρότερον ἀπονιψάμενον σφάλμα, κλοπῆς ἁλόντα (βοῦν γὰρ ἐκεκλόφει τοῦ γείτονος), ὁ μέγας παραστησάμενος διήλεγξέ τε τοῦτον καὶ τὰ πρὸς σωτηρίαν ἐδίδαξεν.

34. Ἤιδει δὲ καὶ τοὺς ἐν ἀρετῇ διαπρέποντας ὁ σοφός. λαϊκὸν καὶ γάρ τινα διδάξαι τὸ πλῆθος τῶν συνάξεων ἐν μιᾷ τὰ πρὸς σωτηρίαν εὐδόκησε· καὶ ὃς τοῦτο ποιήσας καὶ ἀποδεχθεὶς (οὐδὲ γὰρ ἐνῆν τοῦ κελεύοντος | *col. 2* παρακοῦσαι) μετὰ τὴν διδαχὴν μὴ εἰδέναι πᾶσι διεπίστου τῶν λεγομένων τὴν δύναμιν ἢ τί καὶ φθέγγοιτο τὸ παράπαν.

35. Πλουσίου δέ τινος ἀνδρὸς γήδιον πένητος ὑφελομένου, ὁ πένης ἀμηχανῶν τῷ καλῷ τούτῳ προσῆλθε πατρί. ὁ δὲ τὸν πλούσιον παρεκάλει τῷ πένητι τὸ ἴδιον παρασχεῖν, καὶ ἐπεὶ μὴ πειθόμενον εἶχεν, ἀλλ' ἰδιοποιούμενον τὸ ἀλλότριον, κρίσιν ἐξήνεγκε δικαίαν ὡς ἀληθῶς καὶ σοφήν· «Εἰ μὲν» γάρ φησι «σὸν τὸ γήδιον, καὶ καρποὺς σοι παρέξει πάντως· εἰ δὲ τοῦ πένητος, ἄκαρπον μείνοι καὶ τούτῳ δοθήσεται». γίνεται τοῦτο, καὶ λαμβάνει τὸ ἴδιον ὁ πτωχός.

36. Δαιμονῶν τις ἤχθη πρὸς τὸν πανόσιον δυσὶ πεπεδημένος ἁλύσεσιν. || *f. 87v* ὁ δαίμων ταύτας συντρίβει μέγα κεκραγώς, ὡς δυνατὸς εἴη τοῦτο ποιεῖν. δεσμεῖ τὸν δαιμονῶντα ὁ ἅγιος, σταυρὸν ἐπιβάλλει καί φησι πρὸς ἐκεῖνον· «Ὄψομαί σε τοίνυν, εἰ ταύτας αὖθις συντρίψεις». φεύγει τὸ δαιμόνιον ὡς ὑπὸ πυρὸς διωκόμενον, καὶ ὑγιὴς ὁ ἄνθρωπος ἀποδείκνυται.

37. Ἑπτὰ παρθένοι πνεύμασι κατάσχετοι πονηροῖς λάθρα συνῆλθον τῷ πλήθει βαπτισθῆναι παρὰ τοῦ μάκαρος. ἔγνω τῷ πνεύματι τῷ ἁγίῳ τὸ τοιοῦτον ὁ δίκαιος καὶ διαστήσας τῶν ἄλλων αὐτάς, μεθ' ὃ τοῦ βαπτίσματος τὸν ὄχλον ἠξίωσε, βαπτίζει καὶ ταύτας καὶ τῶν δαιμόνων ἐλευθεροῖ.

Rubro: v. 6 *Διάκονον*, v. 9 *Καί*, v. 14 *Καί*, v. 20 *Δέ*, v. 27 *Τις*, v. 33 *παρ|θένοι*
5 *παντοῖος ἦν?* 10 *ἀπονειψάμενον cod., em. P.-K.* 11 *ἀλῶντα cod., em. P.-K.* 14 *Ἤιδει cod., Ἤδη P.-K.* 34 *ἔγνωι cod., em. P.-K.*

38. Ἄλλον δέ τινα δηχθέντα δεινῶς ὑπὸ ὄφεως καὶ πρὸς τὸν col. 2 μέγαν τοῦτον ἀχθέντα καὶ τελευτᾶν ἤδη μέλ|λοντα, ἐξώγκωτο γάρ, ὁ θαυματουργὸς σφραγῖδα τῷ δήγματι σταυροῦ προσβαλὼν τὸν ἰὸν ἐξεκένωσε καὶ τὸν ἄνθρωπον ὅλως ἀποκατέστησεν ὑγιῆ.

39. Ποταμός τις, κώμῃ τινὶ παραρρέων, τῶν γειτόνων τοὺς καρποὺς πλημμυρῶν ἐλυμαίνετο. ἐν μιᾷ οὖν ἤδη τὴν ὁρμὴν ποιουμένου τοῦ ὕδατος, τῇ ὄχθῃ τις τοῦ ποταμοῦ τάχος ἐπιστὰς «Τὴν ὀρθὴν» ἔφη «βάδισον, μηδὲν τοὺς γείτονας καταβλάπτων· ἢ μὴν πορευθεὶς ἀπαγγελῶ τῷ Ἀγαπητῷ τὸ πραττόμενον». οὕτω τοῦ ἀνδρὸς εἰρηκότος (ὢ τῶν ἀπορρήτων σου κριμάτων, Χριστὲ ἄναξ), ἐξέκλινε τῆς ὁρμῆς τὸ ὕδωρ καὶ ἀβλαβεῖς τοὺς ἐκεῖσε τετήρηκεν.

40. Κώμην ἄλλην κατῴκουν τινὲς τῶν Ἑλλήνων· βλάβην ὁμοίως f. 88 ὑπὸ τοῦ γείτονος ὑπέμενον || ποταμοῦ. προσῆλθον οὗτοι τῷ μάκαρι. εὐχαῖς ἐκεῖνος λύει τὴν βλάβην· τοῦ παρακειμένου γὰρ ὄρους τῷ ποταμῷ κατά τι μέρος διαιρεθέντος καὶ σχισμῆς ὅτι μεγίστης γεγενημένης, τοῦ ποταμοῦ διαδύντος ἐν αὐτῇ, διεσώθησαν οἱ πρόσοικοι τῆς ἐλπιζομένης κακώσεως· ἔνθεν τοι καὶ παραχρῆμα τῷ θείῳ βαπτίσματι ἐφωτίσθησαν καὶ τῷ Χριστῷ προσηνέχθησαν.

41. Καί τινα προσενηνόχασιν αὐτῷ δαιμονίᾳ πεπληγμένον ἄνθρωπον μάστιγι. τοῦ πονηροῦ δὲ τούτου δαίμονος τὴν δίωξιν γνόντος καὶ ὥσπερ βουληθέντος πάθος τι τῷ στομάχῳ τοῦ ἀνθρώπου παραλιπεῖν, ὁ μέγας εἰς τὸ οὖς ἐγκύψας τοῦ πάσχοντος, «Μὴ βούλου τὸν ἄνδρα βλάπτειν» εἶπε πρὸς τὸ δαιμόνιον, «ἀλλ' col. 2 ἔξελθε ταχέως· οὐ|κ ἔξεσται σοι γάρ». τότε τοίνυν ὡς ὑπὸ μάστιγος ὁ δαίμων ἐλαυνόμενος ἀπηλάθη. καὶ ταῦτα μὲν οὕτως.

42. Τὸ δὲ ταπεινὸν τοῦ δικαίου, τὸ δὲ ἥμερον, τὸ δὲ πρᾶον τίς ἂν παραστήσειε λόγος; ὅμως ὡς ἐνὸν πειράσομαι. διὰ τὴν τοῦ σώματος ἀνάγκην βαλανείῳ προσελθεῖν διὰ μακρῶν τῶν χρόνων ὁ μέγας διενοήθη, καί τις τῶν ὑπερηφάνων τὸ εὐτελὲς αὐτοῦ καὶ ἀπέριττον θεασάμενος, ἐπεὶ διαβαίνων μὴ ὄρθιον ἴδοι τὸν δίκαιον, τύπτειν αὐτὸν ἐπεχείρει. καρτερεῖ τοῦτο σοφῶς ὁ σοφὸς καὶ περιπλοκαῖς ἐκεῖνον μᾶλλον ἠσπάζετο. μανθάνει τὸν μέγαν, ὅστις ἦν, ὁ τετυφὼς καὶ ποσὶν αὐτοῦ ῥίψας ἑαυτὸν συγγνώμην ᾐτεῖτο τοῦ f. 88v παραπτώματος, ἧς δὴ παρὰ τοῦ || συμπαθοῦς καὶ τετύχηκεν. εἰσιὼν οὖν ὅμως εἰς τὸ βαλανεῖον καὶ θεραπεύσας τὸ σῶμα τοῖς ὕδασιν ἔξεισι χερσὶν ἀπομάττων αὐτό· καὶ ἐπεί, τρισσάκις τοῦτο ποιήσας,

Rubro: v. 1 Δέ, v. 5 Ποταμός, v. 12 Κώμην, v. 19 προ|σενηνόχασι, v. 27 Διά, v. 35 Εἰς

1 ὄφεως cod., ὄφεος P.-K. 2 ἐξώγκοτο cod., em. P.-K. 8 καταβλάπτῶν cod., καταβλάπτον P.-K. 11 τετήρηκε cod. 36 τρισάκις cod., em. P.-K.

οὐδεὶς ἦν ὁ κἂν περικάλυμμά τι καὶ ἔκμακτρον αὐτῷ παρεξόμενος, μὴ ἀνασχόμενος ἐκεῖνος τὸ ἀσυμπαθὲς αὐτῶν (καὶ γάρ, ὡς οἶμαι, δοκιμὴν τὸ πρᾶγμα πεποίητο) τοῖς αὐστηροτέροις πρὸς αὐτοὺς ἐχρήσατο λόγοις, «Εἰ ἐμὲ οὕτως» εἰπὼν «καταλελοίπατε, τὸν ὑμῖν συνήθη καὶ γνώριμον, μηδένα μου οἶκτον τὸ παράπαν λαβόντες, πότε ἄρα εὐμενῶς ἐπίδοιτε ξένον»; τούτοις τὸ σκληρὸν ἐκείνων μαλάξας οἴκαδε ἄπεισιν.

43. Ἄλλοτε γυμνῷ τινι πένητι ἐντυχών, τὸ ἴδιον ἀποδὺς στιχάριον δέδωκε, γυμνὸς αὐτὸς | μετὰ μόνου τοῦ βιρίου, ὃ μανδύαν col. 2 *σύνηθες ὀνομάζειν, ὑπολειφθείς. ἐρωτώμενος οὖν, εἴ τι καὶ γένοιτο καὶ ποῦ τὸ ἱμάτιον, ἐκεῖνος τῷ κναφεῖ δοθῆναι ἀπήγγελλεν.*

44. Τὴν ὁδὸν ὁ μέγας ποτὲ διιὼν καί τινα γεωργὸν τὸ ἴδιον ἐργαζόμενον γήδιον κατιδών, «Οὗτος» ἔφη τοῖς συνοῦσιν αὐτῷ «μετὰ δύο ἡμέρας τεθνήξεται». γίνεται τοῦτο, καὶ τὸ προρρηθὲν ἐξέπληξε τοὺς ἀκούσαντας.

45. Δαίμονα τόπῳ τινὶ κακῶς ἐφεδρεύοντα καὶ παραβλάπτοντα τοὺς ὁδίτας καί τινας αὐτῶν ἀποπνίγοντα δι' εὐχῆς τοῦτο μεμαθηκὼς ὁ πανόσιος ἀπεδίωξεν.

46. Παῖδά τινος ἀπίστου δαίμονι κατάσχετον οἱ προσήκοντες τῷ ἁγίῳ κομίζουσιν· ὁ δὲ τοῦτον μὲν τοῦ δαίμονος, αὐτοὺς δὲ τῆς ἀπιστίας ἰᾶται || καὶ τῷ Χριστῷ προσάγει διὰ τοῦ βαπτίσματος. f. 89

47. Τῶν οἰκοδόμων τῆς ἐκκλησίας ἑνὸς αὐθωρόν, μηδὲν νοσήσαντος, τεθνηκότος, ὁ μέγας τῇ τῶν λοιπῶν ἀνέστησε παρακλήσει, παραγγείλας αὐτῷ μὴ ἐκεῖθεν ἀπαναστῆναι διὰ πάσης αὐτοῦ τῆς ζωῆς. μετὰ γοῦν τινα χρόνον πειραθέντα τὸν ἄνδρα μεταβῆναι τοῦ τόπου πήρωσις ὀφθαλμῶν καταλαμβάνει δεινή, καὶ τοῦτον οἱ προσήκοντες τῷ μεγάλῳ κομίσαντες χειρὸς αὐτοῦ προσψαύσει ἠνεῳγμένους ἔχοντα τοὺς ὀφθαλμοὺς ἀπελάμβανον.

48. Πολύ τι τῶν θαυμάτων τὸ πλῆθος καὶ ἀσθενὴς ὁ λόγος, καὶ τί πράξω οὐκ οἶδα. θαρρῶν οὖν ὅμως τῇ τοῦ μεγάλου δυνάμει καὶ ταῦτα δώσω τῇ διηγήσει. κίονας παμμεγέθεις καὶ | κατὰ ἀνθρω- col. 2 *πίνην σχεδὸν ἰσχὺν ἀκινήτους τῇ τούτου ζώνῃ ζωσθέντας εὐπετεῖς εἶχον οἱ ἕλκοντες καὶ μέχρι τοῦ ναοῦ διεκόμιζον· οἳ καὶ θαυμάζοντες δόξαν τὴν προσήκουσαν τῷ Θεῷ ἀπεδίδουν. χεῖρά τινος τῶν διακόνων τῇ πολυγλωττίᾳ τούτου κρίμασιν ἀπορρήτοις ἀκίνητον μείνασαν ὁ ἅγιος τὴν αἰτίαν εἰπὼν ἰάσατό τε καὶ ὑγιῆ ἀποδέδειχεν.*

49. Καὶ περὶ μὲν τούτων οὕτως, τὰ δ' ἄλλα σοφοὺς ἐπεστόμιζε,

Rubro: v. 8 *Ἄλλοτε*, v. 12 *Τὴν*, v. 16 *Δαίμονα*, v. 19 *Παῖδα*, v. 22 *Τῶν*, v. 25 *Γοῦν*, v. 29 *Θαυμάτων*, v. 31 *Κίονας*, v. 34 *Τινος*, v. 37 *Τὰ*

1 *καὶ ἔκμακτρον* cod., *ἢ ἔκμ.* P.-K. 10 *ὑποληφθεὶς* cod., em. P.-K. 27 *τῷ μεγάλῳ κομίσαντες* om. P.-K.

τοὺς κατὰ θάλασσαν κινδυνεύοντας ἔσωζε, τοὺς ἐν τοῖς δεσμοῖς ἐξῆγε, τοὺς κατὰ ψυχὴν παρασφάλλοντας ἐπηνώρθου καὶ παντοῖος ἦν τὴν σωτηρίαν τῶν ἀνθρώπων πραγματευόμενος· ἱερεῖς μὲν γὰρ f. 89v ἁμαρτάνοντας καὶ πόρρω καθήμενος || ἐπαγωγαῖς μετρίων νοσημάτων τῆς παρανομίας ἀφίστα, ἔτι μὴν ὁμοίως καὶ λαϊκούς. καὶ γυναῖκα δέ τινα πρὸς ἁμαρτίαν ἐπ᾽ ὀχήματος ἀπιοῦσαν, τοῦ χαλινοῦ τούτου δραξάμενος, διελέγξας ἔστησε τῆς ὁρμῆς· καὶ ταύτην τοῖς ποσὶν αὐτοῦ προσπεσοῦσαν καὶ συγχώρησιν αἰτουμένην οὐ παρεβλέψατο, ἀλλὰ καὶ ἐπαίδευσεν καὶ τοῦ πάθους ἀνέστειλε καὶ πρὸς τὰ οἰκεῖα χαίρουσαν ἐξαπέστειλεν.

50. Κατὰ τοῦτον δὴ τὸν καιρὸν καὶ Παρθενίου τοῦ Λαμψάκων προέδρου ἐπὶ τὴν τῆς ἀρχιερωσύνης μέλλοντος ἀναβιβασθῆναι καθέδραν, καὶ ὁ μέγας Ἀγαπητὸς πρὸς αὐτὸν παραγίνεται πνευματικῶς αὐτῷ συνευφρανθησόμενος.

col. 2 51. Βαδίζων δέ ποτε κατὰ τὸν αἰγιαλὸν τῆς θα|λάσσης ὁρᾷ πλοιαρίῳ τινὰ διαπλέοντα καὶ ὅσον οὔπω τῇ τῶν κυμάτων ἐπαναστάσει βυθίζεσθαι μέλλοντα. ἐπιτιμήσας οὖν τοῖς ὕδασι καὶ γαλήνην ἐποίησε καὶ τὸν πλωτῆρα διέσωσεν.

52. Οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ ἄλλα πλεῖστα διαπραξάμενος ἐκεῖσε θαύματα, τὴν οἰκείαν πόλιν κατέλαβε, πολλὰ καθ᾽ ἑκάστην ἐκτελῶν τὰ παράδοξα· πολλοὺς γὰρ παραβάλλοντας εἰς αὐτὸν ἐλέγχων καὶ διδάσκων πρὸς μετάνοιαν ἦγε, τὰς κρυπτὰς αὐτῶν πράξεις εἰς ὠφέλειαν ψυχῆς φανερὰς καθιστῶν· καὶ ἵνα μὴ μηκύνω τὸν λόγον ταῖς κατὰ μέρος τούτων ἐπεξηγήσεσιν, ἑνὸς ἢ καὶ δύο τῶν μεγάλων τοῦ μεγάλου θαυμάτων ἀπομνημονεύσας ἔτι τῷ τέλει τούτου συγκαταλύσω τὸν λόγον.

f. 90 53. Λόφος τις κατὰ ἀνατολὰς || τῆς οἰκοδομηθείσης ὑπ᾽ αὐτοῦ κείμενος ἐκκλησίας ἀφεγγῆ ταύτην ἐποίει καὶ ὥσπερ ἀνήλιον· ὅπερ οὐ μικρῶς ἐλύπει τὸν ἅγιον. μιᾷ γοῦν τῶν ἡμερῶν ἀναβὰς ἐν αὐτῷ καὶ πρὸς οὐρανὸν ἐκτείνας τὰς χεῖρας συντόνως ἐδέετο μετὰ δακρύων καὶ θερμῶς τοῦ Θεοῦ μὴ περιιδεῖν οὕτω τὴν ἐκκλησίαν ἔχουσαν, ἀλλ᾽ ἐκποδὼν γενέσθαι τὸ ἐμποδὼν καὶ χύσιν δέξασθαι ταύτην καθαρωτάτου φωτός. ἔφη, καὶ ἅμα τῷ καταβῆναι τοῦ λόφου (τίς μὴ θαυμάσει, Χριστέ μου, τὴν ὑπὲρ λόγον ἰσχύν σου;) ἐκκοπεὶς ὁ λόφος τῆς ἐν ᾗπερ ἥδραστο γῆς πρὸς τὴν ἐκεῖσε πλησιάζουσαν κοιλάδα τάχος ἐξέδραμε καὶ οὕτως ἐλεύθερον τὸ φῶς ἐχαρίσατο τῷ col. 2 ναῷ. καὶ μηδεὶς εἰς τοῦτο διστάσῃ τῆς κυριακῆς ἀκούων φωνῆς· |

Rubro: v. 6 γυ|Ναῖκα, v. 11 Κατὰ, v. 15 Βαδίζων, v. 27 Λόφος

28 ἀμνήλιον esse in cod. falso dicit P.-K. 34 θαυμάσει cod., θαυμάσῃ P.-K. 37 διστάσει cod., em. P.-K.

«Ἐὰν ἔχητε» γάρ φησι «πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ Μετάβηθι ἐντεῦθεν ἐκεῖ, καὶ μεταβήσεται». καὶ τοῦτο μὲν οὕτως.

54. Γυναῖκα δέ τινα δεινὸν ὄφιν ἐγγάστριον φέρουσαν ἄγουσί ποτε πρὸς αὐτόν, καὶ ἐπεὶ δεινῶς ἐξώγκωτο τὴν γαστέρα καὶ ἐγκυμονεῖν ἐδόκει, οὐχὶ δὲ θῆρα φέρειν, κἀντεῦθεν ὁ θάνατος ἐφίστατο ταύτῃ, ὁ σοφὸς Ἀγαπητὸς τῷ πνεύματι γνοὺς οἷα πάσχει τὸ γύναιον, ὅμως «Ὅσος δὴ καὶ παρειλκύσθη χρόνος» ἤρετο «ἀφ' οὗπερ· ἔσχες, γύναι, κατὰ γαστρός»; τῆς δὲ «Τρισκαίδεκα μῆνες, πάτερ», εἰπούσης, ὁ μέγας σφραγῖδα σταυροῦ τῇ κοιλίᾳ ταύτης ἐγχαραξάμενος καὶ τὸ τοῦ Χριστοῦ ἐπικαλεσάμενος ὄνομα τῆς ἕδρας τοῦ γυναίου τὸ θηρίον πεσεῖν παρεσκεύασε, || f. 90v δρακοντόμορφον τοῖς παροῦσιν ἀναφανέν. αὐτίκα τοίνυν βροντῶν γενομένων καὶ συνεχῶν ἀστραπῶν, ὁ δεινὸς ὄφις ἀπετεφρώθη καὶ εἰς χοῦν ἐλεπτύνθη, τῆς γυναικὸς ἀβλαβοῦς τὸ παράπαν συντηρηθείσης.

55. Ἐπισκόπῳ τινὶ παραβαλόντι ποτὲ περὶ ὠφελείας ὁ ἅγιος ὡμίλει ψυχῆς, καὶ αἴφνης ἐν ἐκστάσει γενόμενος, ἔτι τὸν λόγον ἐπὶ στόματος ἔχων, ὅλος ἦν ἀπηνεωμένος καὶ νεκρῷ σχεδὸν παραπλήσιος· ὃν οὕτως ἔχοντα θεασάμενος ὁ ἐπίσκοπος ὕδατι τούτου τὸ πρόσωπον κατερράντιζεν, ἕλκειν τε ἐπεχείρει καὶ φωνὰς ἠφίει· οὐδενὸς οὖν ὁ μέγας οὐδαμῶς τούτων ἐπέγνω, ἕως ἡ θεωρία διέβη, καὶ πρὸς ἑαυτὸν ἐπανῆκε· τότε γάρ, τοῦ ἐπισκόπου διηγου|μένου col. 2 τὰ περὶ τούτων, ὁ ἅγιος μηδὲν ὅλως εἰδέναι τούτων διεβεβαίου. καὶ οὕτω μὲν καὶ τὰ περὶ τούτου.

56. Ἐπεὶ δὲ ἔδει καὶ αὐτὸν ἄνθρωπον ὄντα τῷ κοινῷ νόμῳ λειτουργῆσαι τῆς φύσεως, καὶ διέγνωσται τούτῳ, παραλαβὼν ἕνα τῶν ἱερέων τὸ ἀσκητήριον ὡς εἶχε κατέλαβε· καὶ ἐπείπερ ἴδοι τοὺς ἀδελφοὺς πολλῇ κεχρημένους τῇ κατὰ Θεὸν εὐλαβείᾳ, εὐφράνθη τῷ πνεύματι καί φησι πρὸς αὐτούς· «Εὔχεσθαι, τέκνα ἐν κυρίῳ ἀγαπητά, ὑπὲρ ἐμοῦ μὴ ἐλλίποιτε». καὶ οὕτως αὐτοὺς ἀσπασάμενος τὴν ἰδίαν ἐκκλησίαν κατέλαβε, καί τινα μικρὸν ἐπινοσήσας χρόνον καὶ τὰ σωτήρια τῷ τε κλήρῳ παντὶ καὶ τοῖς πολίταις αὐτοῖς γνησίως ὑπερευξάμενος, χερσὶν ἀγγέλων τὴν μακαρίαν ὄντως ψυχὴν ἐναπέθετο. ὀκτωκαι|| f. 91 δεκάτην ἔτρεχεν ὁ Φεβρουάριος μήν.

57. Πολλῶν οὖν συνδεδραμηκότων, ὦ πανάγιε πάτερ καὶ ἄνθρωπε τοῦ Θεοῦ καὶ πιστὲ θεράπων καὶ λειτουργὲ τοῦ κυρίου, Ἀγα-

Rubro: v. 4 Γυναῖκα, v. 16 Ἐπισκόπῳ, v. 25 Ἐπεί, v. 35 Οὖν

6 θάνατος cod., θαυμαστὸς P.-K. 17 ὡμίλει ψυχῆς cod., ὡμίλει περὶ ψυχῆς P.-K. 21 ἐπέγνοι cod., em. P.-K. ἡ ante θεωρία om. P.-K. 22 ἑαυτὸν cod., αὐτὸν P.-K.

1 Ἐὰν — μεταβήσεται: Matth. 17, 20.

πητὲ θαυμαστέ, πρὸς τὴν μακαρίαν ἐκείνην σου τελευτήν, ὁ μέν τις αὐτῶν τρίχα σου λαβεῖν τιμίαν ἠβούλετο, ὁ δὲ καί τι ῥῆγμα μικρὸν τῶν σῶν ἱματίων εἰς εὐλογίαν, ἄλλος καὶ χρωτὸς αὐτοῦ προσψαῦσαί σου μόνον ἤθελεν, ὃς δὲ καὶ ὑπὸ τὴν σκιὰν τοῦ παντίμου σου σκήνους γενέσθαι, ὡς ἐντεῦθεν πιστεύοντες ὠφελείας τυχεῖν. μόλις οὖν τὰς χεῖρας τοῦ πλήθους τὸ καθαρόν σου σῶμα διαφυγὸν τῷ τάφῳ τῶν πατέρων ἐδόθη. καὶ νῦν θαύματα πλεῖστα καθ᾽ ἑκάστην col. 2 *ἰδεῖν ἔστι τὴν ἡμέραν ἐκεῖσε τελούμενα· τῆς συμπαθοῦς | ἐκείνης σου γνώρισμα τοῦτο καὶ μεγάλης ψυχῆς.*

58. *Πρόστηθι τοίνυν καὶ βασιλέως ἡμῶν τοῦ πιστοῦ καὶ πᾶσι κεκοσμημένου τρόποις τοῖς ἀγαθοῖς, καὶ χάρισαι τούτῳ ὧδε μὲν μῆκος ζωῆς χαριεστάτης καὶ ἀπαθοῦς, ἰσχὺν καὶ δύναμιν κραταιὰν κατ᾽ ἐχθρῶν, χώρας αὐτῶν τὴν κατάλυσιν, Ἀγαρηνῶν ἀνομούντων τὴν ἐξολόθρευσιν καὶ πάσης νικοποιοῦ δυνάμεως παροχήν· αὐτόθι δέ, μετὰ τὸν ἐνθένδε σαββατισμόν, ἡλίου τοῦ νοητοῦ τὴν ἔλλαμψιν, λειμώνων θείων τὴν τέρψιν, πάντων δικαίων τὴν συναρίθμησιν καὶ βασιλείας Θεοῦ τὴν ἀπόλαυσιν· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

---

f. 91v *Μηνὶ τῷ αὐτῷ ιθ΄.*

ΜΑΡΤΥΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΜΑΞΙΜΟΥ, ΘΕΟΔΟΤΟΥ ΚΑΙ ΑΣΚΛΗΠΙΟΔΟΤΗΣ.

1. *Μαξιμιανοῦ τοῦ τυράννου πολλῇ περὶ τὰ εἴδωλα τῇ σπουδῇ κεχρημένου πάντες οἱ τῆς τοῦ Χριστοῦ μερίδος συνελαμβάνοντο καὶ βασάνων πολυτρόπων ἰδέαις ὑποβαλλόμενοι οὕτω καὶ τὸν θάνατον κατεκρίνοντο. κατὰ γοῦν τοὺς χρόνους ἐκείνους Μάξιμος ὁ κλεινὸς καὶ Ἀσκληπιοδότη, τὸ καλὸν ἐν μάρτυσι θέαμα, τοῖς* col. 2 *ἄρχουσι τῆς Μαρκιανουπόλεως, ἥτις | πρὸς δυσμὰς κειμένη φαίνεται τῆς Εὐρώπης, ὑπὸ τοῦ χιλιάρχου προσενεχθέντες καὶ περὶ τῆς ἐν Χριστῷ καλλίστης ὁμολογίας ἀνακριθέντες, τοῦτον μὴ ἀρνησάμενοι, ἀλλὰ δεσπότην καὶ ποιητὴν οὐρανοῦ τε καὶ γῆς καὶ τῶν ἐν αὐτοῖς ἀνομολογήσαντες, τῇ φυλακῇ παρεδόθησαν ἄχρις αὐτῆς ἐπιστασίας τοῦ βικαρίου.*

Rubro: v. 12 *Μῆκος*, v. 16 *Πάντων*, v. 22 *Μαξιμιανοῦ*, v. 25 *Χρόνους*

2 *τρίχασ(ου) — τιμίαν* cod., *τρίχας — τιμίας* P.-K. 12 *καὶ δύναμιν κραταιὰν* om. P.-K.

2. Μετὰ δέ τινα χρόνον ὁ τῆς Θρᾴκης ἡγεμὼν Τῆρις οὕτω καλούμενος κατὰ τὴν Μαξιμιανοῦ κέλευσιν τὰς πόλεις πάσας περι||ιὼν εἰς τὴν τῶν χριστιανῶν ἀναζήτησιν καὶ τούτους εὑρίσκων f. 92 καὶ χαλεπῶς τιμωρούμενος, εἶτα δὲ καὶ θάνατον αὐτοῖς τὸ τελευταῖον καταδικάζων, ἔφθασε καὶ μέχρις αὐτῆς τῆς εἰρημένης πόλεως καὶ ταύτην εἰσιὼν καὶ τὰ περὶ τῶν ἁγίων τούτων ἀναμαθὼν αὐτίκα τῷ βήματι τούτους παραστῆναί κελεύει καί φησι πρὸς τὸν Μάξιμον· «Λέγε σου τὸ ὄνομα καὶ τὴν πόλιν, ἄνθρωπε, καὶ ποῖον ἄρα σοι τὸ σέβας ἐστὶ καὶ τίς σοι σκοπός;» — «Χριστιανὸς» ὁ Μάξιμος εἶπεν «εἰμί· τοῦτό μοι καὶ ὄνομα καὶ πόλις, ἡγεμών, καὶ σέβας». — «Ἤκουσας, τί νομοθετοῦσιν» ὁ ἄρχων εἶπεν «οἱ βασιλεῖς;» — «Ἤκουσα» φησὶν ὁ μάρτυς «καὶ κατεγέλασα τούτων». καὶ ὁ τύραννος «Τῶν βασιλέων» ἔφη «καταγελᾷς καὶ ὅλως τολμᾷς ἀπονενοημένως οὕτω | καὶ ἀναιδῶς φθέγγεσθαι κατ' αὐτῶν; καὶ ποῦ σοι col. 2 τὸ θαρρεῖν; ἢ οὐκ οἶσθα, ὡς μὴ πειθόμενόν σε θῦσαι τοῖς θεοῖς διαδέξονται τιμωρίαι μεγάλαι;» — «Βασιλέα καὶ Θεὸν οὐδένα ἄλλον» ὁ Μάξιμος εἶπεν «ἐπίσταμαι, ἢ μόνον Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ τὸν ἐν τοῖς οὐρανοῖς, οὗ τῷ νεύματι πάντα παρήχθη». καὶ ὁ ἡγεμών· «Οὐκ αἰσχύνῃ, ταλαίπωρε, Θεὸν ἐσταυρωμένον ὁμολογῶν καὶ τοῦτον λέγων εἶναι ποιητὴν τοῦδε τοῦ σύμπαντος κόσμου, ὃν οἱ θεοὶ καλῶς διακυβερνῶντες γινώσκονται;» καὶ ὁ ἅγιος· «Οὗτος, ὃν ἔφης ἐσταυρωμένον, ἀνόσιε, προαιώνιος Θεός ἐστι τε καὶ γνωρίζεται· περὶ οὗ καὶ προφῆται προεῖπον, ὅτι πλὴν αὐτοῦ οὐκ ἔστιν ἕτερος· οἱ γὰρ θεοὶ ὑμῶν δαιμόνια, ὥς φησιν ἡ γραφή, καὶ χειρῶν ἀνθρωπίνων ἔργα· ὅμοιοι || γένοιντο τούτοις οἱ ποιοῦντες αὐτοὺς καὶ πάντες f. 92v οἱ πεποιθότες ἐπ' αὐτούς».

3. Χαλεπαίνει πρὸς ταῦτα ὁ ἄρχων καὶ κελεύει. τείνουσιν αὐτὸν ἐκ τεσσάρων οἱ στρατιῶται καὶ μάστιξι, φεῦ, ἀνηλεῶς καταικίζουσιν ἐπιλέγοντες οἱ ἀσεβεῖς· «Μή, ἀλαζών, μή, αὐθάδης». ὁ δὲ ἅγιος «Εὐχαριστῶ σοι» τρανῶς ἔλεγε, «Χριστὲ βασιλεῦ, ὅτι με κατηξίωσας καὶ πάλιν ὑπὲρ τοῦ σοῦ ὀνόματος ἐναθλῆσαι. τήρησόν μου τὴν ψυχὴν ἑδραίαν ἐν τῇ ὁμολογίᾳ σου». τούτων ἀκούσας ὁ ἄρχων «Ἐγὼ» φησι «τοὺς θεοὺς ἐκδικήσω καὶ πάντα σου τὰ μέλη τοῦ σώματος κατὰ λεπτὸν διακόψω. προσαχθήτω ὅμως ἐπὶ τοῦ βήματος καὶ Ἀσκληπιοδότη, τευξομένη πάντως τῶν ἐπιθυμουμένων αὐτῇ».

4. Προσαχθείσης οὖν, «Τὰς | βασάνους» ἔφησεν ὁ δυσσεβὴς col. 2

Rubro: v. 1 Χρόνον, v. 9 Ὁ Μάξιμος, v. 12 Ἤκουσα, v. 16 Οὐδένα, v. 21 Οὗτος, v. 27 Χαλεπαίνει, v. 29 Ὁ δέ, v. 32 Ὁ ἄρχων
34 καταλεπτὸν

«βλέπουσα, γύναι, μὴ συμμανῆναι θελήσῃς τῷ ἀπατήσαντί σε καὶ σαυτὴν ἀπολέσαι, ἀλλὰ καλῶς ποιοῦσα θῦσαι προθυμήθητι τοῖς θεοῖς καὶ τούτων ἀπαλλαγῆναι». — «Μὴ σφάλλου» εἶπεν ἡ μάρτυς «κακῶς συμβουλεύων· οὐ γάρ πείσεις με τῆς εἰς Χριστὸν πίστεως ἀποστῆναί ποτε καὶ δαίμοσι θυσίαν προσενεγκεῖν. δαίμονες γάρ οἱ θεοὶ ὑμῶν».

5. Τούτων οὕτω καὶ παρὰ ταύτης ῥηθέντων οἱ ἄγριοι κολασταὶ κελεύσει τοῦ δυσσεβοῦς πολλὰς ἐνέτεινον ταύτῃ πληγάς, ὡς αἵματος πληρωθῆναι τὸ ἔδαφος. διὸ καί τις ἀνὴρ Θεόδοτος, εὐσεβὴς καὶ φοβούμενος τὸν Θεόν, τὴν ἀπηνῆ κόλασιν ἐκείνην ἐν γυναικείῳ σώματι γινομένην μὴ φέρων ὁρᾶν, μέμψιν ἐπῆγε τῷ ἄρχοντι καὶ || *f. 93* εἰς ἐπήκοον ὑπεραπελογεῖτο τῶν ἀθλητῶν. μὴ ἐνεγκὼν οὖν ὁ τύραννος τὴν αὐτοῦ παρρησίαν, ζέοντι τῷ θυμῷ «Μὴ καὶ σύ», φησί, «Θεόδοτε, χριστιανὸς εἶ, τοιαῦτα λέγων;» καὶ ὁ Θεόδοτος, ἡ Χριστοῦ δόσις, λαμπρᾷ καὶ πεπαρρησιασμένῃ φωνῇ «Καὶ οὔπω» φησὶν «ἔμαθες, ὡς χριστιανὸς ἐγώ; γνῶθι τοίνυν τοῦτο τὰ νῦν». ἤγετο οὖν καὶ αὐτὸς ἐπὶ βήματος, καὶ πικρίας μεστὸς ὁ Τῆρις «Τί παθὼν» εἶπε, «Θεόδοτε, θεοὺς μὲν ἀρνηθείης, προσέλθοις δὲ τῷ Χριστῷ;» καὶ ὁ ἅγιος «Τὸ κρεῖττον» ἔφη «πρὸ πολλοῦ τοῦ χείρονος ἠλλαξάμην· ποίει λοιπὸν ὃ βούλει· οὐδὲ γάρ μεταπείσεις Θεόδοτον».

6. Τότε κελεύει ὁ κατάρατος ἄρχων κρεμασθέντα τοῦτον τῷ *col. 2* ξύλῳ δεινῶς καταξαίνεσθαι. καὶ τούτου γενομένου | τάχος καὶ πολλαῖς ἐν ὥραις καταξαινομένου τοῦ μάρτυρος, οὐ φωνὴ τούτου τὸ σύνολον, οὐ στεναγμὸς ἐξηκούετο. διὸ καὶ ἐκέλευσε τῷ δεσμωτηρίῳ τοῦτον παραπεμφθῆναι.

Μεθ' ἡμέρας οὖν πεντεκαίδεκα ἀπᾶραι μέλλων τῆς Μαρκιανουπόλεως ὁ ἡγεμὼν ἐκέλευσε δεδεμένους καὶ τοὺς ἁγίους ἀκολουθεῖν. τὴν Ἁδριανοῦ δὲ πόλιν καταλαβὼν καὶ καθίσας ἐπὶ τοῦ βήματος ἀχθῆναι τοὺς ἁγίους προσέταξε. παραστάντων οὖν αὐτῶν «Οὐδὲν ὑμᾶς ὠφελήσει τὸ πολὺ τῆς ἐνστάσεως» ὁ παράφρων ἔφησεν ἄρχων· «θύσατε τοίνυν τοῖς θεοῖς καὶ ἀπαλλάγητε τῶν κολάσεων· εἰ μὴ γάρ οὕτω ποιήσετε, βιαίως πάντως τὴν ζωὴν ἀποθήσετε». τότε οἱ τρεῖς ὡς ἐξ ἑνὸς στόματος «Ἡμεῖς» εἶπον, || *f. 93ᵛ* «ἡγεμών, ἐν ᾗ γεγεννήμεθα πίστει, ἐν ταύτῃ καὶ ἀποθνήσκειν εὐχόμεθα. καὶ γάρ ἐκ γαστρὸς ἡμῶν μεμαθήκαμεν, ὡς τὸν Χριστὸν μόνον ἀληθινὸν ὄντα Θεὸν δεῖ προσκυνεῖν, τοὺς δέ γε ψευδωνύμους καὶ ἀπατεῶνας ὑμῶν θεούς, οἷς ἐκ λίθων καὶ

Rubro: v. 3 *Εἶπεν*, v. 7 *Παρά*, v. 9 *Ἀνήρ*, v. 12 *Μή*, v. 19 *Καί*, v. 26 *Μεθ'*

1 γῦναι 5 ἀποστῆναι ποτέ 15 λαμπρὰ καὶ πεπαρρησιασμένη φωνή 26 ἀπάραι

ξύλων καὶ λοιπῆς ἄλλης [ὕλης] ἡ ποίησις, ἀποστρέφεσθαι, χειρῶν ἔργα τυγχάνοντας ἀνθρωπίνων, ὡς εἴρηται· μεθ' ὧν ἀπολεῖσθε σὺν τῷ πατρὶ ὑμῶν τῷ Σατανᾷ, τῷ ὑμῖν ὑποβάλλοντι τοιαῦτα κατὰ τῶν δούλων τοῦ Θεοῦ».

7. Θυμοῦται τούτοις ὁ ἡγεμὼν καὶ πληγὰς αὐτοῖς ἐντείνει κατὰ τῶν προτέρων πληγῶν ἐπὶ τοσοῦτον, ἕως κατεξάνθη τὰ σώματα παντελῶς τῶν ἁγίων καὶ ὁλόσωμοι τούτοις αἱ πληγαὶ γεγόνασιν. οἱ δὲ γενναίως «Οὐ πτοούμεθά σου τὰς βασάνους» | ἔλεγον, «τύραννε, *col. 2* ἰσχὺν ἡμῖν τοῦ Θεοῦ παρέχοντος· ἰάσεις γὰρ τὰς πληγάς, οὐ κολάσεις ἡγούμεθα. ἄλλας τοίνυν ἐπίνοει βασάνους· αὗται γὰρ ἐξησθένησαν». τότε ὁ τύραννος κελεύει, καὶ προσφέρονται τούτοις κατὰ παντὸς τοῦ σώματος χαλκαῖ πεπυρακτωμέναι λαβίδες. καιομένων οὖν αὐτῶν ἐπὶ πολλαῖς ταῖς ὥραις φωνὴ γέγονεν ἄνωθεν πρὸς αὐτοὺς «Θαρσεῖτε» λέγουσα, «ἐγὼ γάρ εἰμι μεθ' ὑμῶν». τότε τοίνυν ἀνεθῆναι τῆς βασάνου τοὺς μάρτυρας προστάξας ὁ τύραννος τῇ φυλακῇ παραπέμπει, μηδεμιᾶς ἐπιμελείας αὐτοὺς παραγγείλας ἀξιωθῆναι.

8. Ἡμέραι παρῆλθον οὐχὶ συχναί, καὶ τὴν ἐπὶ Φιλιππούπολιν ὁ ἄρχων μέλλων ὁδεύειν διεσκέπτετο, ποίῳ τούτους ἀπολέσει || θανάτῳ. Στρατοκλῆς οὖν ὁ συμπάρεδρος αὐτοῦ «Θηρίοις» εἶπεν, *f. 94* «ἡγεμών, δεῖ τούτους παραδοθῆναι». ἤρεσεν ὁ λόγος τῷ δυσσεβεῖ, καὶ τῇ ἑξῆς θέατρον διὰ τοῦ κήρυκος συναθροίζεται. πάντων οὖν ἐπ' αὐτῷ συνδραμόντων παρήχθησαν καὶ οἱ ἅγιοι. ἀφίεται τοιγαροῦν τῷ Μαξίμῳ ἄρκτος ἀγρία, ἥτις ὁρμήσασα παρὰ τοὺς πόδας ἐκάθισε τούτου καὶ τῇ γλώσσῃ τούτους ἀπέλειχεν. ἐπεὶ δὲ τοῦτο ἴδοι ὁ τύραννος, μαγείαν ἐκάλεσε καὶ πάρδαλιν αὐτῷ προσαφίησιν. ἡ δὲ παρὰ τοὺς πόδας καὶ αὐτὴ γενομένη τοῦ μάκαρος, πεσοῦσα τάχος ἀπέψυξεν. ἀπάγεται τοίνυν ὁ μάρτυς ἐπὶ τὸ δεσμωτήριον, καὶ προσάγεται τῷ θεάτρῳ Θεόδοτος, ᾧτινι ξύλῳ προσδεθέντι ἄρκτος ἀφείθη· | ἥτις δρόμῳ καταλαβοῦσα τὸν μάρτυρα, τὴν κε- *col. 2* φαλὴν εἰς γῆν κεκλιμένην ἐδείκνυ. λύσαντες οὖν οἱ θηροτρόφοι τοῦ ξύλου τὸν ἅγιον ἐπὶ τὸ θηρίον συνώθουν, καὶ ἐπεὶ μηδὲ οὕτως ἐκεῖνο πρὸς βλάβην ὅλως ἐκινήθη τοῦ μάρτυρος, ὁ μὲν ὄχλος ἐκπλήξει συνείχετο, οὗτος δὲ «Ἰδοὺ» πρὸς αὐτοὺς ἔλεγε, «τὰ θηρία συνῆκαν τὸν αὐτῶν ποιητήν, ὑμεῖς δὲ καὶ τούτων ἀγριώτεροι φαίνεσθε, τὸν ὑμᾶς ποιήσαντα παροργίζοντες, ὅς ἐστιν οὐρανοῦ καὶ γῆς ποιητὴς καὶ πάντων τῶν ἐν αὐτοῖς, ἀλλὰ καὶ μόνος Θεός».

9. Ἰδὼν οὖν ὁ ἄρχων ἑαυτὸν ἡττημένον, τὴν Ἀσκληπιοδότην

Rubro: v. 5 **Τούτοις**, v. 11 τύ|**Ραννος**, v. 14 **Τοίνυν**, v. 17 πα|**Ρῆλθον**, v. 19 **Ὁ**, v. 21 **Οὖν**, v. 27 **Τοίνυν**, v. 37 **Ἑαυτὸν**

1 ὕλης *inserui* 12 χαλκαὶ 16 μὴ δὲ μιᾶς

εἰς τὸ μέσον παρίστησι καὶ ταύρῳ ταύτην ἀγρίῳ προσδεθῆναι κελεύει. ὡς δὲ τοῦτο γέγονε, καὶ μηδὲν ὅλως ἡ μάρτυς λυπηρὸν ὑπὸ f. 94v *τοῦ ζώου πέπονθεν, || ἀλλὰ καὶ μᾶλλον προσηύχετο καὶ λόγοις καθήπτετο τῶν ἀνόμων, ὡς ὑπὸ γυναικὸς μιᾶς τοσοῦτον πλῆθος ἡττήθη, λίθους οἱ ἀνόητοι μανικῶς ἀράμενοι, κυνῶν δίκην λυσσῶντες κατὰ τῶν ἁγίων ἔβαλλον.*

10. Τότε τοίνυν ὁ ἀσύνετος ἐκεῖνος, ἐπὶ Φιλιππούπολιν ἐξορμῶν, ἀκολουθεῖν αὐτῷ καὶ τοὺς ἁγίους ἐκέλευσε. καταλαμβάνει τοίνυν τόπον τινὰ ἐν κώμῃ λεγομένῃ Σαλτῷ, Βρίον οὕτω φερωνύμως καλούμενον, ὑδάτων μὲν πολλῶν ψυχρῶν τε καὶ διειδῶν καταρδόμενον ἀφθονίᾳ, δένδρων δὲ παντοίων καὶ ἀμπέλων καταστεφόμενον πλήθει, ἄνθεσί τε κομῶντα παντοίοις καὶ ὅλως θέαμα τερ- col. 2 *πνὸν ἀνθρωπίνοις ὀφθαλμοῖς χρηματίζοντα. ἐν τούτῳ τοὺς | μάρτυρας παραστησάμενος ὁ ἀνόσιος καὶ πρὸς θυσίαν τῶν εἰδώλων ἀσεβῶς ἐκκαλούμενος, ὡς εἶδε μηδὲ πρὸς μικρὸν ἐνδιδόντας, τὴν ὀργὴν ὑπεκκαύσας ἀπεφήνατο οὕτως· «Μάξιμον καὶ Ἀσκληπιοδότην καὶ τὸν Θεόδοτον, ἀντιπίπτοντας τῷ βασιλικῷ προστάγματι, ξίφει τὰς κεφαλὰς ἀποτμηθῆναι κελεύω».*

11. Τὸν προκείμενον οὖν τοῦ τέλους τόπον καταλαβόντες, «Εὐχαριστοῦμέν σοι, δέσποτα Ἰησοῦ Χριστέ, υἱὲ τοῦ Θεοῦ τοῦ ζῶντος», προσηύξαντο, «ὅτι σου τὴν ὁμολογίαν ἀκλινῆ τετηρήκαμεν. δέξαι τοίνυν ἡμᾶς εἰς τὰς αἰωνίους σου καὶ οὐρανίους σκηνάς». οὕτως εἰπόντες καὶ τὰ γόνατα κλίναντες τὰς μακαρίας ἀπετμήθησαν κεφαλάς. ἐννεακαιδεκάτην ὁ Φεβρουάριος ἔτρεχε τὴν f. 95 *ἡμέραν. || τί τὸ ἐντεῦθεν; βρονταὶ παραυτίκα καταρραγεῖσαι καὶ ἀστραπαὶ τούτων ἀποτριβεῖσαι τὸν ἄδικον μετῆλθον παρ' αὐτῷ τῷ βήματι δικαστὴν καὶ τοὺς συνόντας αὐτῷ καὶ τῷ αἰωνίῳ πυρὶ παρεπέμψαντο. κρύψειν οὖν τοῦτο οἱ ἀσεβεῖς ἐθέλοντες πολλὴν γῆν αὐτοῖς συνεφόρησαν καὶ βουνόν, ὡς ἂν εἴποι τις, οὐ τάφον διὰ τοῦ χώματος πεποιήκασιν, ὡς ἕν τι τῶν ὀρέων καὶ τοῦτο νομίζεσθαι.*

12. Ἀλλ' οἱ μὲν οὕτω κακῶς ἐν κακοῖς τὰς ψυχὰς ἀπέρρηξαν· ὑμεῖς δέ, ὦ θαυμάσιοι μάρτυρες, τοὺς ὑπὲρ εὐσεβείας ἀγῶνας ἀγωνισάμενοι, στεφανηφόροι νῦν τῷ ἀθανάτῳ παρίστασθε βασιλεῖ. διὸ ταῖς πρὸς αὐτὸν ὑμῶν θερμοτάταις πρεσβείαις χαρίσασθε βα- col. 2 *σιλεῖ ἡμῶν τῷ φιλοθέῳ καὶ φιλομάρτυρι | μῆκος ζωῆς ἀρίστης, ῥῶσιν ψυχῆς τε ἅμα καὶ σώματος, ἰσχὺν κατ' ἐχθρῶν αἰσθητῶν*

Rubro: v. 7 *Τότε*, v. 19 *Προκείμενον*, v. 25 *Τί*, v. 33 *Θαυμάσιοι*, v. 36 *Μῆκος*

12 *κωμῶντα*

ὁμοῦ καὶ νοουμένων, χαρὰν μεγίστην τῆς ἄνωθεν εὐκλείας, ἁγίων πάντων τὴν καλὴν συναυλίαν, ἡλίου σέλας τοῦ νοητοῦ καὶ θείου, λειμώνων τερπνῶν τὴν ἡδυτάτην τέρψιν, πάντων τῶν καλῶν τὴν ἀνέκφραστον χάριν καὶ τῶν ἐφετῶν τὴν ἀκροτάτην δόσιν· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ κʹ. *f. 95ᵛ*

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΑΙ ΘΑΥΜΑΤΟΥΡΓΟΥ ΛΕΟΝΤΟΣ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΑΤΑΝΗΣ.

1. Λέων ὁ μέγας ἐν θαύμασι, τῆς Κατάνης ἐπιφανέστατος πρόεδρος, οὗ τὸ κλέος πᾶσαν, ὡς εἰπεῖν, διέδραμε τὴν ὑφήλιον, τῆς τῶν Ῥαβεννησιωτῶν περιωνύμου μητροπόλεως ὥρμηται, μιᾶς οὔσης καὶ αὐτῆς τῆς τῶν Σικελῶν ἐπαρχίας, γονέων ἐκφὺς εὐγενῶν εὐγενέστατος κλάδος· ὃς ὑπ' αὐτῶν καλῶς ἀναχθεὶς ἅμα καὶ παιδευθείς, | σκεῦος ἐκλογῆς, ὡς εἰπεῖν κατὰ τὸν ἀπόστολον, *col. 2* ἀποδέδεικτο· ἐπέλαμπε γὰρ αὐτῷ πλουσίως ἡ τοῦ πνεύματος χάρις, καὶ τοῖς ἁπάντων ἔκειτο στόμασι καὶ μέγας ἀναφανήσεσθαι παρὰ τῶν καλῶς εἰδότων κρίνειν τὰ πράγματα προελέγετο.

2. Ἔνθεν τοι καὶ κρίσει τῶν τῆς ἐκκλησίας λογάδων τὴν τῶν πραγμάτων αὐτῆς διοίκησιν ἐμπιστεύεται, πιστὸς καὶ φρόνιμος ὡς ἀληθῶς οἰκονόμος καὶ ὢν καὶ δεικνύμενος. ἐπεὶ δὲ πάντας τοὺς βαθμοὺς αὐτῆς καλῶς διελθὼν ἔμελλε καὶ πρὸς τὸν || ὑψηλὸν *f. 96* ταύτης ἐπαναβῆναι θρόνον, τοῦ Θεοῦ τὸ φῶς ἐπὶ τὴν λυχνίαν τεθῆναι σοφῶς εὐδοκήσαντος εἰς φαῦσιν πολλῶν, εἰς οἰκοδομὴν τῶν πιστῶν πῶς ἔρχεται καὶ τίνα τρόπον, λεκτέον.

3. Ἄρτι τοῦ προέδρου Κατάνης (Σαβῖνος ἦν οὗτος ὁ κλεινός) τῶν τῇδε μετατεθέντος τὸ τῆς ἐκκλησίας πλήρωμα ταύτης, ὁ ἱερός φημι σύλλογος, τῇ ἄνωθεν συναθροισθέντες ῥοπῇ τὸν ἄξιον ἐπεζήτουν τῷ θρόνῳ, ἐπιμελῶς καὶ μεμεριμνημένως πάνυ περὶ τούτου

Rubro: v. 3 *Πάντων*, v. 11 *Λέων*, v. 23 *Ἐπεί*, v. 28 *προ|Ἐδρου*
15 *σικελλῶν*
17 *κατὰ τὸν ἀπόστολον*: cf. Act. 9, 15.

διασκοπούμενοι. καὶ μέντοι δὴ καὶ Θεὸς τῇ προθέσει τούτων προσσχὼν τὸν καλὸν Λέοντα τοῦτον πρὸς τὴν τοῦ θρόνου περιωπὴν ἀναβιβάσαι τούτους κεκίνηκεν. ἔνθεν τοι καὶ μιᾷ γνώμῃ, ψυχῇ μιᾷ καὶ φωνῇ τούτῳ τοὺς τῆς ἐκκλησίας οἴακας φέροντες ἐγχειρίζουσιν. | col. 2 ὃς οὐ θεϊκῆς εὐδοκίας ἄνευ τοῦτο λογισάμενος γεγενῆσθαι, δέχεται τὴν προστασίαν αὐτῆς καὶ εὐθὺς πρὸς τοὺς πνευματικοὺς ἀγῶνας ἐπαποδύεται. καθαίρει τὸ ποίμνιον τῆς τῶν αἱρετιζόντων λύμης, ἀπελάσας τοὺς λύκους τῇ σφενδόνῃ τοῦ πνεύματος· ἐκτρέφει τοῦτο καλῶς, οἷα ποιμὴν ἐμπειρότατος, ἐπὶ τόπων χλόης καὶ ἐπὶ ὕδατος, ὡς εἰπεῖν, ἀναπαύσεως. λέων ἦν φερωνύμως, πρὸς τὰς ἐπεμβολὰς τῶν ἐχθρῶν βασιλικώτατον κεκτημένος τὸ ὅρμημα. καὶ γὰρ πεποιθὼς ὁ δίκαιος, ὡς λέων ὄντως, ἐπὶ τῇ δυνάμει τοῦ πνεύματος, Ἑλλήνων μὲν τὸ μυθῶδες διήλεγχεν ὡς ἀπατηλὸν καὶ κίβδηλον, αἱρέσεων δὲ τὸ σαθρὸν ἐδίωκεν ὡς ἀνίσχυρον καὶ κακόδοξον, καὶ f. 96v ὅλος ἦν φωστὴρ ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχων, ψυχῶν || ἐπιμελούμενος, πενήτων προϊστάμενος, ὀρφανῶν προμηθούμενος, χηρῶν ἀντιλαμβανόμενος, ἀδικουμένων ἀντιποιούμενος, καταπονουμένων αὐτῶν ἀντεχόμενος, πάντων, ὡς εἰπεῖν, κατάλληλον ἐπιδεικνύμενος πρόνοιαν καὶ πᾶσι πάντα γινόμενος, ἵνα πάντας κερδήσῃ, πλὴν οὐ λόγοις μόνον, ἀλλὰ δὴ καὶ μᾶλλον ἔργοις ἐπίστου τὰ πράγματα.

4. Δεκίου γὰρ πάλαι τοῦ δυσσεβοῦς ἐν πολυκύκλῳ στοᾷ καὶ ὄμμασι λίχνοις τερπνῇ πάνυ τεχνικῶς εἴδωλον ἐνιδρύσαντος δαίμονος καὶ θεοποιεῖσθαι καὶ προσκυνεῖν τοῦτο κελεύσαντος, ὁ μέγας οὗτος καὶ τῆς ἐκκλησίας λαμπτὴρ κατὰ τοῦτον δὴ τὸν καιρὸν οὐ χερσὶν ἀνθρωπίναις, εὐχαῖς δὲ καὶ δακρύων πηγαῖς καθελών, τὸν col. 2 τοῦ σωτηρίου τύπον σταυροῦ καλῶς ἀνεστήλωσε καὶ | προσκυνεῖσθαι πεποίηκεν· ἀλλὰ δὴ καὶ τοῦτον αὐτὸν τὸν τόπον εἰς Θεοῦ κατοικητήριον ἀφιέρωσε, ναὸν ἅγιον ἐπ' ὀνόματι τῶν τεσσαράκοντα τοῦ Χριστοῦ μαρτύρων ἐν τούτῳ δειμάμενος· οὐ μὴν ἀλλὰ καὶ τῇ μεγάλῃ μάρτυρι καὶ παρθένῳ Λουκίᾳ τερπνὸν ἀνεστήσατο τέμενος, φιλοτεχνήμασι καὶ φιλοπονήμασιν εἰς κάλλος αὐτὸ καὶ μέγεθος παντοδαπῆς ἐξ ὕλης ἐπικοσμήσας λαμπρότατα. ἐν ᾧ δὴ καὶ τὸ πάντιμον ἐκείνου τὰ νῦν τέθαπται σκῆνος, βρύον ὥσπερ ἔκ τινος πηγῆς ἀεννάου μυρίπνοον ἔλαιον, παθῶν παντοίων ἀλεξιτήριον καὶ πνευμάτων ἀκαθάρτων φυγαδευτήριον. ἀλλὰ ταῦτα μὲν τῆς πρὸς Θεὸν μεγίστης παρρησίας γνωρίσματα καὶ τῆς μεγάλης ἀρετῆς f. 97 ἐκείνου κυήματα καὶ τὸ || κατὰ μέρος τὰ περὶ τούτων διαλαβεῖν

Rubro: v. 21 Δεκίου, v. 35 Τῆς
1 προσχὼν 2 περιοπὴν 33 βρίον

περιττόν ἐστιν, ἐξὸν ἐκ τοῦ ῥηθήσεσθαι μέλλοντος τὴν τούτων ἰσχὺν τῷ παντὶ φανερὰν καταστῆναι, καθάπερ ἐξ ὀλίγου γεύματος τοῦ ὅλου πίθου τὸ πλήρωμα.

5. Τέρας τι δαιμόνιον τῇ Σικελίᾳ προσεπιφυὲν ἰσχυρῶς αὐτὴν ἐξετάραττέ τε καὶ διεκλόνει. τὸ δὲ ἦν τὸ τῶν δαιμόνων καταγώγιον Ἡλιόδωρος, ὃς ἐκ ταύτης φὺς κἀν ταύτῃ παιδευθεὶς ἅμα καὶ ἀναχθείς, υἱὸς γὰρ Βαρβάρας τινὸς ἐγνωρίζετο τῆς τῆς πατρικιότητος ἐξ ἀνδρὸς ἀξίᾳ τετιμημένης, πιστῆς καὶ χριστιανῆς καὶ πιστῶς αὐτὸν καὶ χριστιανικῶς ἀναγούσης, ἐπείπερ χριστιανὸς καὶ αὐτὸς γνωριζόμενος εἰς ἄνδρας ἐτέλει, τρόπον σκαιὸν καὶ ἀλαζονικὸν οὐκ οἶδ' ὅθεν εἰπεῖν ἐν|δυσάμενος, οὗ καὶ παιδόθεν ὑπενέφαινε τὰ γνωρίσματα, col. 2 πρὸς φιλαρχίας πάθος ἐξεκυλίσθη καὶ τῆς ἐπαρχότητος, ὡς λόγος, ἤρα τῆς πόλεως. ὡς δὲ πάντα κάλων, τὸ τοῦ λόγου, κεκινηκὼς ἀδυνάτοις ἐπιχειρῶν ὤφθη καί, ὅ φησιν ἡ παροιμία, λίθον ἕψων καὶ ἐφ' ὕδατος γράφων, ἐφ' ἕτερον μεταβαίνει σκοπὸν καὶ διά τινος μάγου τῷ διαβόλῳ προσάγεται, τὴν ἐκείνου βοήθειαν ὁ δείλαιος ἐν ταῖς ἀλόγοις ἐπιθυμίαις συνεργὸν σπουδάζων λαβεῖν. ὃς δὴ καὶ κατὰ τὸ μεσαίτατον τῆς νυκτὸς ὁ δυσσεβὴς τὸν ἀσεβῆ διδάσκει τάφον ἑλληνικὸν τὸ τάχος καταλαβεῖν καὶ τούτου μηδὲν πτοούμενον ἐπιβῆναι καὶ ὃν ἂν ἴδοι δι' ἀέρος ὡς αὐτὸν [καταπτάντα], ἐγχειρίσαι || τούτῳ τὴν ἐπιστολήν· ἐχάραξε γὰρ ὁ σκολιὸς f. 97v γράμματα πρὸς ἐκεῖνον· «Καὶ τηνικαῦτα πάντα σοί» φησι «τὰ θυμήρη διὰ τούτου γενήσεται». οὗ δὴ γενομένου καὶ τοῦ παραβάτου τὸν Χριστόν, φεῦ, ἀρνησαμένου κακῶς ταῖς τοῦ δαίμονος εἰσηγήσεσι, δίδωσιν εὐθὺς ἐκεῖνος αὐτῷ τῶν ὁμοφρόνων ἕνα δαιμόνων τὰ τούτου σὺν τοῖς ὑπ' αὐτὸν τελέσοντα καταθύμια.

6. Τί οὖν τὸ ἐντεῦθεν; ἐπιβουλὰς ὁ κάκιστος συρράπτει καὶ δόλους καὶ κατὰ πάντων μὲν τῶν τὴν Κατάνην οἰκούντων, μάλιστα δὲ καὶ κατ' αὐτῶν τῶν χριστιανῶν, ἐξιστῶν αὐτοὺς καὶ ταράττων ταῖς φαντασιώδεσιν ἀπάταις καὶ τερατείαις, μείζονας καὶ Σίμωνος ἐκείνου καὶ πολὺ δεινοτέρας τοῖς πᾶσι τὰς φαντασίας δεικνύς. καὶ γάρ τινας ἑταιρισάμενος τῶν | οἷς ὁ βίος φιλήδονος ἦν καὶ ῥύπου col. 2 μεστός, ταῖς ἀκολασίαις ἐνεσχόλαζε καὶ ταῖς παρανόμοις μίξεσι. καί ποτε γυναιξὶ διαπορευομέναις φαντασίας ὕδωρ αὐτὸς τῇ ὁδῷ παραδείξας, τοὺς χιτῶνας ἐκείνων μέχρι τῶν γονάτων ἀνελκουσῶν γέλωτα τοῖς ἀπαιδεύτοις ἐνέθηκεν. ἀλλὰ καὶ τὰς τῶν πολιτῶν γαμετάς, ναὶ δὴ καὶ τὰς θυγατέρας οἴστρῳ δαιμόνων

Rubro: v. 4 δαιμό|Νιον, v. 27 Ἐπιβουλὰς, v. 34 Καὶ, v. 36 Ἀλλὰ
20 καταπτάντα inserui dubitanter.

ἐνεργείᾳ καθυπῆγεν ἀκολασίας, ὡς ἐπιρρίπτειν ἑαυτὰς οἷς ἂν ἐντύχοιεν.

7. Ταῦτα καὶ τὰ τοιαῦτα μὴ ἀνασχόμενον ὑπομένειν τὸ πλῆθος τῷ ὑπάρχῳ Λουκίῳ προσῆλθον καὶ τὸ παράνομον τοῦτο γνώριμον αὐτῷ καθιστῶσι καὶ λύσιν τῶν τοσούτων ἐξαιτοῦσι δεινῶν. καὶ ὃς f. 98 διὰ τῶν τῆς τάξεως τοῦτον ἀναζητήσας καὶ μὴ δυνηθεὶς || κατασχεῖν, Λέοντι καὶ Κωνσταντίνῳ γράφει τοῖς βασιλεῦσι κατὰ τὴν Βύζαντος διατρίβουσι καὶ γνωρίζει τὰ περὶ τούτου καὶ οἷα δεινὰ διεπράττετο.

8. Στέλλουσιν οὖν οἱ βασιλεῖς αὐτίκα τινὰ τῶν ὑπ' αὐτούς, Ἡρακλείδην οὕτω καλούμενον, ἐφ' ᾧ τοῦτον δεσμώτην ἀγάγῃ πρὸς αὐτούς. τούτου οὖν τάχος τὴν Σικελίαν καταλαβόντος καὶ τῷ Αἰγιαλῷ μετὰ τῶν συνόντων αὐτῷ προσβαλόντος, ὁ μάγος ἐκεῖσέ που παρὼν καὶ ἰδὼν αὐτοὺς καὶ προσαγορεύσας καὶ τὴν αἰτίαν ἐφ' ᾗ παραγένοιντο τρανῶς ἐκκαλύψας καὶ ὡς αὐτὸς εἴη ὁ ζητούμενος Ἡλιόδωρος εἰπὼν ἐκπλήκτους πεποίηκεν. ὅμως δὲ τῆς πορείας ἐκείνων ἅψασθαι κατεπειγομένων, οὗτος λουτροῖς τὸν κόπον ἐπα- col. 2 ναπαῦσαι τούτους πρότερον | καὶ ἀνέσει παρακαλεῖ, εἶτα καὶ τὸν πλοῦν ὅτι τάχιστα διανύσαι καὶ τὴν ὡρισμένην ἐν μηδενὶ διακεκόφθαι χρόνῳ τὸ σύνολον διαβεβαιοῖ.

9. Γίνεται τοῦτο, καὶ τὸ πάντων ἀπιστότατον δι' αὐτοῦ ἢ μᾶλλον εἰπεῖν διὰ τῶν δαιμόνων τελεῖται φαντασιούργημα· λέγεται γὰρ τῷ καταδῦσαι τούτους τοῖς θερμοῖς ὕδασι τὰς αὐτῶν κεφαλὰς ἔν τινι τῶν τῆς Βυζαντίδος εὑρεθῆναι λουτρῶν καὶ τῷ ξένῳ τούτῳ διαπορουμένους καὶ τὰ ἱμάτια ἔξωθεν ἐξιόντας εὑρεῖν. τοῦτο δὲ πάντως εἴτ' ἀληθὲς εἴτε ψευδές ἐστιν, οὐκ ἔχω λέγειν, ἀλλ' ἢ μόνον, ὅτι τὸν οὕτω μεγάλα ταῖς γοητείαις φυσῶντα καὶ ἐπαιρόμενον πυρὶ χόρτον καθάπερ ὁ δίκαιος παραδέδωκεν, ὡς προϊὼν || f. 98v ὁ λόγος διδάξει.

10. Παραστήσαντες οὖν ὅμως τοῖς βασιλεῦσιν οἱ ἀπεσταλμένοι τὸν δείλαιον, κἀκείνων κεφαλικὴν τούτου τιμωρίαν καταψηφισαμένων, ὕδωρ ὁ μάγος εἰς πόσιν ζητεῖ καί, ὢ τῆς ἀπάτης, τούτῳ ἑαυτὸν τερατευόμενος ἐμβαλὼν ἀφανὴς ἐξ ὀφθαλμῶν αὐτῶν γέγονε, «Σώζεσθε» μόνον εἰπών, «ἐν Κατάνῃ δέ με καὶ πάλιν ζητοῦντες εὑρήσετε». ἐξέπληξε τοῦτο τοὺς βασιλεῖς, καὶ πάλιν Ἡρακλείδης στέλλεται μετὰ τοὺς ὑπ' αὐτόν, καὶ πάλιν ὁ γόης καθ' ὃν καὶ τὸ πρότερον τρόπον ἐμφανίζεται τούτοις. δράττονται τούτου στερρῶς

Rubro: v. 3 Τοιαῦτα, v. 10 Στέλλουσιν, v. 16 Ὅμως, v. 21 Γίνεται, v. 30 παρα|Στήσαντες, v. 35 Ἐξέπληξε

23 καταδύσαι 36 μετὰ τούς: *sic cod., cum legendum sit* μετὰ τῶν

ἐκεῖνοι. τὸν Αἰγιαλὸν κατειλήφασι, τὸ πλῆθος ἑπόμενον ἔχοντες καὶ πρὸς τὸν ἐκείνου φόνον διερεθίζον.| ναῦν ἐν φαντασίᾳ καὶ col. 2 κωπηλάτας δείκνυσι τοῖς ἀνδράσιν ὁ μάγος· τὰ πρὸς διατροφὴν ἐντίθενται ταύτῃ καὶ ταχέως ἀπέπλευσαν. καὶ οὐδὲν ἦν ἕτερον, ὡς ὁ λόγος ἔχει τε καὶ μυθεύεται, ἢ τοῦτο κατὰ τὸν πλοῦν μόνον λεγόμενόν τε καὶ ἀκουόμενον παρ' αὐτοῦ τε τοῦ μάγου καὶ τοῦ παρεδρεύοντος αὐτῷ δαίμονος, τοῦ μὲν ὅπου δὴ καὶ εἶεν διερωτῶντος, τοῦ μάγου· τοῦ δέ, τοῦ δαίμονος, εἰς τὸ Ῥήγιον λέγοντος, εἰς τὴν Κῆτρον, εἰς τοὺς Ἱδροῦντας καί τινας εἰς ἑτέρας πόλεις τε καὶ λιμένας, καὶ τέλος εἰς τὴν βασιλίδα τῶν πόλεων· οὕς τινας τόπους εἰς ἡμέρας διάστημα μιᾶς τὸ τάχος διατεμόντες παρὰ τῷ Βουκολέοντι προσορμίσαι καὶ τῆς ξηρᾶς ἐπιβῆναι, τῆς νηὸς καὶ || τῶν ναυτῶν ἀφανῶν γεγονότων. f. 99

11. Ἄγεται τοίνυν ὅμως ἐν τοῖς βασιλείοις πρὸς τοὺς κρατοῦντας ὁ πονηρός. ἡ τοῦ Ἡρακλείδους γαμετή, Αἰθαλία ταύτῃ τὸ ὄνομα, προκύψασα τοῦ οἰκήματος ἐμπτύει τῷ προσώπῳ τοῦ μάγου· μαίνεται ὁ μανίας μεστός, καὶ τί ποιεῖ; οἷα παρὰ πάντων ᾄδεται· λέγουσι γὰρ σβεσθῆναι παρὰ τούτου μαγικαῖς κακοτεχνίαις τὸ πῦρ καὶ μόνης ἐξ αὐτῆς προσιόντας τοὺς ὄχλους τὴν τοῦ πυρὸς κομίζεσθαι χρείαν. μανθάνουσι τοῦτο καὶ βασιλεῖς καὶ ξίφει τούτου κελεύουσιν ἐκκοπῆναι τὴν κεφαλήν. ὡς δὲ τὴν τομὴν ὁ σπεκουλάτωρ ἐπενεγκεῖν ἠβουλήθη, τὴν χεῖρα φοβερῶς ἀνασχών, ἀφανὴς ὁ μάγος ἐξ ὀφθαλμῶν αὐτῶν γέγονεν, «Σώζεσθε» μόνον εἰπὼν «καὶ ζητεῖτέ με πάλιν | ἐν τῇ Κατάνῃ». καὶ ταῦτα μὲν οὕτω, τὰ col. 2 λήθης ἄξια μᾶλλον ἢ μνήμης, ὡς ἡ περὶ τούτων ἱστορία διέξεισι, τῷ μάγῳ πέπρακται.

12. Λείπεται δὲ καὶ περί τινων ἄλλων διαλαβεῖν καὶ οἵῳ τέλει τὸν βίον κατέστρεψε. μιᾷ τῶν ἡμερῶν ἀγῶνος ἱππικοῦ τελουμένου παρὰ τῶν Καταναίων, νεανίας τις ὡραῖος καὶ περικαλλὴς τὴν μορφήν, ἀδελφιδὴς τοῦ μεγάλου τούτου τυγχάνων ἀρχιερέως, Χρύσης ὀνομαζόμενος, πρὸς ἅμιλλαν ἵππων εὐτρεπισμένος, ἀπάτην, φεῦ, ὑφίσταται πρὸς τοῦ μάγου καὶ ἵππον ὑπ' αὐτοῦ λαμβάνει λευκὸν εὐθαλῆ καὶ ὡραῖον, οὗτινος ἐπιβὰς τοσοῦτον ὑπερήλασε τοὺς ἄλλους καὶ κατὰ κράτος ἥττησεν, ὡς θαυμάζειν ἅπαντας, ἀλλὰ δὴ καὶ αὐτὸν τὸν ἔ||παρχον ἐπὶ τούτῳ. f. 99ᵛ διὸ καὶ μετεκαλεῖτο τάχος ὁ Χρύσης καὶ τὸν ἵππον ἀγαγεῖν ἀπῃτεῖτο, ἅτε βασιλεῖ πρέποντα καὶ οὐκ ἄλλῳ. τοίνυν ἐκείνου

Rubro: v. 14 Ὅμως, v. 20 Μανθάνουσι, v. 16 Μὲν, v. 28 Τῶν
30 ἀδελφιδής: sic cod.

μὴ ὄντος (πῶς γάρ, ὃς δαίμων, οὐχ ἵππος ἦν;) ὁ νέος δέσμιος γίνεται καὶ τὸν ἵππον ἐπιζητεῖται.

13. Μὴ ἀγνοήσας οὖν ὁ μέγιστος ἐν ἀρχιερεῦσι καὶ περιβόητος Λέων, ὡς Ἡλιόδωρος τὸ μέγα κακὸν αἴτιος τῆς τοῦ ἀνεψιοῦ κατασχέσεως, τὸν ὕπαρχον Λούκιον τὸ τάχος καταλαμβάνει καὶ τὸ πρᾶγμα γνωρίζει καὶ ὡς Ἡλιόδωρος ὁ σκαιὸς πρόξενος γένοιτο τούτῳ τοῦ τοσούτου κακοῦ. διά τοι τοῦτο καὶ τοῦτον μέν, ὡς ὑπομείναντα πλάνην, ἀθῷον ὁ ἄρχων ἀπέλυσεν, αὐτὸν δὲ τὸν μάγον
col. 2 τῇ φρουρᾷ παραπεμφθῆναι προσέταξε. καὶ δὴ πρὸς | αὐτὴν ἀπαγόμενος, λίθον ὡς χρυσὸν τοῖς ἀπάγουσι δοὺς ἀπολέλυτο, αἰφνίδιον ἀφάνειαν αὐτοῦ τῷ ἀπάγεσθαι τῶν στρατιωτῶν εἰπόντων τῷ ἐπάρχῳ γενέσθαι. καὶ τοῦτο μὲν οὕτως.

14. Ὁ τοίνυν συμπαθέστατος Λέων καὶ ποιμὴν ἀληθέστατος, τὸ πεπλανημένον τοῦτο πρόβατον καὶ λύκοις, φεῦ, τοῖς πονηροῖς δαίμοσιν ἔκδοτον ἀνασώσασθαι καὶ τῇ τῶν πιστῶν εἰσοικίσασθαι μάνδρᾳ περὶ πλείστου τιθέμενος, πυκνὰ τοῦτον μετεκαλεῖτο νουθετῶν καὶ διδάσκων παύσασθαι τῆς σατανικῆς μαγγανείας καὶ πρὸς τὸ τῆς θεογνωσίας αὖθις φῶς ἐπαναδραμεῖν· ἀλλ᾽ ὁ Αἰθίοψ οὐκ ἐλευκαίνετο καὶ ὁ καρκίνος ὀρθὰ βαδίζειν οὐκ ᾔδει. καὶ γὰρ ἐπὶ
f. 100 τοσοῦτον ἀναιδείας ἦλθε καὶ θράσους, ὡς καὶ || κατ᾽ αὐτῆς ἐκκλησίας, οἴμοι, γενέσθαι Χριστοῦ καὶ διαπαίζειν αὐτὸν τὰ φρίκης γέμοντα θεῖα καὶ μεγάλα μυστήρια. καὶ γὰρ τὸν θεῖον ναὸν εἰσιών, ἀλτικώτερον ὄνων διαλακτίζων ἐφαίνετο, γέλωτά τε κινῶν καὶ ῥημάτων αἰσχρῶν τοὺς συνειλεγμένους πληρῶν· ἃ πάντως μηδαμῶς ἀγνοήσας ὁ σεβάσμιος Λέων μετὰ τὴν εὐχὴν τῆς θείας λειτουργίας δρομαῖος ἐν τῷ νάρθηκι προσελθὼν ἐν αὐτῷ τὸν ἅγιον καταλαμβάνει [σταυρόν], τὴν ἀρχιερατικὴν ἐνδεδυμένος εἰσέτι στολήν, καὶ κατὰ τοῦ τραχήλου τούτου τὸ ὠμόφορον λεγόμενον ἐπιβαλὼν καὶ περιειλήσας «Ἐπιτιμᾷ σοι» λέγει πρὸς αὐτὸν «Ἰησοῦς ὁ Χριστός, κατάρατε, τοῦ μηκέτι σου τὰς τερατώδεις ἐνεργεῖν φαντασίας». καὶ οὕτως
col. 2 ἕλκων αὐτὸν ἐξάγει τῆς ἐκκλησίας καὶ πρὸς τὸν τόπον | ἀπάγει τῶν καταδίκων κἀκεῖσε πυρὰν ὅτι μεγίστην ἀναφθῆναι κελεύει. ταύτης οὖν τρεφομένης ἐκεῖνος ἐξαγορεύει τῷ πλήθει, τοῦτο τοῦ ἁγίου κελεύσαντος, πῶς καὶ τίνι τρόπῳ καὶ διὰ τί τὸν Χριστὸν ἐξομόσαιτο, ἐκφαυλίσας ἅμα καὶ τὰς αὐτοῦ γοητείας. εἶθ᾽ οὕτως ὁ μέγας ἀρχιερεύς, δεδεμένον αὐτὸν ἐκ τοῦ τραχήλου κατέχων, τὴν κάμινον πυρὶ πελαγίζουσαν ἀφόβως εἰσῆλθε καὶ οὐ πρότερον ἀπέστη ταύτης,

Rubro: v. 8 *Μὴ*, v. 13 *Τοίνυν*, v. 22 *Ναὸν*, v. 32 *Ταύτης*
19 καρκῖνος 27 σταυρὸν *inserui.* 34 ἐξωμόσαιτο

ἕως ὁ δείλαιος Ἡλιόδωρος τοῦ πυρὸς ἄξιον παρανάλωμα γέγονε καὶ πρὸς πῦρ ἐξεδήμησεν ἀτελεύτητον, τοῦ ἁγίου μηδὲ τριχὸς τῆς φλογὸς ἁψαμένης, μηδὲ λώβην τινὰ τὸ καθόλου τοῖς ἱερατικοῖς ἐμποιησάσης ἐνδύμασι. τότε τοίνυν τὸ πλῆθος (πολὺ γὰρ || συνέ- f. 100ᵛ δραμε) φωναῖς ἐδόξαζον ἀκαταπαύστοις τὸ θεῖον.

15. Μανθάνουσι τοῦτο καὶ βασιλεῖς καὶ τὸ τάχος μετακαλοῦνται τὸν ἅγιον· καὶ ὃς παρῆν, προσηκόντως ὑποδεχθεὶς ὑπ᾽ αὐτῶν· συνδιάγει τούτοις ἐπὶ μικρὸν ὁ σοφὸς καὶ θαύματα πλεῖστα τελεῖ, νόσους θεραπεύει παντοίας, ὀφθαλμοὺς πεπηρωμένους ἀνοίγει καὶ ὦτα κωφεύοντα, χεῖρας ἀνορθοῖ παρειμένας καὶ πόδας ὑγιάζει χωλεύοντας καὶ δὴ καὶ ἄνθρακας αὐτοῦ περιφέρει τοῖς ἱματίοις καὶ θυμιᾷ τὰ ἀνάκτορα. αἱρετικῶν κατέλυσε στῖφος, ἑλληνικὸν ἠδάφισε πλῆθος, καὶ ἁπλῶς τοιαῦτα πλεῖστα διαπραξάμενος τὴν Καταναίων κατέλαβε, πολλὰ κἀκεῖσε διατελέσας καὶ παράδοξα θαύματα.

16. Ἐπεὶ δὲ ἔδει καὶ αὐτὸν ἄνθρωπον | ὄντα τῷ κοινῷ νόμῳ col. 2 λειτουργῆσαι τῆς φύσεως, νοσεῖ μὲν καὶ αὐτὸς ἐπ᾽ ὀλίγον καὶ τὴν ψυχὴν χερσὶ παρατίθεται τοῦ Θεοῦ. γυνὴ δέ τις τὸ γένος συγκλητική, τὴν πίστιν θερμή, τῆς Συρακούσης ἐξορμωμένη, ῥύσιν αἵματος πάσχουσα, πρὸς τὸν ἅγιον ἐπορεύετο τευξομένη τῆς θεραπείας· καὶ ἐπεὶ τὴν πύλην εἰσέλθοι τῆς πόλεως καὶ τὴν τελευτὴν μάθοι τοῦ δικαίου Λέοντος, τότε δὴ γενομένην, σπουδῇ τοῦτον πρὸ τῆς ταφῆς καταλαβοῦσα, πίπτει τούτου παρὰ τῷ στήθει καὶ δάκρυσι πολλοῖς ἐπιζητεῖ τὴν ἴασιν· καί, ὢ τῆς μεγάλης σου δυναστείας, Χριστὲ βασιλεῦ, ἡ ῥύσις αὐτῆς παραυτίκα τοῦ αἵματος ἔστη, καὶ ὑγιὴς γενομένη, χαίρουσα τὰ οἰκεῖα κατέλαβεν. ἡ μὲν οὖν ηὐχαρίστει πο||ρευομένη καὶ δοξάζουσα τὸν Θεόν. f. 101

17. Σοῦ δὲ τὸ πάντιμον σκῆνος, ὦ πανάγιε Λέον, καλῶς περιστείλαντες ὁ τῶν ἱερέων χορὸς καὶ ὕμνοις ἐπᾴσαντες, μύροις τε τοῦτο παντίμως μυρίσαντες, ἐν τῷ τῆς μάρτυρος Λουκίας ναῷ, ὅνπερ αὐτὸς ἔτι ζῶν, ὡς εἴρηται, κατεσκεύασας, σεμνῶς καὶ ἐντίμως κατέθεντο, θαυμάτων πηγήν, παντοίων νοσημάτων φυγαδευτήριον. καὶ νῦν περιπολῶν τὰ οὐράνια καὶ τῷ δεσποτικῷ παριστάμενος θρόνῳ συνευφραίνῃ μὲν ἀγγέλοις, συναγάλλῃ δὲ δικαίοις. | αἴτησαι col. 2 τοίνυν ταῖς ἱεραῖς εἰς Θεὸν ἱκεσίαις σου δοθῆναι καὶ βασιλεῖ ἡμῶν τῷ ὀρθοδόξῳ καὶ φιλαγίῳ ὧδε μὲν μακρὰν τὴν ζωὴν καὶ ἀπήμονα, ἰλύος ἐλευθέραν παθῶν, χαρᾶς ἔμπλεω καὶ πάσης θυμηδίας, ἄμαχόν τε νίκην κατὰ τῶν ἐναντίων, αὐτόθι δὲ πάλιν ἡλίου θείου

Rubro: v. 6 *Μανθάνουσι*, v. 15 *Ἐπεί*, v. 17 γυ|*Νή*, v. 27 *Σκῆνος*, v. 35 *Μακρὰν*

τὴν φαιδρὰν λαμπηδόνα, λειμώνων θείων τὴν ἀκήρατον τέρψιν, πάντων τῶν καλῶν τὴν ἀνώλεθρον κτῆσιν καὶ βασιλείας οὐρανῶν κληρουχίαν· ὅτι Χριστῷ τῷ Θεῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. ἀμήν.

---

f. 101ᵛ *Μηνὶ τῷ αὐτῷ κα΄.*

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΑΡΧΙΠΠΟΥ, ΦΙΛΗΜΟΝΟΣ ΚΑΙ ΑΠΦΙΑΣ.

1. Ἄρτι τοῦ μεγάλου κήρυκος τῆς εὐσεβείας, Παύλου φημὶ τοῦ σοφοῦ, τὸ εὐαγγέλιον Χριστοῦ κατὰ τὴν οἰκουμένην σχεδὸν ἅπασαν διαγγέλλοντος καὶ πολλῶν εἰς τοῦτο συμπονούντων αὐτῷ τῇ τοῦ ἀγαθοῦ πνεύματος χάριτι, εἷς ἐκείνων καὶ ὁ θαυμαστὸς ἐγνωρίζετο καὶ σοφώτατος Ἄρχιππος, μεθ᾽ ὃν καὶ Φιλήμων ὁ τὰ πάντα καλὸς καὶ ἡ καλλίστη τῶν γυναικῶν Ἀπφία· καὶ γὰρ οὐδὲ γυναιξὶν ἀποκέκλειστο τὰ τῆς ἀποστολῆς, ἀλλ᾽ οὐδ᾽ αὐτὸ πάντως τὸ τοῦ μαρτυρίου στάδιον· πρῶται καὶ γὰρ κατεῖδον Χριστὸν μετὰ τὴν ἀνάστασιν καὶ πρῶται ταύτην ἐκήρυξαν.

2. Οὗτοι τοίνυν οἱ τῷ ὄντι θαυμάσιοι κατὰ τοὺς χρόνους Νέρωνος τοῦ δυσσεβοῦς | (col. 2) *καὶ μετὰ τὴν Παύλου μετάστασιν τὸν λόγον τῆς ἀληθείας ὀρθοτομοῦντες καὶ πανταχοῦ διασπείροντες καὶ πολλοὺς εἰς τὴν ὀρθόδοξον σαγηνεύοντες πίστιν, ἐπειδήπερ διατάγματα κατὰ πᾶσαν ἐφοίτα τὴν ὑπὸ Ῥωμαίους ἀρχήν, ὥστε τοὺς εὑρισκομένους χριστιανοὺς μετὰ πολλὰς τὰς τιμωρίας τῇ τελευταίᾳ τοῦ θανάτου καθυπάγεσθαι ψήφῳ, συλλαμβάνονται παρὰ τῶν εἰδωλολατρῶν ἐν τῇ πόλει Κολασαέων (μία δὲ αὕτη τῆς Φρυγίας τυγχάνει), Θεῷ τοὺς ὕμνους ἀναφέροντες κατ᾽ αὐτὴν δὴ τὴν καθολικὴν ἐκκλησίαν, καὶ ἄγονται πρὸς τὸ βῆμα τοῦ δυσσεβοῦς Ἀνδροκλέους· ἀνὴρ οὗτος δεινὸς καὶ ἀπηνὴς καὶ θηρίων αὐτῶν ἀγριώτερος. ἄγεται τοιγαροῦν μετὰ τῶν συνδεσμωτῶν ὁ καλὸς Ἄρχιππος, ὡς εἴρηται,*‖ (f. 102) *πρὸς αὐτόν· τὴν εὐσέβειαν ἐγκαλεῖται· θύειν τοῖς ἀθέοις αὐτοῦ θεοῖς ἀναγκάζεται καὶ μάλιστα Μηνᾷ τῷ εἰδώλῳ. τοῦτο γὰρ ἐτίμων ἐξόχως οἱ ἀσεβεῖς τὸ ξόανον, οὐκ οἶδ᾽ ὅθεν καὶ ὅπως οὕτω καλοῦν-*

Rubro: v. 2 *Πάντων*, v. 8 *Ἄρτι*, v. 11 *Οἱ*
6 *ἀπο(στόλου)* 10 *διαγγέ|λοντος* 24 *Κολασαέων*: *sic cod.*

τες αὐτό. μὴ πειθόμενος πᾶσαν ἰδέαν βασάνων ὑφίσταται. ῥαβδίζεται καθάπερ ἄρα καὶ Παῦλος ὁ μέγας· φυλακῇ παραδίδοται· ξέεται· καίεται καὶ πᾶν ἄλλο κακώσεως εἶδος ὑφίσταται· καὶ ἐπεὶ μὴ ἐνεδίδου πρὸς τὴν τοῦ κολάζοντος γνώμην μηδ' ὑπεχαννοῦτο τὸ σύνολον, μηδ' ἄκροις ἐν ὠσίν, ὡς εἰπεῖν, ἐκείνου τοὺς λόγους ἐλάμβανεν, ἀλλ' ἑδραῖος ὅλος, ἀκλινὴς καὶ ἀμετακίνητος πρὸς τὴν εἰς Χριστὸν ἵστατο πίστιν, εἰς βόθρον δέσμιος μέχρις αὐτῆς ὀσφύος ἐμβάλλεται, τοῦτο τοῦ τυράννου κελεύσαντος· | εἶτα καὶ παρὰ παίδων [col. 2] προσαχθέντων αὐτῷ ὀβελίσκοις τισίν, οὓς καὶ γραφίδας ἐκεῖνοι λέγουσι, δι' ὅλου κεντεῖται τοῦ σώματος· καὶ [ἐπεὶ] μηδὲ οὕτω θύειν ἤθελεν ὁ γεννάδας, λίθοις χώννυται, φεῦ, ὡς ὁ πρώταθλος, καὶ οὕτω τὸ μακάριον τέλος ὑφίσταται προσευχόμενος, ὡς ἐκεῖνος, ὑπὲρ τῶν λιθαζόντων. καὶ οὕτω μὲν οὗτος.

3. Φιλήμων δὲ καὶ Ἀπφία, τὸ καλὸν ἐν ἀποστόλοις καὶ μάρτυσι κλέος, οὐκ ἔστιν εἰπεῖν ὅσαις βασάνων παρεδόθησαν τρικυμίαις· ῥαβδίζονται κατὰ τὸν διδάσκαλον καὶ αὐτοί, ξέονται, φεῦ, ἀνηλεῶς, πυρὶ προσριπτοῦνται καὶ σώζονται τῇ δυνάμει Χριστοῦ. εἶτα καὶ φυλακῇ καθείργνυνται, λιμῷ πιέζονται καὶ πᾶσαν κάκωσιν πολυ||ήμερον ὑπομένουσιν· ἐξάγονται καὶ τιμωρίαις παραστῆναι [f. 102v] λόγοις οὐ δυναμέναις μὴ θύειν βουλόμενοι καθυπάγονται καὶ οὕτω τὸ μακάριον καὶ οὗτοι δέχονται τέλος καὶ προστίθενται τοῖς ἀποστόλοις οἱ τοῦ λόγου κήρυκες, τοῖς μάρτυσιν οἱ καλῶς ὑπὲρ αὐτοῦ μαρτυρήσαντες. περιστέλλονται παρὰ τῶν εὐσεβῶν ὡς εἰκὸς καὶ θάπτονται τῇ προσηκούσῃ ταφῇ.

4. Καὶ νῦν οἰκοῦντες ἐν σκηνώμασι τῶν δικαίων, πανθαύμαστοι καὶ μάρτυρες καὶ ἀπόστολοι, καὶ σὺν τῷ κήρυκι τῆς ἀληθείας Παύλῳ τῷ κλεινῷ καὶ διδασκάλῳ τῆς οἰκουμένης συναγαλλόμενοι, πρέσβεις γένοισθε σὺν αὐτῷ τὰ πρὸς Θεὸν βασιλεῖ ἡμῶν τῷ τὰ πάντα καλῷ καὶ πᾶσι τρόποις κεκοσμημένῳ τοῖς ἀγαθοῖς, | μακρὰν [col. 2] αὐτῷ τὴν ζωὴν καὶ πραγμάτων ἐκτὸς χαριζόμενοι, ἰσχὺν κατὰ τῶν ἀντιπάλων καὶ κράτος, χειρὸς θείας τὴν συμμαχίαν, ἀναιδῶν ἐθνῶν καὶ ἰταμῶν τὴν κατάλυσιν, ναὶ δὴ πρὸς τούτοις ἡμέρας ἀνεσπέρου τὴν φαῦσιν, λαμπρότητος Θεοῦ τὴν ἀμέτρητον χάριν, παντὸς τέρποντος τὴν φαιδρὰν κληρουχίαν καὶ βασιλείας Θεοῦ τὴν εὐτυχίαν· ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Rubro: v. 3 **Καὶ** ἐπεί, v. 10 **Καί**, v. 14 **Φιλήμων**, v. 25 **Καί**, v. 29 **Μακράν**, v. 34 **Παντὸς**

10 ἐπεὶ *inserui*

f. 103 *Μηνὶ τῷ αὐτῷ κβ΄.*

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΕΥΣΤΑΘΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΑΝΤΙΟΧΕΙΑΣ ΤΗΣ ΜΕΓΑΛΗΣ.

1. Εὐστάθιον τὸν πάνυ, τὸ μέγα κλέος τῆς οἰκουμένης, τὸν ἐν σοφίᾳ περίβλεπτον καὶ ταῖς ἀρεταῖς περιβόητον ἡ περιφανὴς Ἀντιόχεια πολιοῦχον ἔσχε καὶ ποιμενάρχην λαμπρότατον, ἄρτι Κωνσταντίνου τοῦ πρώτως χριστιανῶν βασιλεύσαντος τὰ Ῥωμαίων καλῶς διεξάγοντος σκῆπτρα. τοῦτον οὖν τὸν Εὐστάθιον, τὸ εὐσταθὲς καὶ col. 2 *περίδοξον φρόνημα, σοφῶς τὸν | πρότερον βίον καὶ καθαρῶς διανύσαντα καὶ ὅλον πνεύματος θείου πλήρη γενενημένον καὶ ἥλιον καθάπερ ἐν τῷ τῆς γῆς στερεώματι διαλάμποντα Θεὸς ὁ τῶν καλῶν παροχεὺς οὐκ εὐδόκησεν ὑπὸ τὸν μόδιον κρύπτεσθαι καὶ λανθάνειν ἐπὶ πολύ, οὐδὲ μόνον ἑαυτὸν ἠθέλησε σώζειν καὶ μὴ πρὸς ἐπίγνωσιν τῆς ἀληθείας πολλοὺς ἐπανάγειν δυνατὸν ὄντα καὶ λόγοις, ἀλλὰ δὴ καὶ μᾶλλον ἔργοις αὐτοῖς καὶ θαυμάτων χάρισι τῆς τῶν* f. 103v *αἱρε||τικῶν μοίρας ἀφιστᾶν τοὺς πολλοὺς καὶ πρὸς τὴν ὀρθόδοξον πίστιν αὐτοὺς μεθιστᾶν καὶ τὰ ἀλλόφυλα δόγματα καὶ τοὺς ἀραβικοὺς λύκους ἐκείνους, τοὺς πρεσβευτάς φημι τῆς αἱρέσεως, τῇ σφενδόνῃ βάλλειν τοῦ πνεύματος καὶ πόρρω τῆς ἐκκλησίας τούτους ἀποδιώκειν.*

2. Ἔνθεν τοι καὶ πρὸς τὸν ὑψηλὸν αὐτὸν ἀνάγει θρόνον τῆς Θεουπόλεως, Θεουπολίτην καὶ αὐτὸν χρηματίζοντα, κἀν τῇ λυχνίᾳ τῆς ἐκκλησίας τίθησι τὸν λαμπτῆρα ταύτης καὶ καλὸν ποιμενάρχην. τίθησι δὲ ψήφῳ καὶ συνελεύσει τῶν ἐκκρίτων ἀρχιερέων καὶ τοῦ πλήθους παντός· καὶ ἦν οὕτω καλῶς ὁ μέγας διευθύνων τὸ ποίμνιον καὶ σοφῶς διεξάγων ταῖς ἡδυτάταις τῶν λόγων αὐτοῦ παραι- col. 2 *νέσεσιν, ὡς ὁρᾶσθαι τοῦτο δὴ | τὸ ποίμνιον ἄμπελον καθάπερ εὐκληματοῦσαν καὶ ποταμοῖς ἐπεμβαίνουσαν, καλύπτουσάν τε τῷ πλήθει τῆς δόξης ὄρη καὶ κέδρων αὐτῶν ὑπεραιρομένην, καὶ ταῦτα τῶν τοῦ Θεοῦ.*

3. Ἀλλ' ἐπεὶ τὸν τοῖς ἀγαθοῖς ἀντικείμενον οὐκ ἦν ἠρεμεῖν ἐν τούτοις, οὕτως εὐνομουμένην ὁρῶντα τὴν ἐκκλησίαν, τί γίνεται; τὰ χαλεπώτατα καὶ οἷα σύνηθες αὐτὸν διαπράσσεσθαι. καὶ γὰρ

Rubro: v. 5 *Εὐστάθιον*, v. 22 *Ἔνθεν*, v. 32 *Ἀλλ'*
8 *πρώτ(ως)* cod., non *πρώτ(ου)*

ὑπελθὼν ὁ πανοῦργος τοὺς τῆς ἀληθείας ἐχθροὺς, Εὐσέβιον τὸν ἀσεβῆ, τὸν Νικομηδείας, ὡς οὐκ ὤφελε, πρόεδρον, τὸν δυσσεβῆ καὶ αὐτὸν Εὐσέβιον τὸν Καισαρείας καὶ Θεόγνιν τὸν Νικαίας καὶ ἄλλους αἱρετικούς, δεινοὺς ἄνδρας καὶ ὅλον, ὡς εἰπεῖν, ἐνδεδυμένους τὸν Σατανᾶν, τὰ Ἀρείου φρονοῦντας, τὰ Ἀρείου πνέοντας, τὰ Ἀρείου ζῶντας καὶ || τρεφομένους, πόλεμον ἐγείρει κατὰ τῆς ἐκκλησίας καὶ f. 104 *πόλεμον τῶν πώποτε μνημονευομένων τὸν χαλεπώτατον, κατατομήν, οἴμοι, τῆς θείας φύσεως δογματίζοντας, τὸν Υἱὸν τοῦ Θεοῦ κτίσμα λέγοντας στόμασιν ἐναγέσι καὶ τῆς πατρικῆς τιμῆς καὶ δόξης ἀλλότριον.*

4. Ἀλλ᾽ ἐπεὶ τῇ κατὰ Νίκαιαν συναθροισθείσῃ συνόδῳ παρῆν καὶ ὁ μέγας οὗτος Εὐστάθιος, βάλλει μὲν τούτους καιρίως τοῖς ἐκ λόγων ὅπλοις καὶ τρέπει στερρῶς ἐλέγχων καὶ διασύρων πᾶσαν αὐτῶν γενναιότατα τὴν κακόνοιαν καὶ τὰ ἔκφυλα τούτων πόρρω διώκων κακοτεχνήματα, τὸ δέ γε δόγμα τῆς εὐσεβείας κρατύνων ὁ σοφὸς ἄριστά τε καὶ τελεώτατα.

5. Τί οὖν τὸ ἐντεῦθεν; τῆς ἱερᾶς ἐκείνης συνόδου Θεῷ καὶ τῷ προμάχῳ τούτῳ καλῶς ἐγκαυ|χωμένης ἅμα καὶ γηθομένης, εἶτα καὶ col. 2 *τὴν ἰδίαν ἑκάστου τῶν θείων πατέρων ἐκκλησίαν καταλαβόντος, ὁ τῆς κακίας σοφιστὴς ἡσυχάζειν οὐκ ἤθελε, καὶ τί ποιεῖ; τρόπον ἕτερον κατὰ τοῦ ἀνταγωνιστοῦ τὴν ὅλην ἐκρήσσει μανίαν, τοῦτον ἐκ μέσου ποιῆσαι βουλόμενος, ὡς ἂν ῥᾴδιον περιγένηται τῶν λοιπῶν, καὶ τὰ τῆς αἱρέσεως παρεισδύσῃ καὶ κρατυνθῇ διὰ τῶν οἰκείων· ἀλλ᾽ εἰς κενὸν αὐτῷ τὸ ἐγχείρημα· ὅρα γάρ μοι τῆς κακίας αὐτοῦ καὶ τοῦ δεινοῦ τρόπου τὸ μέγεθος. οἱ δηλωθέντες ἔξαρχοι τῆς αἱρέσεως, ὅ τε Νικομηδείας Εὐσέβιος, ὁ Καισαρείας ὁμώνυμος καὶ Θεόγνις ὁ Νικαίας, τὴν ἧτταν οὐ φέροντες, ἣν κατὰ τὴν σύνοδον ἐκπεπώκασι, τὴν εἰς Ἱε||ροσόλυμα πορείαν ἐπιτετηδευμένως ποι-* f. 104v *οῦνται καὶ δῆτα τὴν Ἀντιόχειαν κατὰ πάροδον δῆθεν εἰσελθόντες κἀν ταύτῃ τισὶ διατρίψαντες ἐν ἡμέραις, γύναιον ἑταιρικὸν προσκαλοῦνται καὶ τοῦτο δώροις ἀναπείθουσι πλείστοις τοῦ μεγάλου κατηγορῆσαι, καὶ τοῦτο δὴ τὸ τῆς συκοφαντίας εἶδος λίαν ὑποθέμενοι κακομηχάνως. τὸ δὲ ἦν, βρέφος ἀρτιγενὲς ἀγκαλισαμένην αὐτὴν τούτοις ἐλεεινῶς προσελθεῖν καὶ κατειπεῖν Εὐσταθίου, ὡς ἄρα τῇ συνελεύσει τούτου τέκοι τὸ βρέφος καὶ μηδεμίαν ἄρτι τούτου πρόνοιαν τιθοῖτο.*

6. Γίνεται τοῦτο, καὶ πλῆθος κακοδόξων οἱ ἀσεβεῖς συναθροί-

Rubro: v. 1 *Ὁ*, v. 11 *Κατὰ*, v. 17 *ἐν|Τεῦθεν*, v. 25 *δη|Λωθέντες*, v. 37 *Γίνεται*
3 *Θεόγνιν*: *sic cod., non* *Θέογνιν* 21 *ἐκρίσσει* 24 *κενὸν*: *καινὸν cod.*
35 *μηδὲ μίαν* 36 *τίθοιτο*

σαντες δικαστήριον ματαιότητος καὶ μανίας ψευδοῦς καθιστῶσι, col. 2 *μηδεμίαν τῷ | πράγματι δόντες ἔρευναν, μηδεμίαν συζήτησιν, μή τινα τὸ παράπαν ἀπόδειξιν ἀπαιτήσαντες τοῦ κατηγορουμένου μύσους τὸ γύναιον, ὅρκῳ δὲ μόνῳ τὸ γύναιον καθυπαγαγόντες οἱ καλοὶ τῶν τοιούτων κριταί, οἱ ἀκριβέστατοι δοκιμασταί, οἱ σοφοὶ τῆς δίκης διαιτηταὶ οὕτω τὴν καθαίρεσιν κατεψηφίσαντο τοῦ ἁγίου καὶ τὸν βασιλέα πείθουσιν, ἀκοὰς αὐτοῖς οὐκ οἶδ᾽ ὅπως εἰπεῖν χαρισάμενον, ἐξορίαν ἀποφήνασθαι κατ᾽ αὐτοῦ.*

Τῷ τοι καὶ διὰ τῆς Θράκης εἰς Φιλίππους πέμπεται, πολλὰς κατὰ τὴν ὁδοιπορίαν ὑπὸ τῶν ἀπαγόντων τὰς θλίψεις ὁ καλὸς Εὐστάθιος ὑπομείνας. ἔνθα δὴ καὶ τὸν βίον κατέλυσεν ὁ θαυμάσιος καὶ πρὸς τὰς οὐρανίους σκηνὰς μετεφοίτησεν. ἄξιον τοίνυν || f. 105 *καὶ περὶ τῆς ἀνακομιδῆς τοῦ θείου τούτου σκήνους διαλαβεῖν.*

7. *Χρόνων, ὡς λόγος, ἑκατὸν ἢ καὶ πλειόνων μετὰ τοῦτο διαδραμόντων, κατὰ τοὺς χρόνους τῆς Ζήνωνος βασιλείας, ἐντίμως αὐτοῦ κελεύσαντος Ἀντιοχέων ταῖς παρακλήσεσι, τῷ οἰκείῳ θρόνῳ προθύμως ὁ μέγας ἀνακομίζεται. μεθ᾽ ὅσης οὖν ἡ πόλις αὐτὸν ὑπεδέξατο χαρᾶς, οὐκ ἔστιν εἰπεῖν· προχυθὲν γὰρ ἅπαν τὸ πλῆθος ὡς ἀπὸ μιλίων τῆς πόλεως ὀκτωκαίδεκα τὴν ἀπαντὴν ἐποιήσαντο, μεθ᾽ ὕμνων καὶ φώτων καὶ θυμιαμάτων τὴν ἅπασαν ἐκείνην ὁδὸν διανύσαντες. ὡς δὲ καὶ τὴν πόλιν εἰσῆλθον, οὐκ ἦν ὅστις ἀπελείφθη τῆς καλλίστης ἐκείνης συνδρομῆς, ἄνδρες ὁμοῦ καὶ γυναῖκες καὶ* col. 2 *παῖδες | αὐτοί, κοινὴν ἑορτὴν καὶ εὐφροσύνην ποιούμενοι τὴν κατάθεσιν. οὐδὲ τὸ δοῦλον αὐτὸ μὴ παρεῖναι πάντως ἠνέσχετο, ἀλλὰ κοινὴν καὶ οὗτοι τοῖς δεσπόταις τὴν χαρὰν συνδραμόντες ἐποίουν. καὶ ἦν ἰδεῖν ἀγαλλίασιν ξένην τινὰ καὶ παράδοξον· σκιρτᾶν τότε μοι δοκεῖ καὶ αὐτὴν ἐπὶ τούτῳ τὴν ἄψυχον ὕλην· οὕτω καὶ γὰρ Εὐστάθιος ἠγαπᾶτο παρὰ πάντων καὶ ἐδοξάζετο· ναὶ δὴ καὶ Ἰωάννης ἡ χρυσῆ γλῶσσα καὶ τὰ θεῖα σοφὴ πλείστοις ἐγκωμίοις τὸν ἄνδρα προσηκόντως ἐτίμησε καὶ λόγοις ἐπαίνων κατέστεψεν. ἀλλὰ ταῦτα μὲν εἰς τοσοῦτον. δίκαιον δὲ ἄρα καὶ περὶ τῆς κατηγόρου διεξελθεῖν γυναικός.*

8. *Λέγεται γὰρ νόσῳ δεινῇ ταύτην περιπεσεῖν καὶ τηνικαῦτα* f. 105v *μὲν τὴν ἐπιβουλὴν || τρανῶς καὶ τὸν δόλον ἐξαγορεῦσαι καὶ τοὺς ὑποθεμένους δὲ ταύτῃ τὴν συκοφαντίαν ἐξ ὀνόματος ἀπαγγεῖλαι καὶ ὅσων καὶ οἵων ἐξηπάτηται δώρων καὶ ὡς Εὐστάθιος ἦν ὁ χαλκεὺς ὁ ταύτῃ συμφθαρείς, ἐξ οὗ καὶ τὸ βρέφος ἀπέτεκεν. ἀλλὰ*

Rubro: v. 9 *Τῷ τοι*, v. 14 *Ὡς*, v. 21 *Καί*, v. 27 *Γάρ*, v. 33 *Λέγεται*
2 *μὴ δὲ μίαν* (*bis*) 9 *τώ τοι* 29 *χρυσὴ*

μηδὲ τέλος ἐπιθεῖναι τῇ βουλῇ λέγεται ταύτην τῷ μὴ τὸν ὅρκον ἐξενεγκεῖν· ἐρήμην γὰρ οἱ ἀσεβεῖς τοῦ ἁγίου κατεψηφίσαντο. καὶ ταῦτα μὲν οὕτως.

9. Σὺ δέ, ὦ θεία καὶ ἱερὰ κεφαλὴ καὶ πᾶσιν αἰδέσιμος, τῷ δεσποτικῷ τὰ νῦν παριστάμενος θρόνῳ καὶ τὰς ὑπὲρ τοῦ κόσμου πρεσβείας ποιούμενος οἷα ποιμὴν συμπαθέστατος, δώρησαι ταῖς πρὸς Χριστὸν ἱκεσίαις σου καὶ βασιλεῖ τῷ πιστῷ καὶ φιλαγίῳ καὶ πᾶσιν ἐμπρέποντι τοῖς | ὀρθοδόξοις δόγμασι μετανοίας καιρὸν τῶν col. 2 ἐν βίῳ σφαλμάτων, ἱλύος αὐτῶν καὶ μώμου τὴν κάθαρσιν, χαλεπῶν ἐθνῶν τὴν κατάλυσιν, ἀνομούντων ἐχθρῶν τὴν καθαίρεσιν, ἡμέρας ἀνεσπέρου τὴν ἡδυτάτην τέρψιν, λειμώνων θείων τὴν χαριεστάτην ἀπόλαυσιν, πάσης εὐθυμίας τὴν χάριν καὶ Θεοῦ βασιλείας τὴν εὐτυχίαν· ὅτι αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ κγʹ. *f. 106*

ΒΙΟΣ ΚΑΙ ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΠΟΛΥΚΑΡΠΟΥ ΕΠΙΣΚΟΠΟΥ ΣΜΥΡΝΗΣ.

1. Ἡνίκα Δέκιος ὁ δυσσεβὴς τὰ Ῥωμαίων σκῆπτρα διεῖπε καὶ διατάγματα κατὰ πᾶσαν ἐφοίτα τὴν ὑπ᾽ αὐτὸν ἀρχήν, τοὺς εὑρισκομένους χριστιανοὺς πολυτρόπων πρότερον ἰδέαις κολάσεων παραδιδομένους κελεύοντα οὕτω καὶ τὴν τελευταίαν πληγὴν ἀποφέρεσθαι, τότε καὶ τὸ τοῦ Χριστοῦ φυτόν, ὁ καλὸς Πολύκαρπος, ἐπίσκοπος τῆς κατὰ Σμύρναν ἐκκλησίας ἐ|γνωρίζετό τε καὶ ἦν. ἀλλὰ χρὴ col. 2 μικρὸν ἄνωθεν τὰ περὶ τούτου διαλαβεῖν, ἵν᾽ εὐσύνοπτα τοῖς πᾶσι καλῶς καὶ ἀκολούθως γινώσκοιτο.

2. Τῶν τεκόντων αὐτὸν ἄρτι τὸν βίον ἀπολιπόντων ὁ τῶν ὀρφανῶν πατὴρ καὶ τροφεὺς γυναῖκά τινα τῶν ἐπιδόξων παρασκευάζει μητέρα τούτου κατὰ πνεῦμα γενέσθαι καὶ πάντα τὰ μητρὶ πρέποντα πρὸς αὐτὸν ἐνδείξασθαι. τοῦτον οὖν ἡ καλλίστη τῶν γυναικῶν ἐκείνη ποθούμενον υἱὸν ὡς ἅτε καὶ ἀγαπώμενον || ἀνῆγέ *f. 106v* τε σοφῶς καὶ ἐπαίδευε καὶ πᾶν εἶδος ἐπιμελῶς ἐδίδασκεν ἀρετῆς·

Rubro: v. 4 **Ὦ**, v. 8 **Με**τανοίας, v. 12 **Πά**σης, v. 18 **Ἡ**νίκα, v. 26 τε|**Κό**ντων, v. 29 **Οὖ**ν

1 μὴ δὲ   4 θεῖα   27 γυναῖκα τινά

καὶ τοσοῦτον, ἵνα τὰ πλεῖστα παρῶ, νέας ἔτι τυγχάνων διέλαμψέ τε τῷ βίῳ καὶ διὰ πασῶν ὥδευσε τῶν τοῦ Χριστοῦ σοφῶς ἐντολῶν, ὅσον ὅτι καὶ θαυμάτων πλείστων γέγονεν αὐτουργός· ἐλεήμονα γὰρ γνώμην ἀναλαβὼν καὶ ταύτῃ συντραφείς, ὡς ἂν εἴποι τις, καὶ συναυξηθείς, οὐ πᾶν ἁπλῶς τὸ προστυχὸν τοῖς ἐνδεέσιν ἐδίδου φιλοτίμως μόνον καὶ δαψιλῶς, ἀλλὰ δὴ καὶ τοὺς σιτῶνας τῆς κατὰ πνεῦμα μητρὸς τοῖς τῶν πενήτων κόλποις ὅλαις ἐκένου χερσίν, εὐχῇ τε πάλιν τούτους ἐπλήρου κατὰ τὸν Θεσβίτην Ἠλίαν θαυματουργῶν, ὡς ἐκεῖνος εἴς τε τὴν δράκα τοῦ ἀλεύρου καὶ τὸν τοῦ col. 2 *ἐλαίου καμψάκην ἐποί||ησεν.*

3. Ἔνθεν τοι καὶ τελῶν εἰς ἄνδρας ὁ καλὸς Πολύκαρπος τῷ θεολόγῳ καὶ εὐαγγελιστῇ Ἰωάννῃ καλῶς μαθητεύεται σὺν Ἰγνατίῳ τῷ θεοφόρῳ καὶ Βουκόλῳ τῷ τὰ πάντα σοφῷ καὶ πρὸ αὐτοῦ τὸν τῆς ἐκκλησίας Σμύρνης κατακοσμήσαντι θρόνον· καὶ χρόνοις ἐν οὐκ ὀλίγοις σὺν αὐτῷ κηρύξας τὸ Εὐαγγέλιον τῇ κατὰ Σμύρναν ἐκκλησίᾳ παρὰ τούτου καταλιμπάνεται, ἄρτι τοῦ Βουκόλου τὴν προστασίαν αὐτῆς ὑπὸ τοῦ εὐαγγελιστοῦ δεξαμένου· ᾧτινι χρόνον συνδιαγαγὼν οὐκ ὀλίγον καὶ τῶν ἀγώνων συνεφαψάμενος πολλοὺς εἰς τὴν πίστιν συνήγαγέ τε καὶ συνεκράτυνεν. ἀλλ' ἐπεὶ τὸν Βουκόλον τὸ πέρας ἐλάμβανεν ἤδη τοῦ βίου, καθ' ὃν τρόπον f. 107 *ἡ περὶ τούτου || διαλαμβάνει σαφῶς ἱστορία, ὁ Πολύκαρπος προρρήσει τοῦ Βουκόλου καὶ ψήφῳ κοινῇ τοὺς τῆς αὐτῆς ἐκκλησίας ἐγχειρίζεται οἴακας· καὶ μέντοι δὴ καὶ σοφῶς διεξάγει τὸ ποίμνιον καὶ ποιμαίνει καλῶς, πρὸς τόπον τε χλόης κατασκηνοῖ καὶ πρὸς ὕδωρ ἀναπαύσεως φιλοπόνως ἐκτρέφει· γίνεται δὲ καὶ θαυμάτων αὐτουργὸς οὐκ ὀλίγων· πυρὸς γὰρ ἐπέσχεν ὁρμήν, δεινῶς τὰ συμπαρακείμενα φλέγοντος, εὐχῇ μόνῃ καὶ σταυροῦ τῇ σφραγῖδι· ὑετὸν ἐξ οὐρανοῦ, ὡς Ἠλίας, αὐχμώσῃ τῇ γῇ κατήγαγε καὶ πάλιν αὐτοῦ τὴν ἄμετρον φορὰν ἀνέστειλεν.*

4. Ἀλλὰ ταῦτα τὰ παράδοξα καὶ τοῖς τοῦ μαρτυρίου μετὰ ταῦτα κατεκόσμησεν ἄθλοις· Δεκίου γάρ, ὡς εἴρηται, τοῦ δυσσεβοῦς col. 2 *τὸν κατὰ χρι|στιανῶν ἐπιτείνοντος διωγμόν, συλλαμβάνεται καὶ ὁ καλὸς Πολύκαρπος παρὰ Ἡρῴδου τοῦ εἰρηνάρχου, ἐπὶ Φιλίππου τοῦ ἀρχιερέως, καὶ τῷ ἀνθυπάτῳ τῆς Ἀσίας Τραλιανῷ προσάγεται. ἅμα γοῦν τῷ πρὸς τὸ στάδιον αὐτὸν εἰσελθεῖν οὐρανόθεν γίνεται φωνή, «Ἴσχυε» λέγουσα «καὶ ἀνδρίζου, Πολύκαρπε· μετὰ σοῦ γάρ εἰμι». προσαχθέντος οὖν αὐτοῦ τῷ ἄρχοντι, συνδρομὴ γέγονε πλήθους μεμαθηκότος ὅτιπερ ὁ Πολύκαρπος συνελήφθη*

Rubro: v. 11 *Εἰς*, v. 19 *ἀλ|Λ'*, v. 31 *Γάρ*, v. 35 *Ἅμα*, v. 37 *προ|Σαχθέντος*

καὶ προσήχθη τῷ ἄρχοντι. ἵστατο μὲν οὖν ὁ τοῦ Χριστοῦ ἀρχιερεὺς πολιᾷ καὶ συνέσει κεκοσμημένος, οἷα δὴ καὶ ὁ ἐμὸς Ἰησοῦς τότε Πιλάτου κρίνοντος, ἠμέλουν δὲ τὰ δικαιωτήρια· καὶ ὅμως πρὸς ἄρνησιν ὁ δίκαιος ἐξεκαλεῖτο Χριστοῦ παρὰ τοῦ || τυράννου, θηρίοις f. 107v ἠπειλεῖτο δοθῆναι, πυρὶ καυθῆναι, βασάνοις ἄλλαις ὑποβληθῆναι. ἀλλὰ ταῦτα μὲν οὐδὲν ὅλως ὑπεχαύνουν τὸν ἀθλητήν, χριστιανὸν δὲ μᾶλλον κηρύττειν ἑαυτὸν διηρέθιζον καὶ τὸ πρόσωπον ἐποίουν χαρᾶς πεπληρωμένον ἔχειν, καὶ ὡς ἐπί τινα τούτων εὐωχίαν καλεῖσθαι.

δ̄. Τοίνυν τὸ συνειλεγμένον πλῆθος, ὅσοι τῶν Ἰουδαίων καὶ ὅσοι τῶν Ἑλλήνων «Οὗτος» ἔλεγον, «ἡγεμών, ὁ τῆς ἀσεβείας διδάσκαλος, οὗτος ὁ τῶν Γαλιλαίων ἔξαρχος, ὁ τῶν θεῶν καθαιρέτης οὗτος· αἶρε τοῦτον ἀπὸ τῆς γῆς, μὴ λάθῃ καὶ ἡμᾶς ἀπὸ τῆς αὐτῶν ἀποστῆσαι λατρείας». ταῦτα τοῦ πλήθους λέγοντος, ὁ ἀνθύπατος τὸν ἀρχιερέα τῶν εἰδώλων Φίλιππον θηρία τῷ Πολυκάρπῳ προσεπαφεῖναι διεκε|λεύετο· τοῦ δὲ μὴ προσεῖναι ταῦτ' ἐξ ἑτοίμου col. 2 τούτῳ φήσαντος, οἱ τῶν δαιμόνων ὑπασπισταὶ «Πυρὶ δοθήτω Πολύκαρπος» μέγα προσεπεβόων· καὶ ἐπεὶ τοιαύτη δέδοτο κατ' αὐτοῦ ἡ ἀπόφασις, ἦν ἰδεῖν ὕλην συμφοροῦντας ἅπαντας ἐπὶ τούτῳ, καὶ μάλιστα τοὺς σκαιοὺς Ἰουδαίους. ὅτε δὲ μέγιστον ἡ φλὸξ ἐπήρθη καὶ ἱκανῶς ἐξετράφη, τότε δὴ περιτίθεται τῷ μάρτυρι τὰ δεσμὰ καὶ τὰ πρὸς τὴν καῦσιν ὄργανα προσάγεται τάχος· οἷς καὶ μελλόντων αὐτὸν προσηλοῦν, ἐκεῖνος «Ἄφετέ με» εἶπε πρὸς αὐτοὺς γλυκείᾳ καὶ προσηνεῖ τῇ φωνῇ, «ἄφετε· ὁ γὰρ δοὺς θάρσος ἐμοὶ πρὸς ὑπομονήν, οὗτος δώσει καὶ τῆς ἐκ τῶν ἥλων ἀσφαλείας ἐκτὸς ἀσάλευτον μεῖναί με πρὸς τὴν τοῦ πυρὸς ἐνέργειαν». ἔνθεν τοι καὶ οὐ καθή||λωσαν μὲν οἱ ἀσεβεῖς τὸν δίκαιον, ἐξ ἀγκώνων δὲ f. 108 τούτου τὰς χεῖρας ἐδέσμησαν καὶ οὕτω κριὸν ὥσπερ ἐπίσημον ἢ μᾶλλον εἰπεῖν δεκτὴν ὡς προσφορὰν τῷ Θεῷ τῷ πυρὶ ὡλοκάρπωσαν. ἀλλὰ τῷ ῥηθήσεσθαι μέλλοντι προσέχειν ἄξιον· ἔχει γὰρ μετὰ τοῦ θαύματος πολὺ καὶ τὸ χάριεν. τὸ πῦρ ἐκεῖνο δίκην ὀθόνης ὑπὸ πνεύματος κυρτουμένης κύκλῳ τοῦ μαρτυρικοῦ σώματος ἐκείνου διαταθέν, ὡς ἐν παστάδι τοῦτο κείμενον εἶχεν ἄφλεκτον τὸ καθόλου καὶ μήτε τινὸς ἴχνος περισῶζον φλογώσεως· ἄρτον ἂν εἶπες αὐτὸ καθαρὸν ὠπτημένον πυρί, ἢ χρυσὸν ἐν μέσῳ πυρὸς διαλάμποντα· καὶ τὸ δὴ χαριέστατον, εὐωδία τις ἀπέπνει τοῦ σώματος ἡδεῖα καὶ ξένη καὶ ἡδονῆς εἰκασμῷ μηδαμῶς | ὑποβληθῆναι col. 2

Rubro: v. 10 Τὸ, v. 14 Πλήθους, v. 18 τοι|Αὔτη, v. 26 Ἔνθεν, v. 31 Ἐκεῖνο
16 προσεπαφῆναι 24 γλυκεῖα 29 ὁλοκάρπωσαν 34 μή τέ τινος

δεδυνημένης. τοῦτο τοὺς παρανόμους ἐξέπληξε, καί τινι κομφέκτωρι λεγομένῳ διακελευσαμένους ὀβελίσκῳ τινὶ κεντῆσαι τὸ μαρτυρικὸν ἐκεῖνο καὶ πανίερον σῶμα, ὡς τοῦτο γέγονεν, αἵματος ἐκεῖθεν ἐξερρύη πηγή, πλείονα τὴν ἡδονὴν ἐμποιήσασα τῷ εὐώδει τοῖς παρεστῶσιν, ὡς ὑπερθαυμάσαι τοὺς ἀσεβεῖς καὶ πονηροὺς ἀναδέξασθαι λογισμοὺς ταῖς τοῦ σοφιστοῦ τῆς κακίας ὑποβολαῖς· φθονήσαντες γὰρ τοῖς πιστοῖς τοῦ τοσούτου καλοῦ, ἵνα μὴ καὶ ταφῇ τὸ λείψανον παραδοθῇ καὶ τιμηθῇ πρεπόντως καὶ διαβῇ πρὸς γενεὰς τὰ τῆς τούτου τιμῆς, καίουσι τοῦτο θυμομαχοῦντες ἐπὶ πολύ.

6. Ἀλλὰ τὰ πάντιμά σου καὶ μυρίπνοα λείψανα χεῖρες πιστῶν || f. 108v *ἀνελόμεναι, θαυμαστὲ Πολύκαρπε, καὶ καλῶς περιστείλασαι τῇ προσηκούσῃ ταφῇ ὁσίως παραδεδώκασι, θαυμάτων πηγὴν καὶ νοσημάτων παντοίων ἰατρεῖον ἄμισθον. καὶ νῦν τὰς ἄνω σκηνὰς κατοικῶν καὶ τῶν ἐν αὐταῖς ἀπολαύων καλῶν, μέμνησο μὲν τῆς ἱερᾶς σου ποίμνης καὶ πόθῳ τὸ θεῖόν σου τελούσης μνημόσυνον· πρόστηθι δὲ καὶ βασιλέως ἡμῶν τοῦ θεοφιλοῦς καὶ πᾶσι διαπρέποντος τοῖς καλοῖς, |* col. 2 *μῆκος αὐτῷ ζωῆς χαριζόμενος ταῖς εἰς Θεὸν ἱκεσίαις σου, ἰσχὺν καθ' ὁρωμένων ἐχθρῶν καὶ ἀοράτων, χειρὸς θείας τὴν συμμαχίαν, ἀκαταμάχητον ἐν τοῖς πολέμοις τὴν δυναστείαν, ἥμερον αὐτόθι καὶ συμπαθῆ τὸν κριτήν, λύοντα τούτῳ τὰ πεπραγμένα, πάντων διδοῦντα τὴν συγχώρησιν ἅμα καὶ τὴν μερίδα τῶν καλῶς σωζομένων· ὅτι αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

---

f. 109 *Μηνὶ τῷ αὐτῷ κδ'.*

ΛΟΓΟΣ ΕΙΣ ΤΗΝ ΕΥΡΕΣΙΝ ΤΗΣ ΤΙΜΙΑΣ ΚΕΦΑΛΗΣ ΤΟΥ ΑΓΙΟΥ ΠΡΟΦΗΤΟΥ ΠΡΟΔΡΟΜΟΥ ΚΑΙ ΒΑΠΤΙΣΤΟΥ ΙΩΑΝΝΟΥ.

1. Πάλιν ἡμῖν ὁ ἱερὸς τοῦ Χριστοῦ καὶ θαυμαστὸς ἐπεδήμησε πρόδρομος Ἰωάννης, ὁ μέγας καὶ προφήτης καὶ μάρτυς καὶ οὗ μείζων ἐν γεννητοῖς γυναικῶν οὐκ ἐγήγερται κατὰ τὴν τοῦ κυρίου φωνήν. ἐπεδήμησε δὲ χαρὰν ἡμῖν κομίζων καὶ θυμηδίαν, τὴν τῆς

Rubro: v. 1 *Τοῦτο*, v. 10 *Πάντιμα*, v. 17 *Μῆκος*, v. 21 *Πάντων*, v. 29 *Πάλιν*

31 *ἐγείγερται*

θείας αὐτοῦ κεφαλῆς πάντιμον εὕρεσιν· ἣν Ἡρῴδης μὲν ὁ σκολιός, τὸ γυναικεῖον ἀνδράποδον, κακῶς ποιῶν ἀπέτεμε, φεῦ, καὶ μοιχαλίδι δῶρον ἀσεβῶς ἐχαρίσατο, Θεὸς δὲ σήμερον ἐφανέρωσε λαοῦ πιστοῦ πρὸς ὠφέλειαν καὶ δόξαν τῆς ἀληθοῦς αὐτοῦ πίστεως. καὶ ὅπως, ὁ λόγος δηλώσει.

2. Μοναχοὶ δύο τῆς ἀνατολῆς | [col. 2] ἐξορμώμενοι πόθον ἔσχον καταλαβεῖν τὰ Ἱεροσόλυμα πρὸς θέαν τῶν ἐκεῖσε τόπων καὶ προσκύνησιν, οἷς ὁ ἐμὸς Χριστὸς τὰς διατριβὰς ἐποιήσατο καὶ τὸ ἑκούσιον ἐκεῖνο καὶ σωτήριον ὑπομεμένηκε πάθος. τούτων οὖν ἑνὶ πρὸς ὕπνον κλιθέντι τῶν μοναχῶν ὁ μέγας ἐφίσταται πρόδρομος, δῆλον ἑαυτόν, ὅστις εἴη, ποιήσας καὶ «Πρὸς τὸν Ἡρῴδου» λέγει «τοῦ βασιλέως ἀπιόντες οἶκον, ἐκεῖθεν τὴν ἐμὴν ἀνέλεσθε κεφαλήν». ὄρθρου τοίνυν ὁ μοναχὸς διηγεῖται τῷ συνοδίτῃ τὸ ὄραμα. καὶ ὃς φαντασίαν εἴρηκεν εἶναι τοῦτο· «Καὶ γὰρ ἀμφοτέροις ἂν ὤφθη» φησίν, «εἴ γε καὶ ἀλήθεια ἦν», ζηλοτυπίας ἴσως πάθει ληφθείς· ἔνθεν τοι καὶ ἠμελεῖτο τὸ κελευσθέν. ἀλλὰ τῆς ἐπιούσης νυκτὸς ὁ μέγας || [f. 109v] κῆρυξ καὶ πάλιν ἐφίσταται καὶ ἀμφοτέροις τὰ αὐτὰ διορίζεται.

3. Ὡς οὖν ἀλλήλοις τὸ κελευσθὲν ἐγνώρισαν καὶ τὸ ἀπιστεῖν εὐθὺς διελύετο, κοινῶς τὴν ὁδὸν ἐποιοῦντο καὶ τὸν τόπον τάχος καταλαβόντες τὴν ἱερὰν εὑρίσκουσι κεφαλήν, αὐτοῦ τοῦ προδρόμου διευθύναντος τοῦτο. ἀνελόμενοι τοίνυν καὶ σάκκῳ τινί, ὃς ἐκ τριχῶν κατεσκεύαστο, τὸν θησαυρὸν ἐμβαλόντες ὑπέστρεφον. κεραμεὺς δέ τις, κατ' ἐκεῖνο καιροῦ τὴν πατρίδα καταλιπὼν Ἔμεσαν τῆς συνοίκου χάριν πενίας (ταύτης γὰρ ἐξωρμᾶτο), παρὰ τὴν ὁδὸν τοῖσδε τοῖς μοναχοῖς ἐντυγχάνει. καὶ τούτῳ ποιουμένῳ σὺν αὐτοῖς τὴν πορείαν τὴν μετακομιδὴν ἐκεῖνοι τῆς ἐντίμου ταύτης κεφαλῆς ἐγχει|[col. 2]ρίζουσι. φαίνεται τοίνυν ὁ πρόδρομος τῷ ἀνδρί, τί ἄρα τὸ μετακομιζόμενον ἦν ἀγνοοῦντι, καὶ δῆλον ἑαυτὸν τούτῳ ποιεῖ καί φησι· «Τοὺς συνοδοιπόρους ἀπολιπών, ἄνθρωπε, τὸ ἐν χερσὶν ἔχων ἀπόδραθι», τούτων μέν, ὡς ἔοικε, ψυχρότητα καταγινώσκων πίστεως, τῷ κεραμεῖ δὲ ἀφορμὴν εὐπραγίας διδούς. ὑπακούσας γὰρ ἐκεῖνος καὶ λαθὼν τάχος τὰ οἰκεῖα σὺν τῷ θησαυρῷ κατέλαβε καὶ διετέλει τὸ μετὰ ταῦτα πλούτῳ κομῶν ἀγαθοῖς τε πᾶσιν ἐνευθηνούμενος καὶ διὰ πάσης ἄγων τιμῆς τὴν ἱερὰν κεφαλήν.

4. Ἐπεὶ δὲ καὶ ἔμελλε τελευτᾶν, ὑδρίᾳ ταύτην ἐνθέμενος, εἶτα καὶ κιβωτίῳ καλῶς αὐτὴν ἐξασφαλισάμενος τῇ ἀδελφῇ παρατί-

Rubro: v. 6 *μο|Ναχοί*, v. 13 *Ὁ μοναχός*, v. 16 *ἐ|Πιούσης*, v. 19 *ἀλλή|Λοις*, v. 23 *Δέ*, v. 36 *Ἐπεὶ*

f. 110 *θησιν, δῆλα ταύτῃ ποιήσας τὰ κατ' αὐτὴν καὶ ὅπως || αὐτὸν τῆς πενίας ἐρρύσατο, μὴ πρότερον ἐντειλάμενος αὐτῇ τὸ κρυπτόμενον ἐκκαλύψαι, πρὶν ἂν οἷς οἶδε τρόποις αὐτὸ διαμηνύσῃ τὴν ἔξοδον, «Ἕως μὲν» εἰπὼν «ἐν ζῶσι, γύναι, τελεῖς, σῶζε τὰ τῆς πρὸς αὐτὸ τιμῆς καὶ τῆς θεραπείας· ἐπὰν δὲ τὴν τελευτὴν ἐγγίζουσαν ἴδοις, εὐσεβεῖ τινι καὶ πιστῷ παράθου τὸν θησαυρόν». εἶπεν, καὶ ἡ γυνὴ τὸ πάντιμον δῶρον παραλαβοῦσα διὰ τιμῆς εἶχεν ὅτι πλείστης καὶ θεραπείας. ἐπειδὴ δὲ καὶ πρὸς γῆρας ἦλθε καὶ τὸν θάνατον ἐπὶ θύραις ἔβλεπε, τινὶ τῶν εὐσεβῶν ἅμα καὶ καθαρῶν κατὰ τὴν ἐντολὴν τὸν θησαυρὸν παρατίθεται.*

5. Ἐξ ἀμοιβῆς οὖν εἰς πολλοὺς τὸ δῶρον μεταφοιτῶν καὶ εἰς *col. 2* *Εὐστάθιόν τινα μοναχὸν καὶ πρεσβύτερον ἔρχεται κακό|δοξον καὶ περὶ τὴν ὀρθόδοξον οὐχ ὑγιῶς ἔχοντα πίστιν· καὶ γὰρ ἃς τὸ ἅγιον ἐκεῖνο διετέλει θαυματουργίας ἑαυτῷ κακούργως ὁ δυσσεβὴς ἐπεγράφετο καὶ κλέπτης ἦν καὶ αὐτός, τὴν πάντιμον θήκην οἷα δὴ γλωσσόκομον ἔχων. ὀψὲ γοῦν ποτε δῆλος γίνεται, ὅπως εἶχε περὶ τὸ σέβας, καὶ τῆς Ἐμεσηνῶν ἀπελαύνεται πόλεως καὶ κακὸς κακῶς ἐξωθεῖται. ἡ κεφαλὴ δέ, ὡς εἶχε, μένει πρὸς τῇ μονῇ.*

6. Μετὰ πολλοὺς οὖν τοὺς καθηγουμένους καὶ Μαρκέλλου τοῦ θείου τὴν προστασίαν ταύτης ἐγχειρισθέντος, ἔδοξε τῷ προδρόμῳ δῆλον ἑαυτὸν ἐκείνῳ καταστῆσαι· καὶ ἡ δήλωσις φοβερὰ λίαν. ἔχει δὲ οὕτως, ὡς αὐτὸς ἐκεῖνος ὁ Μάρκελλος ἐξηγήσατο. «Μέση μὲν *f. 110v* *ἦν τῶν θείων νηστειῶν ἑβδομάς· ὀ||κτωκαιδεκάτην ὁ Περίτιος εἶχε μήν· ἐβασίλευε δὲ Οὐαλεντινιανὸς καὶ Μαρκιανός, βασιλέων οἱ εὐσεβέστατοι· ἦρχε δὲ τῆς ἐκκλησίας Οὐράνιος· καὶ ἐφάνησάν μοι, φησίν, ὄναρ αἱ θύραι πᾶσαι τῆς καθ' ἡμᾶς ἀνεῷχθαι μονῆς· ἐγὼ δὲ θορύβου πλήρης γεγονὼς ἀπιέναι κατὰ σκοπὸν ἐδόκουν, ὥστε κλεῖσαι τὰς θύρας· εἶτα πάλιν ἐδόκει μοι ποταμὸν καθορᾶν πρὸς τὴν θύραν φερόμενον· ἐφ' ᾧ καὶ ἐθαύμαζον, πόθεν ἡ τῶν ὑδάτων φορά. ἐν ᾧ δὲ ταῦτα διενοούμην, ἦχος λαοῦ πολλοῦ καὶ ταγμάτων φερομένων ὥσπερ ἐξ ἀνατολῶν ἐπὶ τῶν ὑδάτων ἠκούετο· ἤρχετο δὲ πρὸς ἡμᾶς τὰ ὕδατα, ἕκαστον μέντοι τῶν ταγμάτων ἰδίᾳ χρώ-* *col. 2* *μενον γλώττῃ, ''Ὁ μέγας' ἔλεγον 'ἰδοὺ | πρόδρομος ὁ βαπτιστὴς Ἰωάννης Χριστοῦ τοῦ σωτῆρος ἡμῶν ἀναδείκνυται'. ἐμοῦ δὲ πρὸς τὴν μεσημβρινὴν ἱσταμένου θύραν, παραχρῆμα ἐκεῖναί τε ἠνοίγησαν καὶ εἰσῄει τὰ τάγματα. ἐγὼ δέ, τὴν θύραν ἀπολιπών, τρέχων εἰσῆλθον καὶ ἐν ἀρχῇ τῆς κλίμακος στὰς ἑώρων εἰσιόντας αὐτοὺς*

Rubro: v. 8 *Καὶ πρὸς*, v. 19 *Πολλοὺς*, v. 22 *Μέση*

4 *γῦναι* 5 *ἐπ' ἂν* 6 *εὐσεβεῖ τινὶ* 13—14 *τὸ ἅγιον ἐκεῖνο [λείψανον ποιοῦν] διετέλει?* 35 *ἐκεῖναι τὲ*

ἐπὶ τὴν μονήν· ἐν τῇ αὐτῇ δέ μοι κλίμακι ἱσταμένῳ ὤφθησαν αὐλαὶ δύο, μία μὲν πρὸς δυσμὰς φέρουσα, ἡ δὲ πρὸς μεσημβρίαν, ναός τε μέγας ἀνὰ τὸ μέσον αὐτῶν ἵδρυτο· ἕκαστον δὲ τῶν ταγμάτων ἔβλεπε πρὸς τὴν αὐλὴν εἰσιὸν τὴν πρὸς δύσιν ἄγουσαν. εἶτα καὶ προσκυνήσαντες ἐπὶ τὸν ναὸν πρὸς τὴν μεσημβρινὴν εὐθέως ἀπήεσαν πύλην καὶ οὕτως ἵσταντο τῆς πορείας. εἶτα καὶ φωνῆς ἤκουον ἑτέρων || πάλιν ἐπιβοώντων· «Ἰδοὺ ὁ μέγας Ἰωάννης ὁ f. 111 βαπτιστής». ἐπὶ τούτῳ διάρας τοὺς ὀφθαλμοὺς εἶδον αὐτὸν ἐν ἐκείνῳ ᾧ εἶδον ναῷ· συμπαρῆσαν δὲ τούτῳ καὶ δύο τινές, ὁ μὲν ἐν δεξιᾷ, ἐν ἀριστερᾷ δὲ ὁ ἕτερος· αὐτίκα γοῦν ἕκαστον τῶν ταγμάτων παριὸν πρὸς αὐτὸν ηὐλογεῖτο. εἰσῆλθε δὲ κἀμοὶ πόθος προσελθεῖν ὁμοίως καὶ τυχεῖν ἀσπασμοῦ καὶ τῆς εὐλογίας. ἐπέσχον δὲ ἐμαυτὸν τῷ μὴ βούλεσθαί με ἀπὸ τῶν θυρῶν εἰσελθεῖν ἐκείνων, δι' ὧν εἰσήει τὰ τάγματα, ἐπεὶ μηδὲ εἶδόν τινα τὰ χείλη τῷ ἐκείνου προσενεγκόντα στόματι, εἰ μὴ μόνον τῷ στήθει. ὅμως δὲ προσῆλθον διὰ τῆς ὀρθῆς πύλης σύντρομος καὶ περιδεὴς καὶ εἰς γῆν ἐνορῶν· ἔπειτα καὶ πεσὼν ἅπτομαι τῶν αὐτοῦ ποδῶν, κἀκεῖνος ἀνέστη|σέ col. 2 με καὶ τοῦ πώγωνος ἁψάμενος εὐμενῶς καὶ τῷ στόματι στόμα προσενεγκὼν ἀσπάζεται, εἶτα καί τι σκεῦος ἐξενεγκὼν πλῆρες μέλιτος ἐγχειρίζει μοι, «Τοῦτό σοι» ἐπειπὼν «ἔσται εἰς εὐλογίαν». εἶθ' οὕτως προῆγον αὐτοῦ, καὶ ἅμα αὐτός τε καὶ οἱ σὺν αὐτῷ εἰς τὴν μονὴν ἡμῶν ταύτην εἰσῆλθον· ἐμοὶ δὲ βλέποντι στῦλος ἔμπροσθεν αὐτοῦ πυρὸς ἐθεάθη καὶ φόβος ἐπῆλθεν οὔτι μικρός. καὶ εὐθὺς τοῦ ὕπνου ἀπελυόμην.

7. Οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ τὰ ὁραθέντα εἰς πέρας ἐξήει. ἑσπέρα μὲν γὰρ ἦν ἐν μιᾷ τῶν νηστειῶν. ἐγὼ δὲ πρὸς τοὺς μοναχοὺς «Ἕκαστος ὑμῶν» εἶπον «τὸν ἑαυτοῦ ψαλμὸν δὶς εἰπάτω». καὶ αὐτῶν οὕτω ποιούντων ἑνὶ τῶν ἀδελφῶν, Ἰσάκιος αὐτῷ ὄνομα, ἀναβλέψαντι || πῦρ ἐφαίνετο καιόμενον ἀντικρὺ τοῦ σπηλαίου. περίf. 111ᵛ φοβον οὖν ἐντεῦθεν γενόμενον τὸν Ἰσάκιον ἀνεθάρρυνεν αὐτός, «Μὴ φοβοῦ» λέγων. πέντε τὸ μεταξὺ διῆλθον ἡμέραι, καὶ καθεύδοντί μοι νυκτὸς φωνὴ ἐξηκούετο, «Ἰδοὺ» λέγουσα «ἐδωρήθην ὑμῖν· σὺ δὲ ἀλλ' ἀναστὰς πρόελθε ἀστέρα ἔχων ἡγεμόνα σοι τῆς ὁδοῦ, καὶ ἔνθα ἐκεῖνος καταποθῇ, ἐκεῖ διασκάψας οὐκ ἀπορήσεις οὐδαμῶς, ἀλλ' ἐμὲ πάντως εὑρήσεις». καὶ ταῦτα μὲν ἡ φωνή. ἐγὼ δὲ κατάφοβος γεγονὼς εὐθὺς ἀνιστάμην καὶ ἀστέρα πρὸ τῶν ὀμμάτων ἑώρων. καὶ ἡμῶν ὁδοῦ ἀρξαμένων προῆγεν αὐτός, κἀγὼ

Rubro: v. 26 Γάρ, v. 31 με|Ταξύ, v. 36 Ἐγώ
14 μὴ δὲ 22 στύλος 30 ἀνεθάρρυνον?

ἀπήειν ἀκολουθῶν, ἕως ἐκεῖνος ἐπὶ τῆς κόγχης ἔστη τοῦ σπηλαίου,
ἔνθα δὴ καὶ ἡ τοῦ προδρόμου κατωρώρυκτο κεφαλή.. τούτων |
col. 2 *γενόμενος θεατής, πεσὼν εἰς γόνατα προσεκύνησα τῷ κυρίῳ καὶ*
θυμιῶν θερμῶς ἐδεόμην. ἔπειτα καὶ σκαφεῖον λαβὼν διέσκαπτον
ἐρρωμένως. τοῦτο δὲ ποιοῦντί μοι τόπος τις ἐθεάθη ἀσβέστῳ
ἀσφαλῶς ᾠκοδομημένος ἄχρι γοῦν καὶ παλαιστῶν πέντε. σκάπτοντι
δὲ ἦχος ἠκούετο ὡς ἀπὸ κεράμων. ἤδη δὲ καὶ τοῦ ἐδάφους ἀπτό-
μενος ὁρῶ ψήγματα χαλκοῦ, καὶ ἅμα συνεξῄει καὶ κεραμὶς μία, ὑφ'
ἣν πλάκα μαρμαρίνην κατεῖδον· ἣν ἄρας καὶ ἀναστήσας τὴν πάν-
τιμον ὑδρίαν εὕρισκον. καὶ τὸ ἑξῆς φόβος με διεμερίζετο καὶ χαρά·
ὅμως ἀλλὰ τολμήσας, ὢ θρασείας χειρός, καὶ τῆς ἁγίας σύντρομος
ἅπτομαι κεφαλῆς. εἶτα καὶ προσκυνήσας αὖθις συνεκάλυψα τὴν
ὑδρίαν.||
f. 112 8. *Οὔπω πέρας ἤδη τὸ γινόμενον εἶχε, καὶ παραγίνεται πρὸς*
ἡμᾶς ὁ ἀρχιμανδρίτης διάκονος ὁ Γεννάδιος. ὃς καὶ πρὸς τῇ θύρᾳ
τοῦ σπηλαίου ἐντυχὼν ἡμῖν καὶ ἀσπασάμενος, ἅπερ καθ' ὕπνους
ἐθεάσατο διηγεῖται, ''Ἐδόκουν' λέγων 'ἀμφοτέρους ἡμᾶς παρὰ
τῷδε ἵστασθαι τῷ σπηλαίῳ, κεῖσθαι δὲ παρ' αὐτῷ καὶ σωρὸν
ἄρτων κριθίνων, ἡλίῳ καθαρῶν ὁμοίως· ἐπέκειτο δὲ αὐτοῖς καί τις
ἐπάνω μερίς. τούτους πλῆθος ἀνθρώπων εἰς τὸ σπήλαιον κατιόντες
ἐλάμβανον παρ' ἡμῶν· οὔτε δὲ οἱ ἄρτοι ἐπέλειπον τούτοις ἐπιδι-
δόμενοι, οὔτε μὴν ἐκεῖνοι τῆς προσελεύσεως ἔληγον. ἐπεὶ δὲ οἱ
ἄρτοι πρὸς τέλος ἦσαν, ἐφαίνοντο χερσὶν ἐφίπτασθαι ταῖς ἡμετέ-
col. 2 *ραις, καὶ οὕτως αὐτῶν ἱπταμένων μεταλαμβάνειν τοὺς προσιόντας'.*
τούτων ἀκούσας ἐγὼ διελογιζόμην, τίς ἡ δήλωσις τοῦ ὀνείρατος.
ἐδόκει γάρ μοι μὴ ἀθεεὶ τοῦτο γενέσθαι. ἔπειτα συνιδὼν ἐκκαλύπτω
τὴν τοῦ βαπτιστοῦ θείαν πρὸς αὐτὸν ἐπιφάνειαν. καὶ ὃς ἀκούσας
ἐδέετο καὶ τὸν τόπον ἰδεῖν. καὶ δὴ καὶ ἐπήκουσα καὶ ὑπέδειξα
τοῦτον· εἶτα καὶ διεσκόπουν ἄριστον εἶναι λέγων Στεφάνῳ τῷ ἀρχι-
μανδρίτῃ τοῦ Δαρωμίου τοῦτο διασαφῆσαι, ὥστε παρ' αὐτοῦ πάλιν
λαληθῆναι τῷ ἐπισκόπῳ. ἐπεὶ οὖν μὴ παρῆν ἐκεῖνος, τῷ διακόνῳ
Κυριακῷ, ὃς ἀρχιμανδρίτης ἦν τῶν ἐν τῷ ἱερῷ μοναστηρίων, τὰ
περὶ τοῦ προδρόμου λέγω. καὶ διηγεῖταί μοι καὶ οὗτος ἐνύπνιόν τι
συνᾷδον τῷ Γενναδίου ὁράματι καί φησι· 'Τί οὖν ἡμῖν πρακτέον;'
f. 112v *κἀγὼ 'Τῷ ἐπισκόπῳ || γνωριστέον' εἶπον, 'λυσιτελεῖ γάρ'. ὅμως τὸν*
εἰρημένον ἀρχιμανδρίτην περιεμένομεν.

9. *Πέντε παρῆλθον ἡμέραι, καὶ ὡς ὁμιλοῦντες ἦμεν καθήμενοι,*

Rubro: v. 3 *Γενόμενος*, v. 14 *Οὔπω*, v. 25 *Τούτων*, v. 31 *Ἐπεί*, v. 37 *πα|Ρῆλθον*

ἰσχυρῶς ἐγὼ πληγεὶς ἐπὶ γόνατα κάμπτομαι, ὡς μηδὲ κινηθῆναί με δύνασθαι. οὕτως οὖν ἔχοντά με πονήρως ἰδόντες, 'Οὐκ ἔφημέν σοι' εἶπον, 'τῷ ἐπισκόπῳ χρὴ γνωρίσαι περὶ αὐτῶν; οὐκ ἂν οὖν τῆς μάστιγος λυθήσῃ, μὴ πρότερον ἐκείνου ταῦτα μανθάνοντος'. κἀμοῦ οὕτως ἔχειν εἰπόντος, ἅμα πρωῒ σὺν ἅμα Κυριακῷ διακόνῳ καὶ ἀρχιμανδρίτῃ καὶ Ἰουλιανῷ μοναχῷ τῷ προέδρῳ τῆς Ἐμεσηνῶν — Οὐράνιος οὗτος ἦν ὁ κλεινὸς — τὸ πρᾶγμα γνωρίζομεν καὶ παραυτίκα τῆς ὀδύνης ἀπηλλάγην τῆς κατεχούσης με. ὃς εὐφροσύνης | μὲν τούτων ἀκούσας καὶ θυμηδίας ἐμπίπλαταί, παραγγέλλει | col. 2 | δὲ ἡμῖν μηδενὶ δῆλα ταῦτα ποιῆσαι. ἕωθεν οὖν πάλιν, ἥτις ἦν μετὰ τὴν Κυριακήν, παραγενόμενος ὁ ἐπίσκοπος μετὰ πρεσβυτέρων καὶ διακόνων ἐν ᾧπερ ἡ τιμία τοῦ προδρόμου κεφαλὴ ἀπέκειτο τόπῳ, εὐχὴν ἐκτενῆ γενέσθαι προσέταξε, καὶ ταύτης γενομένης πρεσβύτερός τις τῶν συνόντων τῷ ἐπισκόπῳ, Μάλχος ὄνομα, διαπιστήσας τῷ θαύματι, 'Πόθεν ἄρα καὶ εἴη δῆλον' ἔλεγε 'τοῦ προδρόμου ταύτην εἶναι τὴν κεφαλήν;' καὶ ἅμα τὴν ἑαυτοῦ χεῖρα τολμηρῶς τῇ ὑδρίᾳ ἐνέβαλε καὶ τριχῶν ἁγίων τῆς κάρας ἐπέψαυσεν, ὢ τῆς ἀπείρου σου καὶ φοβερᾶς δυναστείας, θειότατε πρόδρομε, ὅλη κατάξηρος ἡ χεὶρ || αὐτοῦ γέγονε καὶ τῇ ὑδρίᾳ προσεκολλήθη. πάντες | f. 113 | οὖν καταπλαγέντες τῷ θαύματι πρὸς δεήσεις ἐτράπησαν, καὶ μόλις μὲν ἡ χεὶρ ἐκεῖθεν ἀπέσπασεν, οὐκ ἐνείργησε δέ, μέχρις ἂν ἐν τῇ καταθέσει τῆς παντίμου κεφαλῆς τῇ ὑδρίᾳ προσήγγισε. τότε γὰρ αὐτίκα τῆς ἰάσεως ἔτυχε, καθὰ δὴ καὶ ὁ ὄνειρος αὐτῷ παρεστήσατο».

10. Κατατεθείσης οὖν σου τῆς παντίμου κεφαλῆς ἐν τῷ τῆς ἁγιωτάτης ἐκκλησίας διακονικῷ, παναοίδιμε πρόδρομε, κατὰ τὴν εἰκάδα πέμπτην τοῦ Ὀκτωβρίου μηνός, Οὐαλεντινιανοῦ καὶ Μαρκιανοῦ τὸ τηνικαῦτα εὐσεβῶς καὶ φιλοχρίστως τὴν βασίλειον διεπόντων ἀρχήν, ἡ γὰρ ταύτης εὕρεσις ἐν μηνὶ γέγονε Φεβρουαρίῳ, εἰκοστῇ τετάρτῃ, πολλαὶ θαυμάτων | χάριτες καὶ τοῖς ἐγγὺς διεδό- | col. 2 | θησαν καὶ τοῖς πόρρω. νέμοις οὖν καὶ τὰ νῦν τῷ πιστῷ καὶ φιλοχρίστῳ ἡμῶν ἄνακτι, πολλὴν εἰς σὲ τὴν πεποίθησιν ἔχοντι καὶ τὴν ἐλπίδα, μόνιμον ἄρα καὶ διαρκῆ τὴν ζωήν, ἰσχὺν καὶ κράτος κατ' ἐχθρῶν ἐναντίων, χαρμονὴν ἀΐδιον καὶ τερπνὴν θέαν, ἄληκτον δόξαν τῆς ἄνωθεν εὐκλείας, ἡλίου φαιδροῦ νοητοῦ λαμπηδόνα, λαμπρὰν ἁγίων καὶ τερπνὴν ξυναυλίαν, πάντων ὡς εἰπεῖν ἀγαθῶν τὰς μεθέξεις καὶ βασιλείας Θεοῦ τὴν μετουσίαν· ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Rubro: v. 9 **Μὲν**, v. 20 **Οὖν**, v. 24 **Οὖν**, v. 32 **Μόνιμον**, v. 35 **Πάντων**
1 μὴ δὲ   21 ἐνείργησε: *codicis scripturam non mutavi*   25 παναοίδημε
29 ˋς (= καὶ) *supra versum*

f. 113v Μηνὶ τῷ αὐτῷ κε΄.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΤΑΡΑΣΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ.

1. Ὁ μέγας καὶ περιφανὴς τῷ ὄντι Ταράσιος, ὁ τὴν Χριστοῦ πραότητα καλῶς ἀπὸ βρέφους ἐκμελετήσας, τεκόντας ἔσχεν εὐγενεῖς μὲν τὸ γένος καὶ τὴν δόξαν λαμπρούς, ἐκ πατρικίων πατρικίους καὶ αὐτοὺς χρηματίσαντας, εὐγενεῖς δὲ καὶ τά γε εἰς ψυχὴν καὶ ταῖς ἀρεταῖς ἐπισήμους. Γεώργιος ὁ πατήρ, ἡ μήτηρ Εὐκρατία φερωνύμως κατωνομάζοντο. (col. 2) *τούτων ὤφθη ⟨Γεώργιον⟩ ὁ | Ταράσιος καλῶς ἐκμελετήσας τὴν καθαρότητα· οὐδὲ γὰρ πρὸς παίδων ἀπεῖδεν ἀθύρματα, πρὸς δὲ τὰ τῶν ἐναρέτων σπουδάσματα· ὅθεν καὶ διὰ πάσης ὁδεύσας τῆς ἀρετῆς, ἡλίου δίκην ἐνδιαλάμπει τῷ βίῳ, πᾶν εἶδος ἐκπονήσας γραφῆς καὶ πάντα νοῦν αὐτῆς, οἱονεί τις ἀναμαξάμενος σπόγγος, ἵν' ἔχοι πρὸς πᾶν τὸ ζητούμενον τὰς ἐπιλύσεις ἑτοίμους· ἀλλὰ τῷ περιόντι τῆς ἀρετῆς καὶ μυστηρίων βασιλικῶν ὑπογραφεὺς ἀναδείκνυται.* (f. 114) *τοιοῦτος οὖν ‖ γεγονὼς καὶ ὅλον ἑαυτὸν ὡς εἰπεῖν ἀναθεὶς τῷ Θεῷ δι' εὐσεβείας καὶ καθαρότητος εἰς ἕξιν ἧκε πνευματικῆς τελειώσεως, ἱερὸν χρηματίσας καὶ πρὸ τῆς ἱερωσύνης καὶ πολύτιμον σκεῦος, πᾶσαν αἱρετικὴν ἀχλὺν ταῖς ὀρθοδόξοις διδασκαλίαις διασκεδάζων καὶ παρὰ τῶν ἀξίων ἱερεὺς γενέσθαι προφητευόμενος μέγιστος.*

2. Καὶ μέντοι γε καὶ οὐ διέπεσεν ἡ ψῆφος αὐτῶν· Παῦλος γὰρ ὁ ἐκ Σαλαμῖνος τῆς Κύπρου τὰ τῆς ἱερωσύνης ἐν τῇ Κωνσταντίνου διιθύνων πηδάλια, ἐπεὶ τῶν εἰκονομάχων ἡ αἵρεσις ἔτι προσεπεκράτει, τὸν ἀνθεξόμενον ἀντ' αὐτοῦ τῆς αὐτῶν τιμητικῆς προσκυνήσεως ἐπεζήτει. καὶ γὰρ νόσῳ θάνατον ἐπαγούσῃ περιπεσὼν τῇ (col. 2) *μοναδικῇ πολιτείᾳ προσῆλθε κατὰ τὴν | Φλόρου μονήν, τὸν θρόνον ἀπολιπών. ὅπερ εἰς ἀκοὰς τῶν κρατούντων πεσὸν (Εἰρήνη καὶ Κωνσταντῖνος ὁ ταύτης υἱὸς ἐβασίλευον) πολλὴν ἐνέβαλε τούτοις τὴν λύπην· καὶ τὴν αἰτίαν ἐξήτουν, ὅθεν ὁ γέρων εἰς τοῦτο προέλθοι. Παῦλος δὲ τῷ πράῳ τοῦ λόγου καὶ ταπεινῷ «Μή μοι, ὦ θειότατοι βασιλεῖς», ἔφησε, «χαλεπαίνοιτε· καὶ γάρ με νόσος ἀπεῖρξε*

Rubro: v. 5 *Ὁ μέγας*, v. 23 *Παῦλος*, v. 32 *Παῦλος*
9 *Εὐκρατία: Ἐγκράτεια Ignatius* 10 *Γεώργιον delevi*

τῆς λειτουργίας, καὶ νόσος θάνατον τίκτουσα, ναὶ δὴ καὶ τῆς ἐκκλησίας ἡ στάσις αἱρέσει καμνούσης καὶ μή τινα τὸν ἀντιλαμβανόμενον ἐχούσης ποσῶς· καὶ τρίτον, ἡ διὰ χειρός, φεῦ, μοι καὶ γλώττης τοῖς αἱρετικοῖς συγκατάθεσις· οὐδὲ γὰρ ἐξεγένετό μοι διαφυγεῖν τὰς ἄρκυς αὐτῶν· ὃ καὶ μᾶλλον ἀνιᾷ καὶ τιτρώ||σκει μου f. 114v τὴν ψυχήν· ὅτιπερ τὸ κράτος ὑμῶν πάντα καλῶς διευθύνον ἅμα καὶ ζυγοστατοῦν οὐμενοῦν καὶ τῆς ἐκκλησίας ἀντιλαβέσθαι τεθέληκεν· διὸ καὶ τάφον οἰκεῖν προήρημαι ἢ τούτοις ἐμμένειν. ἀλλ' ὅμως μὴ ὑπερίδητε, σεβαστοί, τὴν τῆς ἐκκλησίας κατήφειαν, ἐπενδύσατε δὲ μᾶλλον τὸ ἀρχαῖον αὐτὴν καὶ πατροπαράδοτον κάλλος· ἔστι γὰρ ἐν ὑμῖν νυμφοστόλος ἄριστος, ἔστι γεωργὸς ἐμπειρότατος, ὃς αὐτὴν νυμφοστολήσει, ὃς αὐτὴν γεωργήσει καλῶς καὶ πρεπόντως. Ταράσιος οὗτός ἐστιν, ὁ πάντ' ἐμοὶ σεβάσμιος καὶ τὰ θεῖα σοφός, ὃς ἐπὶ τῶν μυστηρίων τῆς ὑμῶν βασιλείας ὑπογραφεὺς χρηματίζει».

3. Τούτων οὕτω παρὰ τοῦ Παύλου σεμνῶς ἐνηχηθέντων ταῖς βασι|λικαῖς ἀκοαῖς, οἱ βασιλεῖς τὸν Ταράσιον ψηφίζονται πρὸς τὸν col. 2 θρόνον ἀναγαγεῖν. ἔνθεν τοι καὶ συναθροίσαντες τὸ τῆς ἐκκλησίας πλήρωμα τοῦτον εἰς μέσον ἄγουσι καὶ τὴν ψῆφον ἐξάγουσι. καὶ ἐπεὶ σύμψηφον τὸ πλῆθος ἅπαν γέγονε καὶ ἄξιον ἔκρινε τὸν ἄνδρα τῆς προστασίας, ἐπὶ τὴν ἐκκλησίαν φέρουσι καὶ χειροτονοῦσι προθύμως καὶ ταύτης αὐτῷ τοὺς οἴακας ἐγχειρίζουσι. καὶ ἦν τῇ καθέδρᾳ τῶν ἀρχιερέων εὐπρεπῶς ἐγκαθήμενος καὶ τὸ νᾶμα τῶν διδαχῶν ἐπιρρέων τοῖς χρήζουσι καὶ δι' αὐτοῦ τὸ τῆς αἱρέσεως ἁλμυρὸν ἀποκλύζων καὶ τὸ γλυκὺ τῆς ὀρθοδόξου πίστεως χορηγῶν ὁσημέραι. ἦν δὲ καὶ ταῖς κατὰ Θεὸν ἀρεταῖς προκόπτων καὶ καλὸν ὑπόδειγμα || τοῖς πᾶσι γινόμενος· ἐγκρατείας γὰρ ἐπεμέλετο καὶ τῇ f. 115 ὀλιγαρκείᾳ μάλα σεμνῶς ἐνηδύνετο, ἀγρυπνίαν σύνοικον εἶχε καὶ πρὸς τὰ καλὰ συνεργόν, δι' ἧς ὅλως ἦν προσκείμενος ταῖς εὐχαῖς· τὴν ταπείνωσιν λίαν σοφῶς ἠσπάσατο καὶ φρονίμως· ἁγνείαν δὲ καὶ σωφροσύνην τοσοῦτον ἐπλούτησεν, ἀλλὰ καὶ συμπάθειαν καὶ τὸν πρὸς τοὺς πένητας ἔλεον, ὡς ἀρετῶν αὐτὸν καταγώγιον ὀνομάζεσθαι· πενήτων ὡρᾶτο τροφεύς, γυμνῶν περιβολὴ καὶ νοσούντων θεραπευτής· ὅμως ταῖς γενικαῖς ἀρεταῖς εἰς κόρον ἀποχρησάμενος καὶ πράξει προγυμνάσας τὸν νοῦν εἰς θεωρίας ἦλθεν ἐπίβασιν· ἔνθεν τοι καὶ τὰ δεδογμένα τοῖς κρατοῦσι περὶ τὴν ὀρθὴν πίστιν πέρας αἴσιον λαβεῖν ἠβούλετο. |

Rubro: v. 16 Τούτων, v. 34 Γενικαῖς
23 νάμα

col. 2 4. Καὶ δὴ καὶ σύνοδον οἰκουμενικὴν ἐπὶ τούτῳ νεύσει τούτων ἀθροίζει πρὸς τὸν περιώνυμον τῶν ἀποστόλων σηκόν· καὶ ἅμα πλῆθος τῆς συμμορίας Κωνσταντίνου τοῦ δυσσεβοῦς, τοῦ κακῶς τὸ σκῆπτρον τῆς Ῥωμαϊκῆς ἀρχῆς διιθύναντος, τὴν ἐκκλησίαν καταλαμβάνουσι. καὶ τί χρὴ κατὰ μέρος λέγειν, ὅσα καὶ εἶπον καὶ οἷα ποιήσειν ἠπείλησαν; αἱμάτων ἀπογεύσασθαι τῶν ὀρθοδόξων ἐφώρμων καὶ τὸν ἀποστολικὸν ναὸν τούτοις φοινῖξαι μανιωδῶς ἐξεβόων, εἴ γε κατά τι διαπέσοι, φησί, τὸ δόγμα τοῦ Κωνσταντίνου· ταῦτ' ἔλεγον καὶ τὰς πύλας ἤρασσον, ζητοῦντες τοὺς ἔνδον διαχειρίσασθαι. ἀλλὰ τότε μὲν κελεύσει τῶν κρατούντων οἱ ἱεράρχαι τόπον f. 115v τῇ ὀργῇ || δεδώκασιν, αὐτοὶ δὲ τὰ βασίλεια κατειλήφασι, θυμοῦ πνέοντες κατὰ τῶν ἀναιδῶν. Ταράσιος δὲ ὁ τὰ πάντα καλός, τὴν ἀναίμακτον ἐκεῖσε τελέσας θυσίαν, οὕτω τὴν ἐκκλησίαν κατέλαβε. μικρῷ δὲ ὕστερον τοὺς θρασεῖς ἐκείνους καὶ ἀναιδεῖς οἱ βασιλεῖς τῶν οἰκείων ἀξιωμάτων γυμνώσαντες δυσκλεῶς τῆς βασιλευούσης ἐξέβαλον, μὴ τὸν Θεὸν ἀνέχεσθαι λέγοντες τούτους τοῖς βασιλείοις ἐνδιατρίβειν τῶν κρατούντων ὑπασπιστάς.

5. Τούτων οὖν οὕτω γενομένων σύνοδον ὁ Ταράσιος καὶ αὖθις συγκροτηθῆναι κατὰ Νίκαιαν τοὺς βασιλεῖς ἐξαιτεῖ τοῦ μὴ τὴν αἱρετικὴν ἐπὶ τὸ χεῖρον προκόψαι κακόνοιαν. καὶ μέντοι δὴ καὶ col. 2 γίνεται τοῦτο, καὶ πάντων τῶν ἀρχιερέων ἐκεῖσε συ|νηθροισμένων παραγίνεται καὶ Ταράσιος, Πέτρον ἔχων μεθ' ἑαυτοῦ τὸν πρεσβύτερον καὶ Πέτρον μοναχὸν καὶ ἡγούμενον, τὸν θρόνον Ἁδριανοῦ τοῦ πάπα Ῥώμης ἀναπληροῦντας καὶ παρ' αὐτοῦ πρὸς τὴν σύνοδον ἐκπεμφθέντας, Θωμᾶν τε μοναχὸν καὶ πρεσβύτερον Πολιτιανοῦ τοῦ πατριάρχου τῆς Ἀλεξανδρείας, τοῦ Ἀντιοχείας Θεοδωρήτου καὶ Ἠλία τοῦ τῆς Αἰλίας, Ἰωάννην μοναχὸν πρεσβύτερόν τε καὶ σύγκελλον καὶ λοιποὺς ἄλλους τῶν τῆς συγκλήτου βουλῆς ἐπ' εὐσεβείᾳ καὶ λόγοις ὀρθοδόξοις γνωρίμους· ἐν οἷς ἦν καὶ Νικηφόρος ὁ τοῖς βασιλικοῖς τηνικαῦτα μυστηρίοις ὑπηρετούμενος (μυστογράφον αὐτὸν ὀνομάζουσιν), ὃς καὶ τῆς πατριαρχικῆς τοῦ f. 116 Βυζαντίου καθέδρας μετὰ τὸν σοφὸν Ταράσιον || ψήφῳ βασιλέως καὶ τῶν ἀρχιερέων ἀντεποιήσατο· ναὶ δὴ καὶ μοναχῶν στῖφος ὅσον ἀρετῇ καὶ λόγῳ περίβλεπτον. εἶτα τοῦ βασιλικοῦ καὶ θείου προγράμματος εἰς ἐπήκοον πάντων ἀναγνωσθέντος καὶ κρατύνοντος τὸ ὀρθόδοξον, πολλῶν τε ἄλλων πατρικῶν βίβλων καὶ συνοδικῶν ἐπικρίσεων εἰς μέσον προτεθεισῶν (ἡμέρα δὲ ἦν, καθ' ἣν ἡ

Rubro: v. 1 Καὶ δή, v. 10 Τότε, v. 12 Ὁ, v. 18 Οὖν, v. 34 Βασιλικοῦ
7 φοινίξαι 19 τοῦ supra versum

πρωτομάρτυς Θέκλα τὸν μαρτυρικὸν ἀγῶνα διήνυσε), καὶ μέχρις ἑβδομάδος τῆς συζητήσεως τούτων παραταθείσης, ἐπεὶ καλῶς ἔχειν ἔδοξε τῇ συνόδῳ καὶ τὰ βασιλικὰ διατάγματα καὶ τὰ τῶν πατέρων κηρύγματα, ὅρος ἐκτίθεται γραφικαῖς ἀσφαλείαις ἐνδύναμος, ὃν καὶ ἐπευξάμενοι βέβαιον μεῖναι καὶ ἀπαράθραυστον, ἀλλὰ καὶ τοὺς προπάτορας | *col. 2* τοὺς κατὰ τῆς μανιώδους λύσσης Ἀρείου πνεύσαντας καὶ νικήσαντας συλλήπτορας ἔχειν καὶ τούτου φύλακας Θεὸν ἐπικαλεσάμενοι, τούς τε τῆς κατὰ τῶν θείων εἰκόνων κενοφωνίας ἐφευρετὰς ἀναθέματι καθυποβαλόντες καὶ τῆς θείας αὐλῆς ἀπελάσαντες, τὴν βασιλεύουσαν κατειλήφασι καὶ τὸν νέον προσφωνήσαντες ὅρον, βασιλέως παρόντος καὶ τῆς συγκλήτου βουλῆς ἐν τῷ τῆς Μαγναύρας οἰκήματι, ἐπεὶ τοῦτον καὶ βασιλικὴ γράψασα χεὶρ ἐβεβαίωσέ τε καὶ ἐπεσφράγισεν, ἕκαστος τῶν πατέρων τὰ οἰκεῖα κατέλαβεν.

6. Ταράσιος δὲ καὶ οἱ τῆς πρεσβυτέρας Ῥώμης μετὰ τῶν ἄλλων τὴν ἐκκλησίαν κατειληφότες καὶ τοῖς θεοπνεύστοις ταύτην στηρί||*f. 116v*ξαντες δόγμασιν, ἀλλὰ δὴ καὶ τοὺς τὴν ὀρθὴν πίστιν ἀσπασαμένους ἡπλωμέναις, ὃ δὴ λέγεται, χερσὶ προσλαβόμενοι ἕκαστον τοῦ ἰδίου βαθμοῦ καὶ τῆς καθέδρας ἠξίωσαν, τοὺς δέ γε περί τι χωλάναντας σπλάγχνοις πατρικοῖς ἐναγκαλισάμενοι καὶ τῆς πλάνης καθάραντες τοῖς ἰδίοις θρόνοις ἐνίδρυσαν καὶ οὕτως ἀκύμαντον τὴν ἐκκλησίαν καὶ ἀτάραχον διετήρησαν καὶ πρὸς τὰς ἐνεγκούσας ἐξέδραμον.

7. Ταῦτα Ταράσιος ὁ κλεινός, ταῦτα ὁ ποιμὴν ὁ καλός, ὃς οὐκ ἐνέλιπε τρέφων ἐφ' ἑκάστης θείοις λόγοις τὸ ποίμνιον καὶ καταρτίζων πρὸς θεοσέβειαν· πολὺ γὰρ εἶχε τὸ συμπαθές, ὡς ὁ λόγος δηλώσει. τινὸς τῶν ἐν τέλει, πλούτῳ κομῶν|*col. 2*τος ἀνδρὸς καὶ περιφανοῦς, πολλῆς ἕνεκα χρημάτων ὁλκῆς δίκας ἀπαιτουμένου καὶ ζοφώδεσιν εἱρκταῖς διδομένου μιᾷ τῶν ἡμερῶν, οἷα φιλεῖ τούτοις ἐγγίνεσθαι, διαδράντος τὰς χεῖρας τῶν φυλάκων καὶ τὴν ἐκκλησίαν κατειληφότος καὶ αὐτὰ τὰ ἄδυτα θεμένου καταφυγήν, οἱ φύλακες, τὸν δρασμὸν ἐγνωκότες, τάχος αὐτὸν ἐν τούτοις καταλαμβάνουσι καὶ τὸν θεῖον κυκλοῦσι περίβολον, ἵν' ἐντεῦθεν στενούμενον πρὸς τὴν τῶν ἀναγκαίων χρείαν συλλάβοιεν ἐξιόντα (οὐδὲ γάρ τινας συνεχώρουν ὡς αὐτὸν εἰσιέναι) καὶ τῷ βασιλικῷ παραστήσαιεν βήματι. ὅπερ οὐ μικρῶς ἐλύπει μεμαθηκότα τὸν μέγαν· διὸ καὶ αὐτὸς οὗτος, ὅτε δὴ καὶ ἀνάγκη τοῦ σώ||*f. 117*ματος τῷ πρόσφυγι

Rubro: v. 15 *Καὶ*, v. 24 *Ταῦτα*, v. 27 *Τινὸς*

1 πρωτομάρτυς: *sic cod.* 9 καινοφωνίας *cod.*, κενοφωνίας *Ignatius* 14 κατέλαβε *cod.* 37 πρόσφυγί

γένοιτο, κατιὼν ἐξῆγέ τε τοῦτον τοῦ βήματος καὶ τῶν χρειωδῶν ἐκοινώνει, ἀλλὰ καὶ πρὸς τὰ τῆς ἐξόδου τῆς γαστρὸς ἀπῆγεν ὁ ταπεινόφρων καὶ πάλιν διέσωζεν ἐν τῷ βήματι. οἱ τοίνυν φύλακες ἐκεῖνοι, τοῦτο κακῶς φυλαξάμενοι καὶ δι' ἑτέρας εἰσόδου ἀνδρῶν ἐνέδραν καθίσαντες, καθαρπάζουσι τοῦτον ἐκεῖνοι, διεξαγόμενον παρὰ τοῦ μεγάλου, κἀν τοῖς βασιλείοις βιαίως ὠθούμενον ἄγουσιν. ὀργίζεται Ταράσιος ἐπὶ τούτῳ, τὰς ἐν τοῖς Ἐλευθερίου καταλαμβάνει βασιλείους αὐλάς· ταύταις γὰρ διῆγεν ὁ βασιλεύς· ἀπείργεται τῆς εἰσόδου τούτων, βασιλέως τοῦτο κελεύσαντος· ἀπείργει τοῦτον col. 2 καὶ οὗτος τῆς ἱερᾶς κοινωνίας, εἰ τὸν ἄνδρα κακοῖς πε|ριβάλοι, καὶ ταχέως τὴν ἐκκλησίαν καταλαμβάνει· τῶν χρημάτων ὁ ἄνθρωπος εἰσπράττεται τὴν δίκην καὶ ἀνεύθυνος σωματικῆς κακώσεως ἀπολύεται· καὶ γὰρ ἐδεδίεσαν οἱ κρατοῦντες τὴν ἐπιτιμίαν τοῦ μάκαρος.

8. Ἆρ' οὖν ἐν τοῖς τοιούτοις μὲν ὁ μέγας ἐκδικητὴς οὕτω θερμότατος ἦν, πρὸς δέ γε τὴν τῶν νόμων φυλακὴν καὶ τῶν ἱερῶν κανόνων συντήρησιν ἄλλως ἔχων ὡρᾶτο; οὐμενοῦν· καὶ προσεκτέον τῷ διηγήματι. ὁ τῆς βασιλίσσης Εἰρήνης υἱὸς (Κωνσταντῖνος ἦν οὗτος) τὰ μὲν πρὸς τὴν ὀρθόδοξον πίστιν χρηστὸς γνωριζόμενος, τὰ δὲ πρὸς νόμους αὐτοὺς καὶ ἱεροὺς κανόνας λίαν παραβατικὸς f. 117v καὶ ἀσύμφωνος (ἐδούλευε γὰρ ταῖς ὁρμαῖς τῆς νεότητος), ‖ διάζευξιν τῆς ἑαυτοῦ γυναικὸς μελετήσας καὶ ἑτέραν πρὸς τὸ τῆς βασιλείας ὕψος ἀναγαγεῖν βουληθείς, δρᾶμα πλέκει τῆς ἐξουσίας ἀνάξιον· φάρμακον αὐτὴν κεράσαι λέγει κατ' αὐτοῦ θανάσιμον, δι' ὃ καὶ τὴν διάστασιν ἐπετήδευε· καὶ τοῦτο δεῖξαι διεβεβαίου σαφῶς· ᾤετο μὲν γάρ, ὡς οὐ διαπιστηθήσεται λέγων, βασιλεὺς χρηματίζων καὶ πρὸς ὑπηκόους τὸν λόγον ποιούμενος· ἐπείθετο δὲ οὐδεὶς ἢ ὅστις ἅτε βασιλεῖ χαριζόμενος τὸ ἄδικον προέκρινεν. ἐπεὶ δὲ ἡ φήμη καὶ πρὸς τὰς ἀκοὰς τοῦ πατριάρχου τοῦτο πεσεῖν παρεσκεύασε, καὶ ἦν ἤδη τὸ τόξον ἐντείνας τῆς δίκης κατὰ τοῦ βασιλέως ὁ μέγας col. 2 καὶ βαλεῖν ἔμελλε τοῦτον τοῖς βέλεσι τῶν | ἐλέγχων, προφθάσας ἐκεῖνος στέλλει τινὰ πρὸς αὐτόν, τὸ πρᾶγμα γνωρίζων δι' αὐτοῦ καὶ διαβεβαιῶν ἀληθὲς εἶναι καὶ μηδὲν τὸ ἀμφισβητούμενον ἔχειν, ἐφ' ᾧ καὶ τὴν συναίνεσιν μᾶλλον τοῦ δευτέρου γάμου εὐδοκῆσαι τοῦτον κατήπειγε. πρὸς ὃν βαθὺ στενάξας ὁ μέγας καὶ τοὺς ὀφθαλμοὺς ὑποπλήσας δακρύων «Εἰ ταῦτα βασιλεὺς» εἶπεν, «ὦ οὗτος, διανενόηται καὶ τὸ ἓν σῶμα διατεμεῖν ἐντεθύμηται, πῶς ἄρα μοι-

Rubro: v. 18 **Βασιλίσσης**, v. 28 **Ἡ** φήμη, v. 35 **Π**ρὸς
23 δράμα

χείαν αὐτὸς καὶ πορνείαν κολάσει τούτοις, ἀλοὺς τοῖς αἰσχροῖς ἀτοπήμασι; πῶς δὲ καὶ τοῖς ἔθνεσι ταῦτα μανθάνουσι μὴ καταγέλαστος εἴη; πῶς δὲ καὶ τὸ θεῖον ἵλεων ἕξει, ἐπὶ τοιούτῳ μύσει καὶ ἀσεβήματι τὴν νόμῳ γάμου τούτῳ συναφθεῖσαν ἀποπεμπόμενος καὶ πορ||νείας αἶσχος εἰσοικιζόμενος; ταύτην οὖν τὴν ἀπό- f. 118 φασιν δεξάμενος τῷ στείλαντι κόμισον, καὶ ὡς οὐδαμῶς ἡμεῖς, εἰπὲ τούτῳ, ταῖς παρανόμοις ταύταις στοιχήσομεν πράξεσιν».

9. Ἐπανῆκε τούτων ἀκούσας οὗτος ἐπὶ τὸν βασιλέα καὶ πάντα κατὰ μέρος ἀπήγγειλε· καὶ αὐτὸς μετακαλεῖται τάχος τὸν ὅσιον, τὴν ἐξουσίαν ἴσως ὑπονοήσας αἰδούμενον συνθέσθαι τούτου τῷ ἀνομήματι· κενὸν δὲ τὸ ἐνθύμημα γίνεται· καὶ γὰρ ὁ σοφὸς ἀφικόμενος, συνόντος αὐτῷ καὶ Ἰωάννου, οὗπερ ὁ λόγος κατὰ τὴν σύνοδον ἐξ ἀνατολῶν πρὸς αὐτὸν ἐλθεῖν ἐμνημόνευσε, καὶ ἀκούσας πρὸς βασιλέως, οἷα δὴ καὶ πεπλάστευται τούτῳ καὶ ὡς οὐ θέμις τὴν οὕτω φανεῖσαν μεγάλου κακοῦ παραιτίαν τοῖς ἀνακτόροις ἐνδιατρίβειν, | θανάτου ἔνοχον οὖσαν, εἶτα νεύσαντος καὶ σκευῶν col. 2 τινων ὑελίνων νάματος μεστῶν θολεροῦ κομισθέντων καὶ πρὸ τοῦ μεγάλου τεθέντων καὶ τούτοις λέγοντος τοῦ βασιλέως θάνατον ἢ φρενῶν ἔκστασιν ἠρτυκέναι τὴν σύνευνον, ὁ μέγας Ταράσιος ἐλέγχει τοῦτον μὴ ἀληθεύοντα, νουθετεῖ σοφῶς καὶ παρακαλεῖ· μοιχείαν τὸ πρᾶγμα κρίνει καὶ ὡς «Εἰ τοῦτο πράξεις» φησίν, «οὐ θαρρήσομεν ἔτι σε τοῦ ἱεροῦ βήματος σὺν ἡμῖν ἐπιβῆναι, μήπως καὶ ἡμεῖς τὸ ἐν ἀρᾶς λόγῳ πάλαι πρὸς τοὺς ἱερεῖς λεγόμενον ἀκούσομεν, ὅτι πατεῖν τὴν αὐλήν μου οὐδαμῶς προσθήσεσθε». καὶ ταῦτα μὲν ὁ Ταράσιος· ὁ δέ γε προρρηθεὶς Ἰωάννης, ὃν καὶ σύγκελλον ὁ λόγος ἐγνώρισε, καὶ αὐτὸς πολλοῖς || πρὸς βασιλέα πιθανοῖς χρησάμενος f. 118v ῥήμασιν ἐπεβουλεύθη παρὰ τῶν ὅσοι πρὸς χάριν ἦσαν αὐτῷ· ξίφος γὰρ ἐλάσαι διὰ τῶν ἐγκάτων τοῦ γέροντος ἐμελέτησαν τῷ μὴ πρὸς γνώμην λαλῆσαι τῷ βασιλεῖ, ἀλλ' ἐναντία καὶ τῷ σκοπῷ μὴ συμβαίνοντα. ἀλλ' ὁ Θεὸς φύλαξ τῶν αὐτοῦ γέγονε δούλων· τοῦ γὰρ βασιλέως ἀμετάθετον τὴν γνώμην ἔχοντος καὶ τὴν μὲν καλῶς αὐτῷ συναφθεῖσαν τῶν βασιλείων ἀλλοτριώσαντος καὶ τόπῳ τινὶ περιγράψαντος, τὴν ἐπείσακτον δὲ τοῖς βασιλικοῖς θρόνοις ἐγκαθιδρύσαντος, ὡς οὐκ ὤφελεν, ὁ ἱερώτατος ποιμὴν σὺν τῷ καλῷ Ἰωάννῃ οὐ διέλιπον βάλλοντες αὐτὸν τοῖς ἀπὸ γλώσσης τοξεύμασιν.

10. Ἔνθεν τοι καὶ | πολλοὺς ἐξήγειρε καθ' ἑαυτοῦ πειρασμοὺς col. 2 ὁ Ταράσιος· φύλακας γὰρ ὁ βασιλεύς, οὓς καὶ συγκέλλους ὠνόμασεν, ἐφίστησι τῷ μεγάλῳ, μηδένα συγχωροῦντας πρὸς αὐτὸν

Rubro: v. 8 Ἐπανῆκε, v. 11 Γάρ, v. 25 Προρρηθείς, v. 31 Βασιλέως

21 φησί 33 ἐπίσακτον

εἰσιέναι τῆς αὐτῶν γνώμης ἐκτός· τοὺς εἰσιόντας οὖν διὰ τὴν πρὸς τὸν μέγαν φιλίαν γνωρίμους αὐτῷ γινομένους παρὰ τῶν φυλασσόντων ὑπερορίαις ὑπέβαλλε, θλίψεσί τε καὶ κακώσεσιν ἄλλαις τὸν μέγαν ἐντεῦθεν παραλυπῶν. ὁ δὲ γενναιότητι ψυχῆς πάντα ῥᾳδίως ὑπέμενε καὶ οὐδὲν ἦν ἕτερον ποιῶν, ἢ καταρτίζων τὸ ποίμνιον ταῖς μελιχραῖς αὐτοῦ καὶ ἡδυτάταις τῶν λόγων διδαχαῖς καὶ πρὸς πᾶν εἶδος ἀρετῆς ἀνάγων καὶ καλῶς ἐκπαιδεύων· ὑπετίθει γὰρ ὡς ἐν f. 119 πίνακι || τῷ λόγῳ τοὺς τῶν ἀποστόλων βίους καὶ τῶν πατέρων, ναὶ δὴ καὶ τῶν μαρτύρων αὐτῶν τὰ ἆθλα καὶ τὰ παλαίσματα, ὡς εἰκάζειν τοὺς ἀκούοντας ἄρτι τοὺς ἁγίους πρὸς τοὺς ἀγῶνας χωρεῖν καὶ ὀφθαλμοῖς ἐνορᾶν τὰ τραύματα τούτων καὶ τὰ γενναιότατα παραστήματα.

11. Χρόνοις οὖν ἐν δυσὶ καὶ εἴκοσιν ὁ σοφὸς τῷ ὄντι Ταράσιος τὸν θρόνον τῆς Κωνσταντινουπόλεως κατακοσμήσας νόσῳ περιπίπτει τινί· καὶ γὰρ ἔδει καὶ αὐτὸν ἄνθρωπον ὄντα τῷ κοινῷ νόμῳ λειτουργῆσαι τῆς φύσεως· ἥτις αὐτὸν κατεργασαμένη λοιπὸν κλίνης καὶ γωνίας ἐποίησεν· ἀλλὰ προσεκτέον τῷ ἐν αὐτῇ· φρίκης γάρ ἐστι καὶ θάμβους μεστόν· ἐν ἐκστάσει γενόμενος ὡρᾶτο καὶ πρὸς col. 2 ἀοράτους ἀντι|πάλους τὴν πάλην ἐπιδεικνύμενος, πρὸς τὰς ἀρχάς φημι, πρὸς τὰς ἐξουσίας, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας· ὡς γὰρ δὴ μετά τινων λόγους κινῶν ἐδείκνυτο. καὶ ἕως μὲν εἶχε τρανῶς διαρθροῦσαν τὴν γλῶσσαν, πρὸς τὰ προτεινόμενα τὰς ἀντιθέσεις ἐποίει, μηδὲν ἑαυτῷ συνειδέναι φάσκων, ὧν οὗτοι κατηγοροῦντες ἐδείκνυντο. ἡνίκα δὲ τὸ ταύτης ἐνάρκησεν ὄργανον, τῇ χειρὶ καὶ τῷ νεύματι τούτους ἀπεσόβει καὶ ἀπεδίωκεν· ὡς γὰρ ἐχθροὺς μετ' ὀργῆς αὐτοὺς ἀπωθούμενος κατεφαίνετο μέχρις ὅτου τὰ τῶν αἰσθήσεων προσαφῄρητο· τότε γὰρ σὺν ἀταράχῳ τῷ βλέμματι καὶ f. 119v ἡμέρῳ τῷ σχήματι, τῆς ἐκκλησίας τὴν || ἐνλύχνιον ποιουμένης αἴνεσιν καὶ τὸ «Κλῖνον, Κύριε, τὸ οὖς σου καὶ ἐπάκουσόν μου» ἡδέως ὑποφωνούσης, αὐτὸς χερσὶ τοῦ πλάσαντος τὴν ψυχὴν παρατίθεται. πᾶσα δὲ τοῦτον ἡ πόλις ἀπαρακλήτῳ πένθει καὶ δάκρυσιν ἐθρήνουν, ἀλλὰ καὶ βασιλεὺς αὐτὸς (Νικηφόρος δὲ ἦν ὁ γενικός) τῷ στήθει περιχυθεὶς τοῦ ἁγίου καὶ τῇ πορφύρᾳ τοῦτον περικαλύψας ἡσυχῇ τὸν θρῆνον εἰργάζετο, ποιμένα τοῦτον ἀποκαλῶν, πατέρα, συλλήπτορα καὶ θεῖον διδάσκαλον. ὁ δέ γε τῶν μονοτρόπων εὐλαβέστατος θίασος δάκρυσι τοὺς ὕμνους ἐξύφαινον· πᾶσα δὲ ἡλικία, γυναῖκες ἅμα καὶ παῖδες καὶ τὸ δοῦλον αὐτὸ ποταμοῦ δίκην

Rubro: v. 4 Ὁ δέ, v. 13 χρό|Νοις, v. 31 Πᾶσα, v. 35 Τῶν
16 κλίνης καὶ γωνίας: κλίνη ἀρρωστίας *Ign.*
29 Κλῖνον — μου: Psal. 35 (36), 1.

συνέρρεον, καὶ εἰ μὴ βασιλεὺς στρατιωτικῇ | χειρὶ τὴν τοῦ πλήθους col. 2 ῥύμην ἐπέσχε, πολλοὺς ἂν θανάτου κατέλαβον κίνδυνοι.

12. Θάπτεται τοίνυν τὸ καλόν σου σκῆνος, πανθαύμαστε, χερσὶν ὁσίων ἀνδρῶν ἐν τῇ παρά σου δομηθείσῃ πέραν τοῦ ἄστεος παντίμῳ μονῇ, πέμπτην ἄγοντος σὺν πενταπλῇ τετράδι τοῦ Φεβρουαρίου μηνός. καιρὸς δὲ καὶ τὰ μετὰ θάνατον θαύματα προθεῖναι τοῖς φιλαρέτοις. προστρέχουσι γὰρ τῷ παντίμῳ τάφῳ σου πολλοὶ καὶ τῶν ὀχλούντων παθῶν ἀπαλλάττονται. καὶ γὰρ ὑπὸ χρονίας αἱμορροίας πιεζόμενα γύναια, περιβολὴν ἀνδρῴαν ἐπενδυσάμενα (ὅτιπερ εὐμήχανον ἅπαν τὸ πιεζόμενον· οὐδὲ γὰρ βάσιμος ἦν ἡ μονὴ γυναιξί, σοῦ τοῦτο κελεύσαντος), τὴν σορὸν || κατειλήφασι καὶ f. 120 ἅμα τῷ τῆς ἀειφώτου λαμπάδος ἑαυτὰς ἐλαίῳ συγχρίσασθαι τὴν θεραπείαν εὕροντο. ἀλλὰ καί τις ἀνὴρ λοιμικῇ νόσῳ τὸν ἕτερον τῶν ὀφθαλμῶν πηρωθεὶς τῇ χρίσει τούτου τὸ ὁρᾶν ἀπέλαβε. καί τινος ἀνδρὸς ἑτέρου χεὶρ ὑπὸ δαιμονικῆς ἐνεργείας ἐπὶ πλεῖστον χρόνον τρόμῳ δεινῷ κινουμένη ὁμοίως τὴν ὑγείαν εὕρετο. πολλοὶ δὲ καὶ πνεύμασι πονηροῖς κατάσχετοι τῆς ἰάσεως ἔτυχον τῷ τάφῳ σου προσεγγίσαντες μόνον.

13. Πολλὰ οὖν σου τὰ μέγιστα θαυμάσια, ἱερώτατε, καὶ λόγων ἰσχύν, εἴ γε κατὰ μέρος τις αὐτὰ θελήσει διαλαβεῖν, ὑπερκείμενα. ὅμως ἑνὸς ἔτι διαμνημονεύσας καταπαύσω τὸν λόγον. Λέοντι τῷ βασιλεῖ τῆς τῶν εἰκονομάχων αἱρέσεως ἀντιποι|ουμένῳ κακῶς ὁ col. 2 μέγας αὐτὸς μετ' ὀργῆς κατ' ὄναρ ἐφίσταται, Μιχαὴλ τινι παρακελευόμενος ξίφος ὠθῆσαι κατ' αὐτοῦ· τὸν δὲ τῇ κελεύσει δουλεύοντα κατὰ τοῦ βασιλέως παρελάσαι τὸ ξίφος· τῷ δέει γοῦν ἀφυπνισθέντα τὸν Λέοντα κατὰ τὴν σὴν μονὴν τοὺς τὸν Μιχαὴλ στεῖλαι διερευνήσοντας, ὅστις ἄρα καὶ εἴη· καὶ γὰρ ἔγνω σε κατὰ τοὺς ὕπνους ὁ δυσσεβής· καὶ ἐπεὶ μὴ τὸν ζητούμενον εὕροι, τῶν ἐν αὐτῇ τινας μοναχῶν ἑτασμοῖς περὶ τούτου καὶ φρουραῖς καθυπέβαλε, τὴν αἰτίαν αὐτοῖς ποιησάμενος δήλην. οὐ πολὺς οὖν παρῴχηκε χρόνος, καὶ σφάττει τοῦτον ὁ Μιχαὴλ καὶ τῆς βασιλείας ἀντιλαμβάνεται.

14. Οὕτω θερμόν, ὦ ἱερὰ καὶ πάντιμε κεφαλή, καὶ μετὰ θάνατον, || ὡς ἔτι ζῶν, τὸν ζῆλον τῆς ὀρθῆς εἰς Χριστὸν πίστεως ἐπε- f. 120v δείκνυσο. καὶ νῦν ἀγγέλοις συνευφραινόμενος, ἱεράρχαις καὶ δικαίοις συναγαλλόμενος καὶ τὰς ὑπὲρ τοῦ κόσμου πρὸς Θεὸν πρεσβείας ποιούμενος, αἴτησαι δωρηθῆναι καὶ βασιλεῖ ἡμῶν τῷ ὀρθοδόξῳ

Rubro: v. 3 τοί|Νυν, v. 8 Καὶ γάρ, v. 13 Ἀνήρ, v. 14 Καί, v. 17 Καί, v. 22 Βασιλεῖ, v. 30 Παρῴχηκε, v. 33 Θερμόν
9 ἀνδρῶαν

καὶ τὴν ἀμώμητον πίστιν συντηροῦντι καλῶς μακρὰν τὴν ζωὴν col. 2 *καὶ ἀτά|ραχον, ἰσχὺν καὶ κράτος κατὰ τῶν ἀντιπάλων, χειρὸς θείας τὴν πολλὴν δυναστείαν, αὐλῆς δικαίων τὴν τερπνὴν κατοικίαν, ἡλίου φαῦσιν τοῦ νοητοῦ καὶ θείου, πάντων ἀγαθῶν τὴν ἀείμονον κτῆσιν καὶ βασιλείας Θεοῦ τὴν μετουσίαν· ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

Μηνὶ τῷ αὐτῷ κϛ΄.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΠΟΡΦΥΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΓΑΖΗΣ.

1. Γάζα πόλις ἐστὶ τῆς Παλαιστίνης, μεθόριον αὐτῆς καὶ τῆς Αἰγύπτου κειμένη· περιφανὴς ἡ πόλις, εἴδωλα πλουτοῦσα μετὰ τῶν f. 121 *ἄλλων, πλοῦτον, φεῦ, || τὸν κακόν. ταύτης ὁ καλὸς Πορφύριος Θεοῦ κρίμασιν ἀπορρήτοις καλῶς τὸν τῆς ἀρχιερωσύνης θρόνον ἐκόσμησεν. ἀλλ' ἄνωθεν χρὴ μικρὸν τὸν λόγον ἀναγαγεῖν. οὗτος ὁ κλεινὸς Πορφύριος πατρίδα μὲν ἔσχε Θεσσαλονίκην, ἐπιφανεῖς δὲ τοὺς τεκόντας καὶ πλούτῳ λαμπρούς. θείῳ τοίνυν ἔρωτι κατάσχετος γεγονὼς μετὰ τελευτὴν τῶν τεκόντων, ἐπείπερ εἰς ἄνδρας ἐτέλει, καταλιπὼν πατρίδα γένος ὕπαρξιν, καταλαμβάνει τὴν Αἴγυπτον καὶ τὸν μονήρη βίον κατὰ τὴν Σκῆτιν ἐχεφρόνως ἀσπάζεται. πέντε γοῦν ἐν ἔτεσι τοῖς ἐκεῖσε μοναχοῖς συνδιαγαγὼν τὰ Ἱεροσόλυμα κατειλήφει προσκυνήσεως χάριν τῶν σεβασμίων τόπων, οἷς ὁ ἐμὸς* col. 2 *Χριστὸς | τὰς διατριβὰς ἐποιήσατο καὶ τὸν ἑκούσιον ὑπὲρ ἡμῶν εἵλετο θάνατον. ἐκεῖθεν οὖν τὰ μέρη τοῦ Ἰορδάνου καταλαβὼν σπήλαιον οἰκεῖ λίαν ὅτι δυσάερον καὶ ἄλλως φθοροποιόν. ἔνθεν τοι καὶ νόσῳ περιπίπτει δεινῇ, καὶ ἡ νόσος σκληρότης ἥπατος καὶ πυρετὸς συνεχής. δι' ἃ πάλιν τὰ Ἱεροσόλυμα βλέψας τοὺς ἁγίους περιῄει τόπους, μὴ τῆς νόσου φροντίζων, τῶν πατέρων δὲ ταῖς διδασκαλίαις προσκείμενος.*

2. Πλὴν μόνην λύπην εἶχεν ἄπαυστον ταύτην, τὸ μὴ τὴν γονικὴν οὐσίαν ἐξαργυρισθῆναι καὶ διανεμηθῆναι τοῖς πένησιν. ὅμως δὲ τῷ

Rubro: v. 2 *Μακρὰν*, v. 5 *Πάντων*, v. 12 *Γάζα*, v. 17 *Πορφύριος*.

21 *σκήτην cod.* 22 *ἐν ante ἔτεσι om. ed. Bonnensis.* 24 *ἠκούσιον et* 28 *πυρητὸς legi in cod. falso dicunt edd. Bonnenses.*

συνήθει μοι καὶ φίλῳ βιβλίον ἐντολῆς ἐγχειρίζει, τὴν Θεσσαλονίκην κελεῦον κατα||λαβόντα σὺν ἀδελφοῖς αὐτοῦ (νέους γὰρ ὅτι τούτους f. 121ᵛ *τῆς πατρίδος ἀπαναστὰς καταλέλοιπε) ταύτην ἐπιμερίσασθαι. πλοίῳ τοιγαροῦν (ἐν τῷ λιμένι τῆς Ἀσκάλωνος εὑρηκὼς) δι' ἡμερῶν τρισκαίδεκα τὴν εἰρημένην πόλιν κατέλαβον καὶ τοῖς ἀδελφοῖς τὴν ἐπιστολὴν ἐμφανίσας καὶ τὰ τῆς ἐπιλαχούσης κτήσεως τῷ Πορφυρίῳ λαβὼν καὶ τρισχιλίων αὐτοῖς διαπωλήσας ταῦτα χρυσῶν, ἔτι τε καὶ τὰ ἐσθήματα καὶ εἴ τι ἐν ἀργύρῳ ἦν πάντα συλλεξάμενος καὶ ἑτέρους χρυσοῦς χιλίους τετρακοσίους καὶ ἐκπλεύσας δι' ἡμερῶν δυοκαίδεκα κατέλαβον τὴν Ἀσκάλωνα. καὶ μισθωσάμενος ὑποζύγια πρὸς τὴν ἁγίαν τάχος παραγίνομαι πόλιν.*

3. Αἴφνης οὖν με | κατιδὼν ὁ θαυμάσιος καὶ περιεπτύξατο καὶ col. 2 *δάκρυον ἐπαφῆκε χαρᾶς. ἐμοῦ δὲ τοῦτον ἐρρωμένον ἰδόντος καὶ τὴν ὄψιν ἔχοντα φαιδρὰν καὶ τὴν αἰτίαν μαθεῖν ἐκζητήσαντος, ἐκεῖνος ἤρξατο λέγειν ὅτιπερ 'Ἐν τῇ τῆς ἁγίας κυριακῆς παννυχίδι χαλεπή με' φησὶ 'κατέσχεν ὀδύνη καὶ μὴ φέρων, ἀδελφὲ Μάρκε, τὴν δεινὴν ἀλγηδόνα πλησίον ἀνεκλίθην τοῦ ἁγίου κρανίου καὶ εὐθὺς ἐν ἐκστάσει γενόμενος ὁρῶ θέαμα ξένον, ἐν τῷ σταυρῷ τὸν σωτῆρα καὶ τῶν λῃστῶν ἕνα κρεμάμενον ἐν ἑτέρῳ σταυρῷ, καὶ ἅμα τῷ κράζειν με «Μνήσθητί μου, κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου» ἀκούω τοῦ σωτῆρος πρὸς αὐτὸν λέγοντος τὸν λῃστήν· «Κάτελθε καὶ σῶσον, ὥσπερ δὴ καὶ σὺ σέσωσαι, τὸν ὀδυνώμενον ἄνθρωπον». τούτου δὲ || κατιόντος καὶ περιλαβόντος με καὶ φιλή-* f. 122 *σαντος, ναὶ δὴ καὶ τὴν χεῖρα προτείναντός τε καὶ ἀναστήσαντος καὶ «Πρὸς τὸν σωτῆρα» φήσαντος «ἐλθέ», ἀναστὰς ἔδραμον εὐθέως ἐγὼ καὶ εἶδον ἀπὸ τοῦ σταυροῦ καταβάντα τοῦτον καὶ «Λαβὲ τὸ ξύλον» εἰπόντα «τοῦτο καὶ φύλαξον». ὃ καὶ λαβὼν καὶ βαστάσας ἐπανῆλθον εὐθὺς ἀπὸ τῆς ἐκστάσεως καὶ κατενόουν ἐμαυτὸν καὶ ὑγιὴς ἤμην καὶ ἄνοσος.' τούτων ἀκούσας ἐγὼ τὸν Θεὸν ἐδόξαζον τὸν μεγάλα ποιοῦντα καὶ ἔνδοξα. εἶτα παραδεδωκότος μου τούτῳ τὰ χρήματα καὶ τὴν ἄλλην ὕπαρξιν, ἐκεῖνος ἀργυρίου ταῦτα πωλήσας ἐντὸς ὀλίγου χρόνου τὰ τούτων τιμήματα τοῖς ἐνδεέσι διένειμε, σκεύη μόνον τίμια τοῦ ἀργύρου ἐξεργασάμενος. ἔκτοτε γοῦν κατὰ τὸν | μέγαν ἀπόστολον Παῦλον σκυτοτόμος εἶναι προείλετο,* col. 2 *βύρσας πλύνων ἅμα καὶ ῥάπτων κἀντεῦθεν τρεφόμενος, «Εἴ τις οὐκ ἐργάζεται» λέγων, «μηδαμῶς ἐσθιέτω».*

Rubro: v. 3 ***Πλοίω***, v. 29 d|***Κούσας***

3 «f. *πλοῖον*» ***Bonn.***, ***sed dat. potest pendere a*** *κατέλαβον*, ***si*** *ἐν τῷ λιμένι — εὑρηκὼς* ***uncis includimus*** 22 *ὀδυνώμενον* ***cod.*** (***non*** *ὠδ.*, ***ut dicunt edd. Bonn.***). 23 *περιβαλόντος* ***B.*** 26 *λάβε* ***cod.***

20 *Μνήσθητι—σου*: Luc. 23, 42. 35 *Εἴ τις — ἐσθιέτω*: Thess. II, 3, 10.

4. Γέγονεν οὖν περιβόητος ἐν ἀρεταῖς ὁ δίκαιος, διὸ καὶ δυνατὸν οὐκ ἦν ὑπὸ τὸν μόδιον αὐτὸν συγκαλύπτεσθαι. ὅθεν οὐδὲ κεκάλυπτο. καὶ γὰρ ὁ πρόεδρος Ἱεροσολύμων (Πραΰλιος ἦν ὁ καλός) πέμψας καὶ τοῦτον ἀγαγὼν πρεσβύτερόν τε χειροτονεῖ καὶ τὴν τοῦ θείου σταυροῦ φυλακὴν ἐμπιστεύει θερμῶς. καὶ τότε συνήκαμεν ὡς ἀπέβη τούτῳ τὰ τῆς ἐκστάσεως, ὅτε τὸν σταυρὸν εἰς φυλακὴν ὁ σωτὴρ ἡμῶν ἐνεχείρισε τούτῳ. πέντε τοίνυν ἐτῶν ἐπὶ τοῖς τεσσαράκοντα ἦν ὁ Πορφύριος, ὅτε τὴν τοῦ πρεσβυτέρου χειροτονίαν ἐδέξατο. ||

f. 122v 5. Μετὰ γοῦν τρίτον ἑξῆς χρόνον ὁ τῆς Γαζαίων ἐπίσκοπος (Αἰνείας ἦν οὗτος) τὸν βίον ἀπέλιπεν. οἱ τοίνυν χριστιανοὶ τῆς πόλεως ὀλίγοι τυγχάνοντες ἅμα τοῖς τοῦ κλήρου τῆς ἐκκλησίας σκέπτονται καὶ γράφουσι τῷ μητροπολίτῃ, πέντε πέμψαντες τῶν κληρικῶν καὶ πέντε τῶν λαϊκῶν, ἐπίσκοπον αὐτοῖς ἀξιοῦντες δοθῆναι πρὸς τὰς ἀντιπαραστάσεις τῶν εἰδωλολατρῶν ἀντιπίπτειν δυνάμενον καὶ φωτίζειν αὐτούς. καὶ οὗτος δεηθεὶς τοῦ Θεοῦ μυεῖται δι' ἀποκαλύψεως τὸν Πορφύριον καὶ εὐθὺς γράμματα πέμπει πρὸς τὸν ὁσιώτατον Πραΰλιον τὸν Ἱεροσολύμων πρόεδρον, μετακαλούμενα τὸν Πορφύριον ζητήματος χάριν γραφικῆς ἐπιλύσεως· καὶ col. 2 γὰρ ἦν ἱκανὸς ἐν αὐτοῖς | ὁ ἀνήρ, πνεύματος ἐξ ἁγίου τὴν χάριν δεξάμενος. καὶ ὃς αὐτίκα στέλλει τοῦτον πρὸς αὐτόν. ἐπεὶ οὖν μάθοι παρὰ τοῦ Ἰωάννου (οὕτω γὰρ ὁ μητροπολίτης ὠνόμαστο) τῆς προσκλήσεως τὴν αἰτίαν, τὰ μὲν πρῶτα διενέστη πρὸς τὸ τοῦ πράγματος μέγεθος, εἶτα βιασθεὶς ὑπὸ τοῦ μητροπολίτου καὶ μὴ ἀντιλέγειν τῇ θείᾳ βουλῇ διδαχθεὶς καταδέχεται, «Τὸ θέλημα» εἰπὼν «τοῦ Θεοῦ γενέσθω».

6. Κατὰ γοῦν τὴν ἑσπέραν ἐκείνην καλέσας με λέγει· «Πορευθῶμεν, ἀδελφὲ Μάρκε, καὶ προσκυνήσωμεν τοὺς σεβασμίους τόπους καὶ τὸν τοῦ κυρίου σταυρόν· πολὺς γὰρ παρελεύσεται χρόνος, ἕως αὖθις τοῦτο ποιήσομεν». ἐμοῦ δὲ «Διὰ τί» φήσαντος, «ὦ πάτερ, οὕτως ἐφθέγξω», ἐκεῖνος «Τῇ παρελθούσῃ» λέγει «νυκτὶ τὸν δεσπόf. 123 την || εἶδον, ἀδελφέ, 'Τὴν παραθήκην' λέγοντα, 'Πορφύριε, τάχος ἀπόδος, μέλλω γάρ σε συζεῦξαι γυναικὶ ταπεινῇ μέν, τρόποις δὲ κεκοσμημένῃ σεμνοῖς. σὺ δὲ ἀλλὰ κόσμησον αὐτήν, ὡς ἂν ἐπιλάθηται τῆς προτέρας πενίας· ἀδελφὴ γάρ μοι γνησία κατὰ πάντα τυγχάνει'. ταῦτά μοι ὁ δεσπότης ἐγνώρισε, Μάρκε· διὸ καὶ οὐ δυνατὸν ἀντιπίπτειν τῷ βουλήματι τούτου».

Rubro: v. 1 Γέγονεν, v. 10 Μετὰ, v. 22 Μάθοι, v. 32 Τὴν
5 συνήκαμεν cod. (non συνῆκα μὲν, ut dicunt edd. B.) 10 ἐξ ἧς cod., em. B. 11 αἰνίας cod., em. B. 19 «f. γραφικοῦ» B. 23 «f. διανέστη» B.
2 ὑπὸ τὸν μόδιον: cf. Matth. 5, 15.

7. Οὕτως ἔφη, καὶ τοὺς ἁγίους ἀπελθόντες καὶ προσκυνήσαντες τόπους, καὶ τῇ θήκῃ τὸν σταυρὸν ἐνθέμενος ὁ Πορφύριος καὶ πρὸς τὸν μακάριον Πραΰλιον ἀφικόμενος παρατίθεται τούτῳ τὰς κλεῖς καὶ λαβὼν εὐχὴν ὑπ' αὐτοῦ, τὸ καταγώγιον κατελάβομεν καὶ μισθωσάμενοι ζῷα τῇ ἑξῆς ἅμα τῷ ὑπηρέτῃ Βαρουχᾷ, περὶ οὗ προϊὼν ὁ λόγος δι|δάξει, καί τισιν ἄλλοις col. 2 τὴν ὁδὸν ἠνύομεν καὶ τῆς αὔριον τὴν Καισάρειαν κατελάβομεν καὶ πρός τινα καταγωγὴν κατελύσαμεν. ὅπερ γνοὺς ὁ τὰ πάντα σοφὸς Ἰωάννης ὁ ταύτης ἀρχιερεὺς πρὸς δεῖπνον ἡμᾶς συνεκάλεσεν· ἦν δὲ σάββατον. καὶ δὴ πρὸς αὐτὸν ἀπιόντες (οὐδὲ γὰρ ἐξῆν ἀντειπεῖν τῷ ἀρχιερεῖ) τὸν Βαρουχᾶν τῇ καταγωγῇ κατελίπομεν. μείναντες οὖν σὺν αὐτῷ καὶ τὴν πάννυχον τῆς ἀναστάσεως ἐκτελέσαντες στάσιν, ἅμα πρωῒ τοὺς Γαζαίους ὁ ἱεράρχης συγκαλεσάμενος χειροτονεῖ τὸν Πορφύριον καὶ τούτοις ἐπίσκοπον δίδωσι. τὴν θείαν οὖν ἐκτελέσαντες λειτουργίαν καὶ μετασχόντες σὺν τῷ μητροπολίτῃ τροφῆς, μετὰ μίαν ἡμέραν ἐξήλθομεν καὶ τῇ αὔριον || τὴν Γάζαν εἰσήλθομεν καὶ τὸ ἐπισκοπεῖον εἴδομεν, ὅπερ f. 123v Εἰρηναῖος ὁ ἐπίσκοπος ᾠκοδόμησε μετὰ τῆς ἐκκλησίας καὶ Εἰρήνην αὐτὴν ἐπωνόμασε. κατὰ δύο δὲ τρόπους φασὶ τὴν ἐκκλησίαν οὕτω κεκλῆσθαι, διά τε τὸ καλεῖσθαι τὸν ἐπίσκοπον Εἰρηναῖον καὶ διὰ τὸ τὸν ἐκ Μακεδονίας Ἀλέξανδρον, ἡνίκα τὴν πόλιν τῶν Γαζαίων ἐπόρθησεν, ἐκεῖσε καταπαῦσαι τὸν πόλεμον καὶ Εἰρήνην ὀνομάσαι τὸν τόπον.

8. Κατὰ γοῦν τὸν χρόνον ἐκεῖνον ἀνομβρίας (οἷα συμβαίνει ταῖς τοῦ καιροῦ περιτροπαῖς ἐγγίνεσθαι) πιεζούσης τὸν τόπον οἱ τὰ Ἑλλήνων πρεσβεύοντες τῇ τοῦ Πορφυρίου εἰσόδῳ τὴν αἰτίαν ἐπέγραφον. ἔνθεν τοι καὶ θυσίας προσῆγον ἐφ' ὅλαις ἡμέραις ἑπτὰ Μαρ|νᾷ τῷ θεῷ αὐτῶν (οὕτως γὰρ ἐκάλουν τὸν Δία), ὑετὸν ζη- col. 2 τοῦντες λαβεῖν. ἀπράκτων οὖν ἐπανιόντων αὐτῶν (οὐδὲ γὰρ δαιμόνων τοῦτο, Θεοῦ δὲ πάντως καὶ τῆς αὐτοῦ δυνάμεως ἔργον), οἱ χριστιανοὶ τῷ Πορφυρίῳ σὺν ἅμα γυναιξὶ προσιόντες καὶ τέκνοις δέονται λύσιν εὑρεῖν τοῦ τοσούτου κακοῦ. πρωΐας οὖν γενομένης ἅμα παντὶ τῷ κλήρῳ καὶ τούτοις αὐτοῖς τὴν ἀρχαίαν κατελάβομεν ἐκκλησίαν, ἣν τὸν ἁγιώτατον ἐπίσκοπον Ἀσκληπᾶν, ὃς πολλοὺς καὶ μεγάλους ὑπέμεινε διὰ Χριστὸν διωγμούς, οἰκοδομῆσαι λέγεται. ἐν ᾗ καὶ δεήσεις πρὸς Θεὸν ποιησάμενοι ἐπὶ τὸν ναὸν τοῦ ἁγίου μάρτυρος Τιμοθέου μετὰ λιτῆς καὶ ὕμνων παρεγενόμεθα κἀν

Rubro: v. 1 Οὕτως, v. 15 Ἐκτελέσαντες, v. 24 Τόν, v. 32 Πρωΐας
1 «f. ἐπελθόντες» B. 7 «f. τῇ αὔριον» B. 13 στάσιν cod., σύναξιν B. 19 οὕτως B. 27 «f. ὅλας ἡμέρας» B. perperam (cf. exempli causa supra p. 109, 13) 28 Μαρνᾶς constanter cod., Μάρνας B.

f. 124 τούτῳ τὰς συνήθεις εὐχὰς ἐκτελέσαντες, περὶ ὥραν || ἐνάτην τῆς ἡμέρας εἰς τὴν πόλιν ἤλθομεν καὶ ἐπεὶ κεκλεισμένην εὕρομεν τὴν πύλην, δι' ἧς εἰσελθεῖν ἐμέλλομεν, τῶν εἰδωλολατρῶν πάντως ἀποκλεισάντων αὐτήν, ἐμείναμεν πρὸ ταύτης ἄχρις ὡρῶν δύο παρελεύσεως ἢ καὶ τριῶν. καὶ τότε (τίς σοῦ, Χριστέ μου, μὴ θαυμάσει τὴν δύναμιν;) ἀνέμου νότου κινηθέντος βιαίου, βροντῶν τε καταρραγέντων καὶ ἀστραπῶν ἐκτριβέντων λάβρος ὑετὸς κατεχέθη καὶ τὴν γῆν ἐκείνην ἐμέθυσεν ἅπασαν, ὡς ἐκπλαγέντας ἐπὶ τούτῳ τοὺς Ἕλληνας ἀνοῖξαί τε τὴν τῆς πόλεως πύλην καὶ «Μέγας ὁ Χριστὸς» βοῆσαι «ὁ Θεὸς τῶν χριστιανῶν», προστεθῆναί τε τούτῳ καί τινας αὐτῶν ἄνδρας ὁμοῦ καὶ γυναῖκας καὶ παῖδας, ἑπτὰ τὸν ἀριθμὸν col. 2 καὶ εἴκοσι πρὸς τοῖς ἑκατόν, ἔτι τε | κατ' αὐτὸν δὴ τὸν καιρὸν καὶ ἑτέρους τριάκοντα πρὸς τούτοις καὶ πέντε.

9. Ὅπερ ἐκμαίνεσθαι τοὺς Ἕλληνας κατὰ τῶν πιστῶν ἐποίει, καὶ δή ποτε τὸν προμνημονευθέντα Βαρουχᾶν διά τινος ἀπαίτησιν ἐκκλησιαστικοῦ σιτηρεσίου κώμῃ παραβαλόντα τινὶ τοσοῦτον τοῖς ῥοπάλοις οἱ τῆς κώμης ἔτυψαν, ὡς ἡμιθανῆ γενόμενον ἔξω ταύτης ῥιφῆναι. ἐπεὶ δὲ τοῦτον ὁ διάκονος Κορνήλιος μεθ' ἑτέρων δύο χριστιανῶν παριὼν οὕτω κείμενον ἴδοι, διαβαστάσας ἅμα τούτοις πρὸς τὴν πόλιν ἀπῆγεν. καί τινες τῶν Ἑλλήνων μύσος ἡγησάμενοι τοῦτο (νεκρὸν γὰρ ἐνόμιζον εἶναι τὸν βασταζόμενον) τῇ γῇ τοῦτον κατέβαλον καὶ σχοῖνον ἐκδήσαντες τοῦ ποδὸς μακρὰν εἷλκον τῆς f. 124v πόλεως, || πολλὰς ἐντείναντες τοῖς βαστάζουσι τὰς πληγάς. ὅπερ γνοὺς ὁ Πορφύριος καὶ σὺν ἄλλοις τισὶ τούτους καταλαβών, «Μὴ οὕτω» πρὸς αὐτούς, «ὦ ἄνδρες», ἔλεγε, «μὴ οὕτω πρὸς ἄνθρωπον τὴν αὐτὴν ὑμῖν περικείμενον σάρκα ποιεῖτε». καὶ οὕτω μόλις αὐτῶν τοὺς θυμοὺς καταστείλας τὸν Βαρουχᾶν ἐκέλευσε διαβασταχθέντα πρὸς τὴν ἐκκλησίαν ἀπενεχθῆναι. κατ' ἐκείνην οὖν τὴν νύκτα τοῦ ἁγίου δεήσεις ὑπὲρ αὐτοῦ πρὸς Θεὸν ποιουμένου, ἐκεῖνος ἀνοίγειν ἤρξατο τοὺς ὀφθαλμοὺς καὶ τὰ χείλη κινεῖν καὶ ποτὸν ἐξαιτεῖν. ὄρθρος ἦν καὶ ἰδοὺ οἱ τῆς πόλεως ἔξαρχοι, τὴν ἐκκλησίαν καταλαβόντες, «Ἄδικον» ἐβόων «τὸ γεγονός, οὐχ ὅσιον γὰρ νεκρὸν ἔξωθεν col. 2 πρὸς τὴν πόλιν εἰσάγεσθαι». πρὸς δὲ | καὶ ὕβρεσιν τὸν ἅγιον ἔβαλλον. ἐξιόντας οὖν ἡμᾶς κατασχόντες ἐκεῖνοι τύπτειν ἀφειδῶς ἐπεχείρουν· ἐγὼ δὲ ἤμην καὶ ὁ θεοφιλὴς Κορνήλιος. θορύβου οὖν γεγονότος ὁ Βαρουχᾶς, ζήλῳ θείῳ ῥωσθείς, διαναστάς τε καὶ ξύλου λαβόμενος τοσοῦτον ἐπέθετο τύπτων αὐτοὺς καὶ διώκων, ἕως οὗ

Rubro: v. 18 Τοῦτον, v. 28 Κατ' ἐκείνην, v. 34 Ἡμᾶς

6—7 καταρραγέντων — ἐκτριβέντων: *sic cod.* (cf. *B.* p. 79, n. 1)   19 ἅμα τοῦτον *B. cum nota:* «*f.* ἅμα ⟨ἐκείνοις⟩». *sed cod. habet* τούτ(οις).

πρὸς τὸν τοῦ Διὸς ναὸν εἰσήγαγε φεύγοντας, ἄλλος τις Σαμψὼν ἐν τούτοις ἀναφανεὶς γενναιότατος. ὅντινα κἀμὲ μετ' οὐ πολλὰς ἡμέρας τῷ τῶν διακόνων ὁ μέγας τετίμηκεν ἀξιώματι.

10. Χρόνος παρῆλθεν οὐχὶ συχνός, καὶ γράφει πρὸς τὸν Κωνσταντινουπόλεως πατριάρχην (Ἰωάννης δὲ οὗτος ἦν ἡ χρυσῆ γλῶσσα καὶ τὰ θεῖα σοφή), τὴν καθαίρεσιν ἐξαιτῶν τῶν εἰδωλικῶν γενέσθαι ναῶν· ᾔδει γάρ, ὡς ἐντυχὼν ἐκεῖνος || τῷ βασιλεῖ καλῶς τὰ περὶ f. 125 τούτων θήσοι καὶ εὐμαρῶς. δι' ἡμερῶν οὖν τὸν διάπλουν εἴκοσι ποιησάμενος τὴν Κωνσταντίνου κατέλαβον καὶ τὰ γράμματα τῷ πατριάρχῃ παρέσχον. ὁ δὲ πρόθυμος εἰς τοῦτο γενόμενος τὸν κουβικουλάριον Εὐτρόπιον, μεγάλα τότε παρὰ τῷ βασιλεῖ δυνάμενον Ἀρκαδίῳ, μετακαλεῖται τὸ τάχος καὶ τὴν ἐπιστολὴν ἐγχειρίζει καὶ θερμῶς ἀξιοῖ μάλα ταχεῖαν τὴν ἔκβασιν καὶ κατὰ σκοπὸν Πορφυρίου τὰ πράγματα δέξασθαι. ἡμέραι παρῆλθον ἑπτά, καὶ πρόσταγμα γίνεται βασιλικὸν τὰ τῆς Γαζαίων πόλεως εἰδωλεῖα κλεισθῆναι, καὶ τοῦτο Ἱλάριός τις, τῶν ὑπηρετουμένων εἷς σουβαδιουβᾶ τῷ μαγίστρῳ, λαμβάνει καὶ τὸ τάχος ἅπτεται τῆς ὁδοῦ. συνεξῄειν δὲ τούτῳ | κἀγὼ καὶ ἡμερῶν πρό γε ἑπτὰ τῆς αὐτοῦ παρουσίας φθάνω col. 2 τὴν Γάζαν ἐγὼ καὶ ἅπερ ἔλαβον τοῦ πατριάρχου γράμματα τῷ Πορφυρίῳ κομίζω. ὃς ἅμα τῷ ποιήσασθαι τὴν τούτων ἀνάγνωσιν εὔθυμός τε γέγονε καὶ τὴν νόσον ᾗ πεπέδητο ταῖς τῶν εἰδωλολατρῶν ἐπεμβολαῖς ἀπεσείσατο. κατέλαβε τοίνυν καὶ ὁ Ἱλάριος, τὰ βασιλικὰ διατάγματα τοῖς ἐξάρχοις Γάζης ὑπέδειξε καὶ δὴ καὶ κατέστρεψε τὰ τῶν δαιμόνων ἰνδάλματα καὶ τοὺς αὐτῶν ναοὺς ἐναπέκλεισε, τὸν τοῦ Διὸς μόνον ἐάσας χρημάτων οὐκ ὀλίγων ἕνεκα, ἐν ᾧ τὰς συνήθεις τελετὰς οἱ ἐναγεῖς ἐποιοῦντο.

11. Γυνὴ οὖν τις κατ' ἐκεῖνο καιροῦ τῶν ἐπιφανῶν τῆς πόλεως μία, Αἰλιὰς καλουμένη, περὶ τὸν τοκετὸν ἐκινδύνευεν· || ἦν γὰρ πλάγιον ἐνεχθὲν τὸ βρέφος ἐν τῇ προόδῳ. f. 125^v ὡς οὖν πλεῖστα τῷ Μαρνᾷ θύοντες (οὕτω γάρ, ὡς δεδήλωται, τούτοις ὁ Ζεὺς ὠνομάζετο) μηδὲν ἤνυον, καὶ ἔμελλε μικρὸν ὅσον ἡ γυνὴ κινδυνεύειν, ἡ ταύτης τροφὸς τῇ ἐκκλησίᾳ σχολάζουσα (πιστὴ καὶ γὰρ ἦν) δεήσεις ἀνέφερεν ὑπὲρ αὐτῆς τῆς καμνούσης. ἣν ὁ θεῖος Πορφύριος οὕτως ἰδὼν κατωδύνως τὰς εὐχὰς ποιουμένην, τὴν αἰτίαν μὴ ἀγνοῶν, ὅμως ἤρετο καὶ τῇ διηγήσει τῆς γραὸς ἐπεδάκρυσε καὶ «Ἄπελθε» λέγει πρὸς αὐτὴν «καὶ τοῖς προσήκουσι ταύτῃ καὶ τοῖς τεκοῦσιν ἀνάγγειλε, τί τῷ ἰατρῷ χαρίζοιντο, καὶ ὡς οὐδὲν ἄλλο ζητεῖ ἢ τὸ

Rubro: v. 4 Χρόνος, v. 8 Τόν, v. 14 Ἡμέραι, v. 22 Κατέλαβε, v. 27 Τις

4 παρῆλθε B. 9 ποιησάμενος cod., ποιησάμενοι B. cum nota: «f. ποιησάμενος» 23 «f. ⟨καὶ⟩ τὰ β.» B. ibid. ναὶ δὴ καὶ B. 37 τῶι στοιχεῖν cod., em. B.

στοιχεῖν τῷ λόγῳ τούτου καὶ συμφωνεῖν καὶ τῇ συγκαταθέσει
col. 2 τούτων ναὶ δὴ καὶ τῷ ὅρκῳ. τοῦτο δὴ καὶ πρὸς τὴν πά|σχουσαν
εἰπέ· Ἰησοῦς ὁ Χριστὸς διὰ τοῦ Πορφυρίου ἰᾶταί σε». γίνεται
τοῦτο, καὶ ὑγιὴς ἡ κόρη τῇ συγκαταθέσει τῶν τεκόντων ὁρᾶται,
τὸ βρέφος αὐτίκα διολισθῆσαν τῆς μήτρας καὶ ὑγιᾶ ταύτην ὑγιῶς
ἔχον διαφυλάξαν. ἅπερ οἱ γονεῖς θεασάμενοι τῆς κόρης τῷ μεγάλῳ
προσῆλθον καὶ πανοικὶ ἐβαπτίσαντο, Πορφυρίου τοῦ βρέφους ὀνο-
μασθέντος. ἦσαν δὲ ὁμοῦ οἱ πεφωτισμένοι τέσσαρες καὶ ἑξήκοντα.

12. Τῶν οὖν Ἑλλήνων ἐπὶ τούτοις ἀνιωμένων ὁ μακάριος, τὸν
μητροπολίτην Ἰωάννην καταλαβών, τὴν βασιλεύουσαν ἐξαιτεῖ κατα-
λαβεῖν σὺν αὐτῷ καὶ δέησιν τῷ κρατοῦντι προσενεγκεῖν, λῦσαι καὶ
τὸ τοῦ Διὸς τέμενος καὶ τέλεον ἀπαλεῖψαι τῆς πόλεως τὰς τῶν
εἰδώλων μυσαρὰς τελετάς. πείθεται μὲν οὖν μόλις ὁ Ἰωάννης,
f. 126 πείθεται δὲ || ὅμως, καὶ τάχος ἐκπλεύσαντες καὶ τὴν Ῥόδον κατα-
λαβόντες ἀνδρὶ δούλῳ Θεοῦ (Προκόπιος οὗτος ἦν ὁ θαυμάσιος)
ἐντυγχάνομεν, ὃς ἡμῖν πάντα τὰ συμβησόμενα καὶ ἃ χρὴ διαπρά-
ξασθαί τε καὶ εἰπεῖν ἡμᾶς διηγήσατο. καὶ δὴ τὴν πόλιν καταλα-
βόντες τῷ πατριάρχῃ Ἰωάννῃ προσήλθομεν. καὶ ὃς ἐδεξιώσατο
ἡμᾶς καὶ θεραπείας ἠξίωσε καὶ ἐλπίδας ἔχειν χρηστὰς ὑπέθετο καὶ
τὸν Ἀμάντιον (εὐνοῦχος δὲ οὗτος τῆς βασιλίσσης) πολλὰ πρὸς τὸ
προκείμενον ἡμῖν συμπονῆσαι ταῖς αὐτοῦ παραινέσεσιν ὑπισχνεῖτο.
οὕτως ἀκούσαντες εἰς τὴν ξενίαν ἀπήλθομεν. τῇ ἑξῆς δὲ πάλιν τὸν
μέγαν καταλαβόντες Χρυσόστομον, εὑρίσκομεν παρ' αὐτῷ τὸν εἰρη-
col. 2 μένον Ἀμάντιον, καὶ πάντα τούτῳ καὶ ἡμεῖς | τὰ προκείμενα δι-
ηγούμεθα, καὶ οὕτως αὐτῷ συνταξάμενοι πρὸς τὴν ξενίαν ὡρμή-
σαμεν. ἕωθεν δὲ καλέσας ἡμᾶς πρὸς τὴν αὐγούσταν τοὺς ἐπισκό-
πους εἰσήγαγε· ἡ δὲ πρεπόντως τιμήσασα καὶ τῆς παρ' αὐτῶν
εὐλογίας τυχοῦσα καὶ πάντα καὶ ὑπ' αὐτῶν καλῶς ἀναδιδαχθεῖσα
(προειρήκει γὰρ αὐτὰ καὶ Ἀμάντιος) καὶ τέλος ἐπιθεῖναι τῷ σκοπῷ
τούτων ὑποσχομένη καὶ χρήματα δὲ παρασχοῦσα τούτοις εὐθύμους
ἀπέλυσε καὶ τῷ βασιλεῖ προσελθοῦσα πάντα κατὰ μέρος ἐδίδαξεν,
ὡς ὁ καλὸς Ἀμάντιος ἡμῖν ἀνήγγειλεν. ἀλλὰ καὶ αὐτὴ ἡ βασίλισσα
ἅμα φωτὶ προσκαλεσαμένη τοὺς ἐπισκόπους, οἵτινες ὑπερευξάμενοι
f. 126ᵛ ταύτης καὶ τὸν τῆς κοιλίας καρπὸν ἄρρενα φήσαντες εἶναι || ταῖς
τοῦ ἐν Ῥόδῳ Προκοπίου προρρήσεσιν (ὡς προλαβὼν ὁ λόγος
ἐδίδαξε) καὶ ὅτι ζήσει καὶ βασιλεύσει πλείστοις ἐν ἔτεσιν, ἀπηλλά-

Rubro: v. 9 Ἐπὶ, v. 17 Καὶ δὴ, v. 22 Πάλιν, v. 26 Ἕωθεν

2 «f. τοῦτο δὲ» B. perperam   5 διολιθεῖσαν cum nota: «f. διολισθῆσαν.» B. at cod. habet διολισθεῖσαν   11 «λῦσαι: f. κλεῖσαι» B. perperam (cf. p. 148, 14—21).   25 ὁρμήσαμεν cod., em. B.   29 προειρήκει δὲ B.   32 ἀνηγγέλλη cod. et B.

γησαν ὑπόσχεσιν εἰληφότες τούτου γινομένου ναὸν αὐτὴν μέσον ἀνεγεῖραι τῆς Γάζης.

13. Μετ' ὀλίγας οὖν ἡμέρας τίκτεται τῇ βασιλίδι Θεοδόσιος ὁ νέος, εἶτα καὶ βαπτίζεται. συμπαρῆν τῷ πλήθει τῆς συγκλήτου καὶ βασιλεύς. ἕστημεν ἡμεῖς πρὸς τὴν ἔξοδον καὶ τὴν ἔγγραφον δέησιν τοῖς βασιλεῦσιν ἐπανετείναμεν. δέχεται ταύτην ὁ τὸν παῖδα φέρων ἐν τῇ πορφύρᾳ καὶ μικρὸν ὑπαναγνούς (δεδίδακτο γὰρ ὑπὸ τῆς βασιλίδος τὸ πρᾶγμα) τὴν χεῖρα ὑπὸ τὴν κεφαλὴν τοῦ βρέφους ὑποβαλὼν καὶ μικρὸν αὐτὴν ὑπεραναστήσας ἐβόησεν· «Οἱ | βασιλεῖς col. 2 *γενέσθαι τὰ τῆς ἱκεσίας ἐκέλευσαν». ἐκρότησε τὸ πλῆθος, ἐπήνεσε τὸν λόγον ἡ σύγκλητος, ὁ βασιλεὺς προσήκατο τὸ αἰτούμενον, ὡς ὁ Ἀμάντιος ὕστερον ἐξεῖπεν ἡμῖν, καὶ πρόσταγμα τίθησιν ἔγγραφον τῶν δύο δὴ τὴν κέλευσιν βασιλέων ἐμφαῖνον, καί τινι τοῦτο πιστῷ ἀνδρί (Κυνήγιος ἐκαλεῖτο) δίδωσι, τὴν τῶν εἰδώλων Γάζης μέχρις ἐδάφους κελεῦον καθαίρεσιν.*

14. Ἔξεισιν οὖν ὁ ἀνὴρ πρόθυμος περὶ τὴν κέλευσιν ταῖς εἰσηγήσεσι τῆς βασιλίσσης. καὶ μετ' οὐ πολλὰς ἡμέρας καὶ ἡμεῖς συνταξάμενοι τῇ τοῦ βασιλέως συζύγῳ καὶ πλεῖστα χρήματα παρὰ ταύτης εἰς οἰκοδομὴν τῆς ἣν ἔφησε κτίσειν ἐκκλησίας ἐν Γάζῃ λαβόντες, ἀλλὰ καὶ αὐτῷ πατριάρχῃ || καὶ βασιλεῖ τὴν πρέπουσαν f. 127 *προσκύνησιν ἀπονείμαντες τῆς βασιλευούσης ἀπήραμεν. καὶ προσεγγίσαντες τῇ Ῥόδῳ καὶ τὸν ὁσιώτατον ἐκεῖνον Προκόπιον πόθῳ βουληθέντες ἰδεῖν, ἐπείπερ ὁ τῆς νηὸς ἐξάρχων οὐ συνεχώρει προσπελάσαι ταύτῃ τῷ τὸν ἄνεμον ἐπιτήδειον πνέειν, τῷ θελήματι τούτου δόντες καὶ ἡμεῖς ἑαυτοὺς ἐπλέομεν, ἐπλέομεν δὲ πολλὰ λυπούμενοι περὶ τοῦ ἀνδρός. μεθ' ἡμέρας οὖν δύο πλεόντων ἡμῶν εὐόρμως ἄνεμος αἴφνης γίνεται κατὰ πρόσωπον τῆς νηὸς καὶ συνοχῇ τοῦ ἀέρος βροντῶν τε κτύποι καὶ ἀστραπῶν ἐπιφάνειαι, κυμάτων τε δεινῶν ἐπαναστάσεις φρικώδεις, καὶ ἦμεν ἀπειρηκότες ὥσπερ τὸ ζῆν καὶ τὰς εὐχὰς Προκοπίου τοῦ μεγάλου καλοῦντες. | πᾶσαν οὖν ἐκείνην τὴν νύκτα τῷ κλύδωνι τῆς θαλάσσης ἐνταλαι-* col. 2 *πωρήσαντες, τῷ Πορφυρίῳ μικρὸν πρὸς ὕπνον κατενεχθέντι ὄναρ ὁ Προκόπιος ἐφίσταται ἀρειόφρονα γνωρίζων τὸν ναύκληρον καὶ ὡς αὐτοῦ τῇ ὀρθοδόξῳ πίστει συντιθεμένου παύσεται τὰ τοῦ κλύδωνος. λέγει τὸν ὄνειρον ὁ Πορφύριος, γνωρίζει τῷ ναυκλήρῳ τὸν λόγον, τὴν συνείδησιν ἐκεῖνος ἐλέγχουσαν ἔχων ὁμολογεῖ τὴν αἵρεσιν, ἀρνεῖται ταύτην, καὶ τὰ τοῦ κλύδωνος παύεται. εἶτα καλῶς τὸν*

Rubro: v. 3 *Οὖν*, v. 16 *Ὁ ἀνήρ*, v. 26 *Οὖν*, v. 31 *Πᾶσαν*, v. 35 *Λέγει*

23 *βουληθέντες: βληθέντες?* 29 *κυμάτων δέ*, «f. *κυμάτων τε*». *B. sed hoc ipsum cod. habet.*

ἔκπλουν ποιήσαντες πεφθάκαμεν τὰ τῆς Γάζης παράλια, τὸν τόπον αὐτόν, ὃν Μαϊτᾶν κατωνόμαζον.

15. Ὡς δὲ τὴν πόλιν εἰσήλθομεν καὶ περὶ τὸ Τετράμφοδον λεγό- f. 127v *μενον ἀφικόμεθα, ὅπου δὴ || καὶ μετὰ τοῦ ζωοποιοῦ σταυροῦ τὸ πλῆθος ἡμῖν ἀπήντησε, τὸ ἑστὸς ἐκεῖσε τῆς Ἀφροδίτης εἴδωλον ἐν μετεώρῳ (γυμνὸν δὲ ἦν ἐσχηματισμένον καὶ μηδεμίαν ὑπεμφαῖνον τῶν ἀσχήμων μελῶν περικάλυψιν) πίστει τε μόνον εὐθὺς καὶ εἰς λεπτὰ διαρρήγνυται καὶ δύο τῶν εἰδωλολατρῶν τῷ πεσεῖν ὑπ᾽ αὐτὸ ἑστηκότας ἀπέκτεινεν.*

16. Οὐ πολλαὶ παρῆλθον ἡμέραι, καὶ ὁ παρὰ βασιλέως σταλεὶς παραγίνεται (Κυνήγιος οὗτος ἦν ὁ πιστός, ὃν προλαβὼν ὁ λόγος ἐγνώρισεν), ἑπομένους ἔχων αὐτῷ τόν τε δοῦκα τοῦ τόπου καὶ τὸν ὑπατικόν. ὃς ἐπ᾽ ὄψεσιν αὐτῶν τοῖς τῆς πόλεως τὰ βασιλέως ἀνεγίνωσκε γράμματα καταστραφῆναι τὰ τεμένη τῶν εἰδώλων κελεύοντα col. 2 *καὶ πυρὶ σὺν αὐτοῖς εἰδώλοις παραδοθῆναι. | λέγεται τοῦτο, καὶ στρατιῶται στέλλονται καὶ πάντα ναὸν δαιμόνων καὶ πᾶν εἴδωλον αὐτῶν εὐκόλως ὡς ἂν εἴποις καθεῖλον καὶ τῷ πυρὶ προσανῆψαν, ναὶ δὴ καὶ αὐτὸ πάντως ἐσχάτως τὸ τοῦ Μαρνᾶ, ὃ κατ᾽ ἐξαίρετον ἐτίμων οἱ ἐναγεῖς ἐκεῖνοι καὶ βέβηλοι, μεῖζόν τε τῶν ἄλλων τυγχάνον καὶ σκεύεσι πολυτίμοις, ἀλλὰ δὴ καὶ οἰκοδόμων κάλλεσιν ἐπιφανῶς ἔχον καὶ θαυμαστῶς. ὧν μηδένα χριστιανῶν λαβεῖν τι τὸ σύνολον ὁ Πορφύριος παρηγγύησε. καιομένου τοίνυν καὶ τούτου ξύλον ὑπερχυθὲν καιόμενον ἐμπίπτει τῷ τριβούνῳ καὶ διαρρήσσει μὲν αὐτοῦ τὴν κεφαλὴν καὶ τοῦ πυρὸς αὐτὸν τίθησι παρανάλωμα, καὶ γίνεται δῆλον ὡς τοῖς εἰδωλολάτραις προσέκειτο καὶ ὡς ὁ τῶν ἐκδικήσεων* f. 128 *Θεὸς ἐπαρ||ρησιάσατο. εἶτα τί; καὶ τὰ κατ᾽ οἴκους εἴδωλα (πολλὰ γὰρ ἦσαν εὑρισκόμενα) τῷ πυρὶ μετὰ τῶν μαγικῶν παρεπέμποντο βίβλων. πολλοὶ οὖν τῶν ἀπίστων προσιόντες ἐφ᾽ ἑκάστης ἐβαπτίζοντο τῆς ἡμέρας, τὸν τῆς θεογνωσίας καλῶς διδασκόμενοι λόγον. καὶ οἱ μὲν ἄρχοντες τούτων οὕτω γεγενημένων ἐκεῖθεν ἀπάραντες τὰ οἰκεῖα κατέλαβον.*

17. Ὁ δέ γε θαυμαστὸς Πορφύριος κατὰ τὸν τῆς βασιλίδος λόγον τὸν ναὸν οἰκοδομῆσαι βουλόμενος, ἐφ᾽ ᾧ καὶ τὰ χρήματα παρὰ ταύτης ἔλαβε, διαπορούμενος ἦν, οἵῳ σχήματι τοῦτον οἰκοδομήσει. καὶ ἅμα καταλαμβάνει τις μαγιστριανός, γράμματα ταύτης τῷ ὁσίῳ κομίζων εὐχάς τε ἀπαιτοῦντα ὑπέρ τε ἀνδρὸς αὐτῆς καὶ

Rubro: v. 3 *Ὡς*, v. 10 *Πολλαὶ*, v. 15 *Λέγεται*, v. 32 *Θαυμαστὸς*

2 *Μαϊτᾶν* cod., *Μαϊουμᾶν* B. 7 *περικάλυψιν, πιστεῖτε μόνον) εὐθὺς* B. 18 *πάντως*: «f. *πάντων*». B. ibid. *κατεξαίρετον* cod. 20 *οἰκοδόμων* cod., *οἰκοδομῶν* B. 21 *χριστιανῶν* cod., *Χριστιανὸν* B. 22 *ὑπερχυθὲν* cod., «f. *ὑπεκχυθὲν*» B. 30 *οὕτω* cod., *οὕτως* B.

υἱοῦ τῶν βασιλέων καὶ τὸ σχῆμα δηλοῦντα τοῦ ὀφείλοντος | οἰκοδο- col. 2 μηθῆναι ναοῦ. δοξάσας οὖν κἀν τούτῳ τὸν Θεὸν ἤρξατο τὴν οἰκοδομίαν ἐν αὐτῷ ποιεῖσθαι τῷ τόπῳ, ἔνθα ὁ καυθεὶς ἵστατο ναὸς τοῦ Μαρνᾶ. γίνεται οὖν τότε φθόνῳ δαιμόνων πρᾶγμα δακρύων παρ' ὀλίγον ἄξιον· τρεῖς παῖδες ἐμπίπτουσι τῷ ἐκεῖσε τυγχάνοντι βαθυτάτῳ φρέατι, ἀλλὰ Θεὸς ταῖς εὐχαῖς Πορφυρίου ἀβλαβεῖς αὐτοὺς ἀνασώζει καὶ μηδὲν ὅλως κακὸν ὑπομείναντας. τῷ δὲ ἑξῆς ἐνιαυτῷ κίονας δύο καὶ τριάκοντα στέλλει διά τινος ἡ βασιλὶς τῷ ναῷ περικαλλεῖς καὶ ξένους, ἡδύ τε καὶ χαρίεν ἀποστίλβοντας. καὶ οὕτω τὴν οἰκοδομὴν ὁ ναὸς ἔσχε καλῶς νεύματι θείῳ τοῦ πάντα δυναμένου Θεοῦ ἡμῶν.

18. Κατ' ἐκεῖνο δὲ καιροῦ γυνή τις ἐξ Ἀντιοχείας, Ἰουλιανὴ καλουμένη, τὴν || Γάζαν κατέλαβε, τῇ Μανιχαίων αἱρέσει δεδουλω- f. 128v μένη. ἥτις τοὺς νεωστὶ προσιόντας τῇ ὀρθοδόξῳ πίστει κακοτεχνίαις τιναῖς διέστρεφε καὶ χρημάτων δόσεσιν. ἔστι δὲ πολὺ τὸ διεστραμμένον τῆς τοιαύτης αἱρέσεως· θεοὺς πολλοὺς παρεισάγουσι, τοὺς Ἕλληνας πρὸς ἑαυτοὺς οἱ κακόφρονες ἐφελκόμενοι· γένεσιν καὶ εἱμαρμένην καὶ ἀστρολογίαν διδάσκουσι, τοὺς ἀνθρώπους πρὸς τὸ ἁμαρτάνειν ἀνδραποδίζοντες, ὡς μὴ γνώμης ἐξ οἰκείας φερομένους πρὸς τοῦτο, ἀλλ' ἐξ ἀνάγκης τῆς εἱμαρμένης· ὁμολογοῦσι Χριστόν, ἀλλὰ δοκήσει καὶ φαντασίᾳ τὴν ἐνανθρώπησιν ποιησάμενον, ἄλλων αἱρετικῶν οἰκειούμενοι πίστεις κἀντεῦθεν πολλοὺς ὑποσύροντες. ὅμως τῆς ψυχοφθόρου γυναικὸς | ἐκείνης τινῶν ταῖς col. 2 ἀπάταις καθυπαχθέντων ὁ Πορφύριος τὸ πρᾶγμα γνοὺς οὐκ ἠμέλησε τὴν διόρθωσιν, ἀλλὰ πρὸς διάλεξιν ἢ μᾶλλον εἰπεῖν διόρθωσιν τὴν γυναῖκα μεταπεμψάμενος, ἐπεὶ μετὰ πολλὰς ἐκείνη λόγων προτάσεις καὶ ἀντιθέσεις ἡ αὐτὴ ἦν καὶ οὐκ ἐνεδίδου τῆς πονηρᾶς ἐκείνης γνώμης καὶ βεβήλου θρησκείας, ἐν κακῷ τοὺς λόγους ποιουμένη τὴν ψυχὴν ἀπέρρηξεν. οἱ δέ γε συνόντες αὐτῇ, φοβηθέντες καὶ προσελθόντες τῷ ἐπισκόπῳ καὶ βαπτισθέντες, πρότερον καλῶς τὴν θεογνωσίαν ἐκπαιδευθέντες, τῆς ἀγαθῆς μερίδος γεγόνασι καὶ πιστοὶ διὰ τοῦ βαπτίσματος ἐγνωρίσθησαν, ἀναθέματι τὸν Μάνην ὑποβαλόντες· ἀρχηγὸς δὲ τῆς αἱρέσεως ταύτης ὁ Μάνης οὗτος.

19. Πέμπτος || ἔκτοτε χρόνος ἐξῆκε, καὶ ὁ ναὸς τέλος ἔλαβε καὶ f. 129 τῆς Εὐδοξίας ἤκουσε καὶ τὰ ἐγκαίνια κατ' αὐτὴν εἴληφε τὴν ἡμέραν τοῦ πάσχα. καὶ ὁ Πορφύριος πολὺς ἦν οὐ τότε μόνον ἐν ἐλεημοσύναις, ἀλλὰ καὶ πάντοτε καὶ μάλιστα ταῖς τῶν ἁγίων νηστειῶν ἡμέραις· ὃ καὶ κατὰ διαθήκας ὕστερον διετυπώσατο γίνεσθαι.

Rubro: v. 4 *Τότε*, v. 7 *Ἐξῆς*, v. 12 *Κατ' ἐκεῖνο*, v. 23 *Τῆς*, v. 34 *Ἔκτοτε*
15 τιναῖς *cod.*, τισὶν *B.* ibid. ἔστι: ἔτι *cod.*, *em. B.*

20. Φθόνος ἐντεῦθεν ἀνήφθη τοῖς τὰ Ἑλλήνων φρονοῦσι, καὶ τοὺς πιστοὺς ἐκάκουν, ὀλέσαι δὲ καὶ τὸν μέγαν ἐζήτουν καὶ ἐπεὶ μὴ εὕρισκον (δέδωκε γὰρ τόπον τῇ ὀργῇ), τὰς τοῦ ἐπισκοπείου κατεάξαντες θύρας τὰ ἐν αὐτῷ πάντα διήρπασαν. γίνεται τῷ ἁγίῳ παιδίσκη τις πρόφασις σωτηρίας· ἥπερ ἐντυχών, ἐπείπερ χριστιανὴν *col. 2* μὴ εἶναι παρ' αὐτῆς μεμάθηκε, τὸν λόγον αὐτῇ τῆς ἀ|ληθείας ἐκθέμενος ἐβάπτισέ τε ταύτην καὶ χριστιανὴν ἐποίησε· κἀν τῷ οἴκῳ ταύτης μείναντες μετελάβομεν ἄρτου. Εἰρήνη τῇ κόρῃ τὸ ὄνομα. τοῦ θορύβου τοίνυν κατασταλέντος, ἡμεῖς τὴν ἐκκλησίαν κατελάβομεν καὶ τὸν Βαρουχᾶν εὕρομεν μόνον, ταῖς τῶν πληγῶν ἐπαγωγαῖς θάνατον περιμένοντα. ἔγνω τὰ πεπραγμένα τῇ ἑξῆς ὁ ὑπατικὸς καὶ πέμπει κομενταρήσιον καὶ κολάζει τοὺς τὴν στάσιν ποιήσαντας. μετὰ γοῦν τινα χρόνον ὁ μέγας Πορφύριος τὴν ὑποδεξαμένην αὐτὸν κόρην κατηχήσας μονάζουσαν ἀποκείρει καὶ τοῦ ἀγγελικοῦ σχήματος ἀξιοῖ. καὶ μέντοι δὴ καὶ ταῖς κατὰ Θεὸν ἀρεταῖς ἐκείνη μεγάλη *f. 129v* γίνεται καὶ πολλὰς τῶν γυναικῶν ἐνάγει πρὸς τὸν ὅμοιον || ζῆλον.

21. Σὺ δέ, ἡ τιμία κεφαλὴ καὶ αἰδέσιμος, ὁ καλὸς Πορφύριος, μετά γε χρόνον τῆς ἐπισκοπῆς εἰκοστὸν καὶ τέταρτον νόσῳ θανάτου πάντως αἰτίᾳ ληφθεὶς τὴν ψυχὴν ἐν εἰρήνῃ τῷ Θεῷ παρατίθεσαι ἐν εἰκοστῇ ἕκτῃ τοῦ Φεβρουαρίου μηνός. καὶ νῦν ἐν οὐρανοῖς οἰκῶν καὶ τὰ ἐκεῖσε κάλλη διορῶν καὶ τὰς ὑπὲρ τοῦ κόσμου πρεσβείας ποιούμενος, χάρισαι ταῖς εἰς Θεὸν εὐκτικαῖς ἱκεσίαις σου καὶ βασιλεῖ ἡμῶν τῷ σεμνῷ, τῷ πιστῷ, τῷ πᾶσιν ἐμπρέποντι τοῖς ἀγαθοῖς *col. 2* κατορθώμασι | μακρὰν ζωὴν καὶ χαρμόσυνον, ἰσχύι Θεοῦ συνεχομένην τε καὶ ἰθυνομένην, χρηστῶν ἐκ τρόπων ταύτην ἐκκαλουμένῳ, ἀλλὰ δὴ καὶ μάλιστα μενόντων [ἀγαθῶν] νέμοις τούτῳ τὴν εὐκληρίαν, ἣν αἰῶνες ἔχουσι, καὶ εἰς αἰῶνας λαμπροῖς ἡδυνομένῳ καὶ καλοῖς τρόποις, πᾶσι χαίροντι σὺν ἁγίοις ἀξίως καὶ βασιλείας τρυφῶντι τῆς ἀΰλου· καὶ γὰρ ἐν αὐτοῖς τῷ Θεῷ πρέπει δόξα, κράτος, τιμή τε καὶ προσκύνησις ἅμα καὶ νῦν καὶ ἀεὶ καὶ εἰς χρόνους αἰώνων. ἀμήν.

Rubro: v. 1 Ἐντεῦθεν, v. 9 Τοίνυν, v. 13 Χρόνον, v. 17 κε|Φαλή, v. 24 Μακρὰν, v. 28 Πᾶσι

21 διορῶν *cod.*, διορθῶν *B.* 26 ἀγαθῶν *inserui* ibid. τούτ(ῳ) *cod.*, τούτων *B.*

Μηνὶ τῷ αὐτῷ κζʹ.

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΝΕΣΤΟΡΟΣ ΕΠΙΣΚΟΠΟΥ ΠΕΡΓΗΣ ΤΗΣ ΠΑΜΦΥΛΙΑΣ. *f. 130*

1. Νέστορα τὸν ἱερὸν καὶ γενναῖον τῆς ἀληθείας ἀγωνιστὴν ἡ περιφανὴς ἔσχε πόλις Πέργη τῆς Παμφυλίας πολιοῦχόν τε καὶ διδάσκαλον. Δέκιος τηνικαῦτα τῆς Ῥωμαϊκῆς ἀρχῆς τὰ σκῆπτρα διεῖπεν, ἡνίκα καὶ διωγμὸς εἰς πᾶσαν σχεδὸν ἐκινήθη τὴν οἰκουμένην καὶ πάντες ἠναγκάζοντο θύειν τοῖς μιαρωτάτοις εἰδώλοις. τοῦ τοιούτου γὰρ προστάγματος ἀνὰ πᾶσαν φοιτήσαντος τὴν ὑπὸ Ῥωμαίους ἀρχὴν οἱ τῆς ἀσεβείας ὑπασπισταί, ἄλλος ἄλλον νικᾶν τῇ ἀπηνείᾳ σπουδάζοντες, συλλαμβάνειν ἔσπευδον τοὺς ἁγίους καὶ δειναῖς κολάσεσι καὶ ξέναις παραδιδόναι.

2. Ἐν ταύταις οὖν ταῖς ἡμέραις τῇ Ἀσίᾳ κατὰ | col. 2 *τὴν Ἔφεσον τοῦ Δεκίου προσενδημοῦντος καὶ τὸν ἰὸν τῆς βλασφημίας ἐκχέοντος καὶ αἱμάτων ἀνθρωπίνων, ὡς ἂν εἴποι τις, ἀπογευομένου καὶ ὥσπερ μὴ ἀνεχομένου μόνου τῶν μαρτυρικῶν ἐμφορεῖσθαι σαρκῶν, ἀλλὰ καὶ τοὺς ὑπ᾽ αὐτὸν ταῦτα κατὰ πάντα τόπον πράττειν ὅλῃ προθέσει διανιστῶντος, οἱ ἀσεβεῖς ἐκεῖνοι τί τῶν δεινῶν οὐκ ἐποίουν τὸν ἀσεβῆ θεραπεύοντες, τί τῶν φευκτῶν οὐκ ἔπραττον οἱ σκολιοὶ τῷ σκολιῷ χαριζόμενοι; καὶ γὰρ Αἰπόλιος ὁ τῆς Λυκίας καὶ Παμφυλίας ἡγεμὼν τὰ κατὰ τὸν μέγαν τοῦτον ἐπίσκοπον Πέργης, τὸν καλὸν Νέστορα λέγω, παρὰ τῶν χαιρεκάκων ἀναμαθὼν (διέτρεχε γὰρ ἡ περὶ τούτου φήμη καὶ πάντα διελάμβανε τόπον, ἀνδρὸς ὄντος μεγίστου ||* f. 130v *τὴν ἀρετὴν καὶ πᾶσι τρόποις κεκοσμημένου καλοῖς), στέλλει τινὰς τῶν στρατιωτῶν καὶ Εἰρήναρχον τὸν ἐπ᾽ αὐτοῖς τεταγμένον τοῦ δέσμιον τὸν ἐπίσκοπον ἐν τῇ Σίδῃ (ταύτῃ γὰρ ἐνδιέτριβεν ὁ δυσσεβής) διαχθῆναι τὸ τάχος· οὗ δὴ καὶ πορευομένου τὴν ὁδὸν σεισμὸς γίνεται τῶν πώποτε μνημονευομένων ὁ μέγιστος καὶ φωνὴ τῶν οὐρανῶν ἐξακούεται «Θάρσει, Νέστορ, καὶ ἴσχυε» λέγουσα, «μετὰ σοῦ γάρ εἰμι· καὶ γὰρ καὶ τὸν Αἰπόλιον νικήσεις καὶ ὑπὲρ ἐμοῦ μαρτυρήσεις καὶ ἀγγέλοις μετὰ τὸ τέλος ἔσῃ συνδιαιτώμενος».*

3. Ταύτης οἱ τοῦτον ἀπάγοντες στρατιῶται τῆς φωνῆς ἐπακούσαντες, δέει ληφθέντες καὶ σύντρομοι γεγονότες τῶν δεσμῶν ἀνή-

Rubro: v. 4 *Νέστορα*, v. 9 *Τοιούτου*, v. 13 *Ταῖς*, v. 33 *Ταύτης*

col. 2 καν τὸν ἅγιον καὶ λελυμένον ἀπῆγον· καὶ δὴ τὴν Σίδην κατα|-
λαβόντες τῷ ἡγεμόνι παριστῶσι τοῦτον καὶ πάντα τὰ κατὰ τὴν
ὁδὸν ἀπαγγέλλουσι. καὶ ὃς αὐτίκα βήματος ἀρθέντος αὐτῷ προκα-
θίζεται καὶ «Σὺ εἶ Νέστωρ» λέγει «ὁ τῶν Γαλιλαίων ἔξαρχος, ὁ
τοὺς θεοὺς ἀθετεῖσθαι διδάσκων καί τινα Χριστὸν ὡς Θεὸν προσ-
κυνεῖν;» καὶ ὁ ἅγιος «Εἰ τὰ κατ' ἐμέ σοι δῆλα» φησί «γέγονε, τί
περιττῶς ἐρωτᾷς καὶ μὴ τὸ δοκοῦν σοι ποιεῖς; εἰ δὲ μήπω σοι κατὰ
μέρος ἔγνωσται ἢ μᾶλλον εἰπεῖν καὶ παρ' ἐμοῦ ζητεῖς ταῦτα μαθεῖν,
εἰμὶ μέν, γίνωσκε, χριστιανός, εἰμὶ δὲ καὶ καθηγητὴς αὐτῶν καὶ
διδάσκαλος καὶ τῶν ἐν Πέργῃ ποιμὴν καὶ ἱερουργὸς τῶν Χριστοῦ
μυστηρίων».

4. Τούτων ἀκούσας ὁ ἡγεμὼν «Ἐάσας» ἔφη «τὰς ματαιολογίας
σου ταύτας τοῖς προστάγμασι τοῦ αὐτοκράτορος πείσθητι καὶ
f. 131 θῦσον τοῖς || ἀθανάτοις θεοῖς, οἵτινές σε, συμπαθεῖς ὄντες καὶ ἀνε-
ξίκακοι, καὶ τῶν μενουσῶν κολάσεων ἐξαιρήσονται καὶ ἱερέα τῆς
αὐτῶν μεγαλειότητος καταστήσουσι». καὶ ὁ ἅγιος· «Παίζειν μοι
δοκεῖς, ἡγεμών, τοιαῦτα σαθρὰ προτεινόμενος ῥήματα καὶ κολάσεις
ἐπαπειλῶν, αἵ με μηδὲ τὸ καθόλου φοβοῦσιν. εἰ γὰρ καὶ πυρί μου
καὶ θηρίοις παραδώσεις τὸ σῶμα, εἰ ποικίλαις ἄλλαις ἐξαναλώσεις
κολάσεσι καὶ ξίφεσιν αὐτοῖς κατὰ λεπτὸν διατέμοις, οὐκ ἀρνήσομαι
τὸν Χριστόν μου, μὴ γένοιτο· οὐ θύσω ξοάνοις, οὐ λατρεύσω δαί-
μοσι· μή με ἴδοις, ἥλιε, τοιούτοις ἁλόντα τοῖς ἀτοπήμασι. τίς γὰρ
λογισμοῦ κύριος τὸν οὐρανοῦ δεσπότην καὶ ποιητὴν τῶν ἁπάντων
col. 2 θελήσει καταλιπεῖν καὶ δαίμοσι θυσίαν προσενεγκεῖν»; — | «Καὶ μὴν
τὸν ἐσταυρωμένον συστῆσαι τὸ πᾶν ἐκδιδάσκεις;» εἶπεν ὁ ἄρχων·
«καὶ πῶς τοῦτο λόγον ἔχοι, τὰ πρὸ αἰώνων γεγενημένα παρὰ τοῦ
πρὸ ὀλίγου γεγονότος χρόνου, καθὼς φής, παραχθῆναι;» καὶ ὁ
ἅγιος· «Οὗτος, ἡγεμών, ὃν λέγεις πρὸ χρόνων τινῶν γεγενῆσθαι,
υἱὸς καὶ λόγος ἐστὶ τοῦ Θεοῦ προαιώνιος, συνάναρχος τῷ πατρὶ καὶ
ὁμόθρονος. οὗτος τῶν αἰώνων, οὗτος τοῦ κόσμου παντὸς ποιητὴς
καὶ τῶν ἐν αὐτῷ. οὗτος ἰδὼν ἔκπτωτον αὐτοῦ γενόμενον τῶν
ἀνθρώπων τὸ γένος τῇ τοῦ πλάνου δαίμονος συμβουλῇ, περὶ τὰ
εἴδωλά τε τὴν σπουδὴν ἔχον καὶ δαιμόνων, οἴμοι, γεγενημένον
κατάβρωμα, συμπαθὴς ὢν καὶ φιλάγαθος φύσει καὶ μὴ φέρων
f. 131ᵛ ὁρᾶν ἐπὶ πολὺ τῷ πονηρῷ δουλοῦσθαι τὸν ἄνθρωπον, || Θεὸς ὤν,
ὡς εἴρηται, καὶ δεσπότης καὶ σάρκα φορεῖ δι' ἐμὲ καὶ θανάτου
γεύεται, ἵνα ἀπαλλάξῃ με τῆς τούτου δουλείας. καὶ μέντοι δὴ καὶ
ἀπήλλαξεν· ἀνίσταται γὰρ τριήμερος καὶ συνανιστᾷ κἀμὲ νεκρω-

Rubro: v. 6 *Εἰ*, v. 12 ἀ|*Κούσας*, v. 28 *Ἡγεμών*
20 κατα|λεπτὸν 22 ἀλῶντα 27 φῆς

θέντα τῇ ἁμαρτίᾳ καὶ ἀφθαρτίζει ὁ ἄφθαρτος καὶ τῷ πατρικῷ θρόνῳ συνεδριάζει».

5. *Καὶ μήπω τὴν ὁρμὴν τῶν λόγων τοῦ μάρτυρος συμπεράναντος ὁ δυσσεβὴς δικαστὴς ἐκκόψας «Καταλιπὼν» ἔφη «τοὺς μακροὺς λήρους τούτους, τὸ ἐμὸν γὰρ ἀνεξίκακον εἰς τοσοῦτόν σε μακρηγορίας ἐξενεχθῆναι πεποίηκε, θῦσον, Νέστορ, προσελθὼν τοῖς θεοῖς, βασιλικοῖς ὑπείκων κελεύσμασιν, ἵνα μή σε Ἅιδης χανὼν ὑποδέξηται τῷ σφοδρῷ μόνῳ καὶ καταπληκτικῷ τῶν κολάσεων». καὶ ἅμα δεινὴν | ἐδείκνυ τῷ μάρτυρι καὶ φοβερὰν τὴν ὀφρύν. καὶ ὃς ἀκατάπληκτος* col. 2 *ἵστατο καὶ ὅλος, ὡς ἂν εἴποις, ἀκαταγώνιστος, τῷ ἀτρέπτῳ τοῦ προσώπου καὶ τῷ γενναίῳ τοῦ φρονήματος τὴν τῆς ψυχῆς ἀνδρείαν ὑποδηλῶν.*

6. *Μαίνεται τούτοις ὁ μεστὸς ἀνοίας ἡγεμὼν καὶ τί ποιεῖ; μάστιξι καὶ ὄνυξι καταξαίνει τὸν μάρτυρα, πυρὶ καίει, θηρίοις ἐκδίδωσι καὶ τέλος ἐπὶ ξύλου σταυροῦ κρεμάννυσι καὶ ἥλοις αὐτοῦ τὰς χεῖρας καὶ τοὺς πόδας ἐμπήγνυσι καὶ στρατιώτας ἐφίστησι, μέχρις ἀφήσει τὸ πνεῦμα τοῦτον φυλάττειν ἐγκελευσάμενος. ὁ δὲ καὶ κρεμάμενος ἐνουθέτει τὸν ὄχλον, ἐδίδασκε, παρεκάλει, ποιμὴν ἅτε θρεμμάτων ὢν λογικῶν ὑπετίθει τὸ πρέπον, τὰς ὑπὲρ Χριστοῦ μάστιγας δρόσον ἡγεῖσθαι παρῄνει, προξένους οὔσας ζωῆς ‖ τῆς* f. 132 *ἀκηράτου.*

7. *Τούτοις τοῖς λόγοις οὕτω διδάσκων τὸν ὄχλον, ὦ πανσέβαστε καὶ ἱεράρχα καὶ μάρτυς, τὴν ψυχὴν εἰς χεῖρας παρέθου τοῦ πλάσαντος, τοῦ παντίμου σου σώματος χερσὶ πιστῶν παραδοθέντος ἐντίμως ταφῇ. καὶ νῦν αὐτὸν οὐκ ἐν αἰνίγμασιν οὐδ' ὡς ἐν ἐσόπτρῳ, προσώπῳ δὲ μᾶλλον βλέπων πρὸς πρόσωπον, χάρισαι ταῖς θερμαῖς εἰς αὐτὸν ἱκεσίαις σου βασιλεῖ ἡμῶν, αἰτοῦμέν σε, τῷ θεοστεφεῖ καὶ πάσαις ἐμ|πρέποντι ταῖς μεγίσταις τῶν ἀρετῶν μεγίστην ζωὴν* col. 2 *καὶ ἀπρόσκοπον, ἰσχὺν κατ' ἐναντίων καὶ κράτος, χειρὸς θεϊκῆς ἐν αὐτοῖς δυναστείαν, ἀΰλου δόξης μετά γε τὴν φαιδρὰν θυμηδίαν, ἡλίου λάμψιν τοῦ νοητοῦ καὶ θείου, πάσης θεϊκῆς χάριτος εὐκληρίαν καὶ βασιλείας οὐρανῶν μετουσίαν· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

Rubro: v. 3 *Καὶ*, v. 13 *Μαίνεται*, v. 22 *Τούτοις*, v. 28 *Μεγίστην*, v. 30 *Πάσης*
2 *συνεδριάζει ὁ* 11 *ἀνδρίαν*

Μηνὶ τῷ αὐτῷ κη΄.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΜΑΡΟΥΘΑ ΕΠΙΣΚΟΠΟΥ ΣΟΦΑΝΙΝΩΝ ΤΗΣ ΑΡΜΕΝΙΑΣ ΚΑΙ ΜΝΗΜΗ ΤΩΝ ΕΝ ΜΑΡΤΥΡΟΠΟΛΕΙ ΚΕΙΜΕΝΩΝ ΑΓΙΩΝ ΜΑΡΤΥΡΩΝ.||

f. 132v 1. *Χώρα τις ἔστι κατὰ ἀνατολὰς κειμένη, Ἀρμενίας τε καὶ Περσίδος μεθόριον· Σοφανινῶν καλοῦσιν αὐτήν. ταύτην ἔρημον οὖσαν τοῦ μεγίστου καλοῦ, τῆς ὑγιοῦς φημι καὶ καθαρᾶς τῶν χριστιανῶν πίστεως, οὐ παρεῖδε κύριος μὴ πρὸς ἐπίγνωσιν ἐλθεῖν τῆς αὐτοῦ βασιλείας. ἔνθεν τοι καὶ τρόπους δίδωσιν οἰκονομίας μεγίστης, τὴν μεγάλην αὐτοῦ καὶ ἀξιύμνητον προμήθειαν παριστῶντας. καὶ ὅπως, προσεκτέον ἐπιμελῶς.*

2. *Ἐπὶ τῶν χρόνων Κωνσταντίνου τοῦ πρώτου χριστιανῶν βασιλεύσαντος, ὃν καὶ μέγαν καλῶς ὠνομάκασιν, Ἰάκωβός τις, ἀνὴρ θεῖος καὶ θαυμαστός, ἐπίσκοπος γεγονὼς τῆς Νισσίβης (τόπος δὲ ἡ Νισσίβη μακρῶν ἐκ χρόνων οὕτως ὠνομασμένος),* col. 2 *σπουδὴν | ὁσημέραι πολλὴν ἐποιεῖτο, ποιμὴν ἀληθὴς ὢν καὶ οὐ μισθωτός, ἐπιστρέψαι τὴν χώραν ἐκείνην ἀπὸ τῆς ἀσεβείας εἰς εὐσέβειαν καὶ ἐκ τῆς τῶν δαιμόνων πλάνης εἰς τὴν ἐπίγνωσιν τοῦ Χριστοῦ. τῷ τοι καὶ εὐχαῖς ὅτι πλείσταις ἐκέχρητο, θερμότατα δεόμενος τοῦ Θεοῦ συναντιλαβέσθαι τοῦ οἰκείου πλάσματος καὶ πρὸς τὸ φῶς ὁδηγῆσαι τοῦτο τῆς χάριτος. καὶ μέντοι δὴ καὶ εἰσήκουστο καὶ οὐδαμῶς τῶν ἐλπίδων διήμαρτεν. ἀλλὰ σκόπει μοι τῶν τοῦ Θεοῦ κριμάτων τὰ βάθη καὶ τῆς ἀπείρου σοφίας αὐτοῦ τὸ εὐμήχανον.*

3. *Ὁ τῆς Σοφανινῆς χώρας τοπάρχης κατὰ τὸ Ῥαόνων κλίμα γενόμενος, τινὸς αὐτῷ χρείας παρεμπεσούσης (Ἀρμενίων τοῦτο* f. 133 *τυγχάνει τὸ κλίμα), τὴν τοῦ τοπάρχου || Ῥαόνων θυγατέρα (Βασιστὰ τῇ κόρῃ τὸ ὄνομα, ἥτις καὶ Μαριάμμη διωνύμως ὠνόμαστο) λίχνοις ὀφθαλμοῖς κατιδών, ὡραίαν μὲν οὖσαν τῷ εἴδει, ὡραίαν δὲ μᾶλλον καὶ τῇ ψυχῇ (χριστιανὴ γὰρ καὶ χριστιανῶν ἡ νεᾶνις), — οἷά σου, Χριστέ μου, τὰ κρίματα — πρὸς γάμον αἰτεῖ. τέτρωτο γὰρ τῷ ταύτης ὁ τοπάρχης ἔρωτι καὶ πάντα λίθον ἐκίνει μὴ τοῦ γάμου*

Rubro: v. 6 *Χώρα*, v. 13 *Ἐπὶ*, v. 26 *Σοφανινῆς*

6 *Χώρα τίς ἐστι* 20 *τῷ τοι* 26 *et* 28 *κλῆμα* 31 *νεᾶνις*

τὸ παράπαν ἀποτυχεῖν· τοιοῦτος γὰρ ὁ πόθος καὶ τοσοῦτος ἐνέσταξε τῇ τούτου ψυχῇ.

4. Ταύτης οὖν οἱ γεννήτορες τὰ μὲν ἄλλα τὸν ἄνδρα καὶ ἀσπαζόμενοι καὶ ἀποδεχόμενοι, καὶ νέον ὄντα καὶ πλούσιον καὶ κάλλει διαπρεπῆ, τὴν αὐτοῦ δὲ θρησκείαν μὴ ἀγαπῶντες, ἀλλὰ μυσαττόμενοι καὶ τὸ Σοφανινῶν ἔθνος εἰς ἅπαν ἀπεχθανόμενοι, | μὴ τὴν col. 2 Χριστοῦ κατονομάζοντας πίστιν, ἀλλ' ἀπάτῃ δαιμόνων ὅλως προσκειμένους καὶ πλάνῃ, τὸ κῆδος ἀνένευον.

Τούτου γοῦν ἐγκειμένου καὶ τὸν γάμον ἀπαιτοῦντος θερμῶς καὶ μὴν καὶ πρὸς στάσιν ἐλθεῖν ἀποτυγχάνοντος καὶ πολέμους ἐπαπειλοῦντος, οἱ τὴν κόρην τεκόντες τὸν Νισίβης πρόεδρον — Ἰάκωβος οὗτος ἦν ὁ κλεινός, οὗ πρόσθεν ὁ λόγος ἐμνήσθη, — τὸν μέρεσιν ἐκείνοις ἐνδιατρίβοντα σύμβουλον ποιοῦνται τοῦ πράγματος καὶ τούτῳ τὴν ὅλην ὑπόθεσιν ἀνατίθενται. τοῦ δὲ σχολῇ καὶ διασκέψει δόντος τὸ βουλευόμενον, εἶτα καὶ προφητικώτατα προειπόντος τὴν ἐντεῦθεν γενησομένην ἐκ τῆς πλάνης ἐπιστροφὴν τοῦ Σοφανινῶν λαοῦ καὶ πρὸς τὴν ὀρθό||δοξον πίστιν μετάθεσιν, καὶ ὡς οὐκ ἄνευ f. 133v θείας τοῦτο γίνοιτο προμηθείας, τοῖς λόγοις οὗτοι τοῦ ἱεροῦ τούτου ποιμένος εἴξαντες, ἁρμόζουσι τὴν Μαριάμμην τῷ τοπάρχῃ τῆς Σοφανινῆς καὶ πάντα τὰ συνήθη τελέσαντες παραδιδοῦσι ταύτην αὐτῷ.

5. Τῆς δὲ τῶν τῆς τεσσαρακοστῆς ἡμερῶν ἄρτι λαμβανουσῶν τὴν ἀρχήν, ἐν αἷς οἱ χριστιανοὶ νηστεύειν τε καὶ ἁγνεύειν οἴδασι, μὴ συνελθεῖν ἐκείνῳ πρὸς εὐνὴν ὅλως ἀνεχομένης, ἀλλ' ἁγνείας καὶ νηστείας ὅλῃ προθέσει ψυχῆς ἀντιποιουμένης καὶ ἡμέραν ἐξ ἡμέρας σοφῶς τὴν συνέλευσιν ὑπερτιθεμένης, ἐκεῖνος, οἷα δουλεύων ἔρωτι καὶ σαρκί, προσέρχεται ταύτῃ. καὶ τί γίνεται; φρίκης μεστὴν ὀπτασίαν ὁρᾷ (παρουσία δὲ πάντως ἀγγέλου τὰ τῆς ὁ|ράσεως ἦν) col. 2 καὶ φωνῆς ἀκούει μὴ ἅπτεσθαι ταύτης λεγούσης. ὅθεν πεισθεὶς ἢ μᾶλλον εἰπεῖν φοβηθείς, ἀλλὰ καὶ διδαχθεὶς ὑπὸ τῆς γυναικὸς τὸ μυστήριον, μεγάλην εἶναι τὴν εἰς Χριστὸν πίστιν ἀνωμολόγησε καὶ μὴν καὶ τῶν τῆς νηστείας ἡμερῶν δεξαμένων ἤδη τὸ πέρας, κατ' αὐτὴν τὴν κυρίαν ἡμέραν τοῦ Πάσχα φημί, τὸ μακάριον ὄντως δέχεται βάπτισμα καὶ εἷς καὶ οὗτος γίνεται τῆς ποίμνης τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ πάντα συμφερόντως ἐν σοφίᾳ ποιοῦντος. ἀλλὰ δὴ καὶ πάντας τοὺς ὑπ' αὐτὸν τούτῳ τελειοῖ τῷ ἁγίῳ φωτίσματι, καὶ δέχεται τέλος ἡ τοῦ γέροντος πρόρρησις.

Rubro: v. 3 *Ταύτης*, v. 9 *Γοῦν*, v. 22 *Τεσσαρακοστῆς*
11 *Νισίβης, non Νισσίβης, ut antea; σ in rasura* 19—20 *Σοφανίνης*

6. Εἶτα, ἵνα τὰ ἐν μέσῳ παρῶ, τίκτονται τῇ καλῇ ταύτῃ f. 134 δυάδι καὶ τέκνα δύο, θῆλυ μὲν τὸ πρωτότοκον, ἣν καὶ || Τοῦβαν ἐκάλεσαν, ἄρρεν δὲ τὸ μετ' αὐτὴν ὁ καλὸς ἦν οὗτος Μαρουθᾶς ὁ θαυματουργὸς καὶ ἅγιος καὶ θεραπευτὴς τοῦ Θεοῦ γνησιώτατος. ὃς καλῶς αὐξηθείς τε καὶ παιδευθεὶς καὶ πᾶσαν ὁδὸν διελθὼν ἀρετῆς καὶ τοῦ τῆς ἐπισκοπῆς τετύχηκεν ἀξιώματος καὶ περιβόητος ἐντεῦθεν γίνεται ταῖς τῶν θαυμάτων ἐργασίαις καὶ φοβερός, αἰδοῦς τε πάσης καὶ τιμῆς ἄξιος οὐ τοῖς ἐγγύς, ἀλλὰ δὴ καὶ τοῖς πόρρω. πρῶτα μὲν γὰρ τὴν Σοφανινῶν χώραν διδάσκει, παιδεύει, βαπτίζει, τῆς πλάνης ἐλευθεροῖ καὶ προσάγει Θεῷ διὰ τοῦ βαπτίσματος, εἶτα καὶ τῆς Περσίδος πλήθη πολλὰ προσάγει Χριστῷ διὰ τοῦ πλήθους τῶν παραδόξων θαυμάτων. καὶ ὅπως, ὁ λόγος δηλώσει.

col. 2 7. Θεοδόσιος ὁ μέγας λεγόμενος, ὁ ἐξ Ἱσπανίας ἕλκων | τὸ γένος, πιστὸς βασιλεὺς Ῥωμαίων τυγχάνων καὶ καλῶς τὴν βασιλείαν ἰθύνων, τὸν ἀρχιερέα Χριστοῦ, τὸν θαυματουργόν φημι Μαρουθᾶν, πρὸς Πειροζγέρδην τὸν Περσῶν βασιλέα πρέσβυν ἐξαποστέλλει, τοὺς θυμοὺς αὐτῷ πραΰνοῦντα, τὴν εἰρήνην τε ἀνακαλεσόμενον καὶ συνθήκας θήσοντα τῆς εἰς ἀλλήλους ἀγάπης. διηνέχθησαν γὰρ καὶ πρός τινας ἐξηνέχθησαν μάχας. τοῦτον οὖν ὁ Πειροζγέρδης δεξάμενος ἡμέρως πάνυ καὶ λίαν τιμητικῶς, τοῦ Θεοῦ πάντως οὕτω τὴν αὐτοῦ πρὸς αὐτὸν διαθεμένου ψυχήν, καταστέλλει τε τοὺς θυμοὺς αὐτίκα καὶ βαθεῖαν πρὸς Θεοδόσιον τὴν εἰρήνην ἀσπάζεται, λόγοις καὶ ὅρκοις καὶ γράμμασιν αὐτὴν πιστωσάμενος.

Ἦν οὖν ὁ Μαρουθᾶς ἐξ ἐκείνου μεγάλα πρὸς τοῦ βασιλέως τι- f. 134v μώμενος τῶν Περσῶν· καὶ γὰρ πλεῖστα θαύματα || κατὰ τὴν Περσίδα τελέσας ἠγαπᾶτο παρὰ πᾶσι καὶ πατὴρ ὥσπερ αὐτοῖς καὶ κηδεμὼν ἐγνωρίζετο. καὶ αὐτὴν δὲ τὴν τοῦ Πειροζγέρδου θυγατέρα δαιμονίᾳ πληγεῖσαν μάστιγι ταύτης ἀπήλλαξε καὶ θυμηδίας ὅσης ἐκεῖνον ἐνέπλησεν, ἴστε πάντες ὅσοι παίδων πατέρες γεγόνατε.

8. Τί τὸ μετὰ ταῦτα; τοῦ βασιλέως Περσῶν ἀμοιβαῖς αὐτὸν ταῖς προσηκούσαις θεραπεύσειν ἐθέλοντος, δώροις πάντως ἄλλοις καὶ χρήμασιν, ἐκεῖνος μίαν χάριν ταύτην αἰτεῖ, τὸ πάντων τῶν ἐν Περσίδι μαρτυρησάντων ὑπὲρ Χριστοῦ τὰ λείψανα τούτῳ χαρίσασθαι, ὡς ἂν εἰκότως αὐτὰ τιμήσειε καὶ τῆς πρεπούσης ἀξιώσειε καταθέσεως. λαμβάνει ταῦτα, μηδὲν ἐνδοιάσαντος εἰς τοῦτο τοῦ col. 2 βασιλέως· κτίζει | πόλιν καὶ ναὸν ἐν αὐτῇ· κατατίθεται ταῦτα σεμνῶς ἐν τούτῳ καὶ φιλοτίμως καὶ Μαρτυρόπολιν τὴν πόλιν ἐπονομάζει.

Rubro: v. 1 Τά, v. 9 Πρῶτα, v. 13 Θεοδόσιος, v. 19 Τοῦτον, v. 24 Ἦν, v. 30 Ταῦτα

9. Ἀλλ' ὁ τοῖς καλοῖς εἰωθὼς βασκαίνειν ἀεὶ διάβολος, διαφθονησάμενος αὐτῷ τοῦ τοσούτου καλοῦ, τοὺς οἰκείους ὑπασπιστὰς διεγείρει· μάγους αὐτοὺς οἱ Πέρσαι καλοῦσι. καὶ τί ποιοῦσιν; ὑπὸ γῆν κρύπτουσιν ἄνθρωπον ἐν ᾧ βασιλεὺς ἔμελλεν εἰσιέναι ναῷ τὸ Περσικὸν ἀπονεῖμαι σέβας τῷ παρ' αὐτῶν τιμωμένῳ πυρί· καὶ γὰρ εἴχετο καὶ ἔτι τῆς πατροπαραδότου θρησκείας. τῷ διαβαίνειν οὖν τὸν βασιλέα κάτωθεν ὁ μάγος ἀφῆκε φωνήν, παράδοξόν τι δῆθεν ἐνεργῶν, ὡς ἐκ θεοῦ ἡ φωνὴ καὶ ὀργιζομένου τῷ βασιλεῖ· «Οὐ δέχομαι» γάρ «σε» φησὶ «Μαρουθᾷ προστεθέντα, τῷ τῶν Γαλιλαίων ἐξάρχῳ».

10. Τὸ τεχνασθὲν οὖν μηδαμῶς || ὁ ἐπίσκοπος ἀγνοήσας τῇ τοῦ f. 135 ἀγαθοῦ πνεύματος χάριτι τάχος κατειλήφει τὸν βασιλέα, ἔκπληκτον ὡσανεὶ τῇ ἀπάτῃ γενόμενον, καὶ πρὸς αὐτὸν «Τί σοι δοκεῖ, βασιλεῦ», ἔφη, «τοὺς εἰς βασιλεῖς ἐξυβρίζοντας πάσχειν ἢ μᾶλλον εἰπεῖν εἰς θεὸν κατὰ τὸν ὑμέτερον νόμον;» τοῦ δὲ τοὺς μάγους ἐρωτήσαντος περὶ τούτου καὶ οἵαις εὐθύναις τοὺς τοιαῦτα τολμῶντας ὑποβάλλεσθαι χρή, «Παγγενῆ τὸν ὄλεθρον» εἶπον ἐκεῖνοι «τοὺς τοῦτο δρῶντας ὑπομένειν δεῖ». τότε τοίνυν ὁ μέγας καὶ σοφὸς Μαρουθᾶς ἀνορύττεσθαι κελεύει τὸν τόπον, καὶ τούτου τάχος τῇ νεύσει καὶ τοῦ βασιλέως πραχθέντος, εὑρίσκουσι τὸν μάγον ἐκεῖσέ που καθήμενον. ὃν δὴ καὶ ἐξαγαγόντες καὶ διερευνησάμενοι, ᾧτινι τρόπῳ τὸ τοιοῦτον αὐτῷ μεμηχάνηται δρᾶμα | καὶ παρὰ τίνος ἄρα τοῦτο προ- col. 2 τραπείη ποιῆσαι, τοὺς μάγους ἐκεῖνος ὑποθέσθαι τοῦτο τὸ σκαιώρημα διεξῄει. οὓς αὐτίκα κελεύει βασιλεὺς ξίφει παγγενεὶ τὰς κεφαλὰς ἐκτμηθῆναι.

11. Καὶ ὅρα μοι τοῦ δικαίου Μαρουθᾶ τὸ συμπαθὲς καὶ τὸ μέτριον· δέεται τοῦ βασιλέως θερμῶς ἀφεθῆναι τοῖς μάγοις τὸ παράλογον τοῦ τολμήματος καὶ τὴν κατ' αὐτῶν ἐξενεχθεῖσαν συγχωρηθῆναι τελευταίαν πληγήν. ἀλλ' ἐπεὶ μὴ πειθόμενον εἶχε, μετατίθεται ταῖς πολλαῖς αὐτοῦ δεήσεσιν εἰς αὐτοὺς μόνους τοὺς τὴν συσκευὴν ἐργασαμένους ἡ ψῆφος. καὶ μέντοι δὴ καὶ γίνεται τοῦτο.

12. Σὺ δέ, ὁ τὰ πάντα καλὸς Μαρουθᾶς, πλείστοις ἐνδιαπρέψας χρόνοις τῷ τόπῳ καὶ μέγας σημειοφόρος ἀναφανεὶς καὶ ποθεινὸς || f. 135v τοῖς πᾶσι καὶ ἀξιάγαστος, ἐν γήρᾳ βαθεῖ καταλύεις τὸν βίον, καὶ παρὰ τῇ σορῷ τῶν ὑπὸ σοῦ κατατεθέντων μαρτύρων καὶ τὸ σὸν ἐντίμως κατατίθεται σῶμα, νόσων ἴαμα καὶ δαιμόνων φυγή. καὶ νῦν σὺν αὐτοῖς τοὺς οὐρανοὺς κατοικῶν πρέσβυς γένοιο καὶ βασι-

Rubro: v. 1 Ἀλλ', v. 11 Τεχνασθέν, v. 26 Ὅρα, v. 33 Ὁ

23 τοῦτο: τούτω cod. 24 διεξήιει ibid. παγγενῆ 38 πρέσβης

λέως ἡμῶν ὑπὲρ τοῦ ὀρθοδόξου καὶ πᾶσι διαπρέποντος ἔργοις col. 2 καλοῖς, μῆκος αὐτῷ παρὰ Θεοῦ δωρηθῆναι ζωῆς, ἰσχὺν κατὰ | τῶν ἀντιπάλων καὶ κράτος, χώρας αὐτῶν καὶ ἔθνους τὴν ἐξολόθρευσιν, Ἀγαρηνῶν στίφους παντελῆ τὴν ἀπάλειψιν, ἡλιακῆς ἀκτῖνος θείας τὴν ἔλλαμψιν, λειμώνων ἀκηράτων τὴν ἡδίστην ἀπόλαυσιν, πάντων τῶν ἐν οὐρανοῖς καλῶν τὴν μέθεξιν καὶ βασιλείας Θεοῦ τὴν μετάληψιν· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

f. 136 Μηνὶ Μαρτίῳ α΄.

ΒΙΟΣ ΚΑΙ ΜΑΡΤΥΡΙΟΝ ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ ΕΥΔΟΚΙΑΣ.

1. Τὰ κατὰ τὴν μεγάλην ταύτην καὶ θαυμαστὴν Εὐδοκίαν, τὴν εὐδοκίᾳ Θεοῦ κάλλιστον ἡμῖν μετανοίας ἀναδειχθεῖσαν ἀρχέτυπον, εἰς διήγησιν προτιθέμενα κατηφείας μὲν τὰς φιλαρέτους πρότερον ἐμπλήσει ψυχάς, εἶτα δὲ μικρὸν προϊόντα καὶ θυμηδίας πληρώσει καὶ τῆς πρὸς ἡμᾶς τοῦ Θεοῦ συμπαθείας παραστήσει τὸ μέγεθος· ἀρκτέον δὲ οὕτω τοῦ διηγήματος.

col. 2 2. Ἡ καλλίστη τῶν γυναικῶν | αὕτη, τὸ γένος ἐκ Σαμαρειτῶν κατὰ τὴν ἱστορίαν ἕλκουσα, τὴν Ἡλιούπολιν εἶχεν οἴκησίν τε καὶ δίαιταν, κάλλει μὲν οὖσα σώματος λαμπρά, ψυχῆς δὲ τῷ δυσειδεῖ καὶ λίαν οἰκτρά· προύκειτο καὶ γὰρ ὑπέκκαυμα, φεῦ, πρὸς μίξεις ἀπρεπεῖς τῷ βουλομένῳ παντὶ καὶ ὅλως ὡς εἰπεῖν ἐργαστήριον ἦν παθῶν παντοίων γεννώντων θάνατον. ἀλλὰ μὴ πτοηθῇς, ἀγαπητέ· τοσοῦτον γὰρ ἐφ᾽ ὕψος ἀρετῶν ὕστερον ἀναβέβηκεν, ὡς καὶ f. 136ᵛ τῆς || ὑπὲρ Χριστοῦ μαρτυρίας, ἵνα τὰ ἐν μέσῳ παρῶ, τὸν στέφανον αὐτὴν ἀναδήσασθαι. καὶ προσεκτέον, ὅπως.

3. Μοναχός τις ὄνομα Γερμανός, τῇ πόλει ταύτῃ παραβαλών, παρά τινι χριστιανῷ ποιεῖται τὴν καταγωγήν, συνήθει τούτῳ καὶ φίλῳ τυγχάνοντι. Τραιανὸς ἐβασίλευε τηνικαῦτα. τούτου δὴ τοῦ μοναχοῦ βιβλίοις ἐγκύψαντός ποτε καὶ περὶ κρίσεως φιλοπόνως

Rubro: v. 2 Μῆκος, v. 5 Πάντων, v. 12 Τὰ, v. 18 Ἡ, v. 27 ὃ|Νομα
30 ἐγκύψαντος ποτὲ

ἀναγινώσκοντος, ἐν γειτόνων ἦν Εὐδοκία τυγχάνουσα· νουνεχῶς ἠκροᾶτο καὶ τοὺς λόγους αὐτοὺς εἰς καρδίαν ἔβαλλε. μιᾷ γοῦν τῶν ἡμερῶν φωτὸς θείου τῆς αὐτῆς ἀψαμένου ψυχῆς, τὸν Γερμανὸν μεταπέμπεται καὶ ὅστις εἴη καὶ ὅθεν διερωτᾷ· μνημονεύει δὲ καὶ τῶν ἀνεγνωσμένων αὐτῷ, ὅτι «Πῶς» φησὶν «οἱ ἁμαρτά|νοντες τῷ *col. 2* πυρὶ παραπέμπονται καὶ πῶς τις ἁμαρτήσας δύναται σωθῆναι; οὐδὲ γάρ ποτε τοιούτων λόγων ἠκροασάμην». καὶ ὁ μοναχὸς «Καὶ πόθεν ἄρα καὶ ὥρμησαι καὶ τί σοι βούλεται τὰ τοῦ βίου» ἤρετο, «μὴ τὸν περὶ κρίσεως λόγον ἐνωτισαμένῃ ποτέ;» κἀκείνη «Σαμαρειτῶν ἀπὸ γένους» ἔφη «κατάγομαι καὶ πλοῦτον ὅτι πολὺν περιβέβλημαι, συνηγμένον μοι φαυλότητι τρόπων· καὶ τί γένηται καὶ πρὸς τί χωρήσει, μὴ ἐξελέσθαι με δυνάμενος τῶν κολάσεων, ἀλλ' αἴτιος μᾶλλον αὐτῶν, ὡς δή σου τῇ χθὲς ἀναγινώσκοντος ἤκουσα, καθιστάμενος». καὶ ὁ μοναχὸς «Ἵνα μή σοι» φησὶ «μηκύνω τὸν λόγον, ἐπείπερ ὁρῶ σε γλιχομένην μαθεῖν, πλούτου καὶ τῆς τούτου κακίας ἄνευ σώζεσθαι βούλει, ἢ || σὺν αὐτῷ καὶ τῶν ἐντεῦθεν *f. 137* ἡδέων ἀπόλλυσθαι;» κἀκείνη «Τὸ σωθῆναι πάντως» εἶπεν «ἐκτὸς αὐτῶν αἱρετόν, ἢ τὸ μετά γε τούτων τιμωρίαις ἔκδοτον γεγενῆσθαι· τοῦτο ζητῶ, τοῦτο ποθῶ, διὰ τοῦτο τούσδε τοὺς λόγους ἀνακινῶ· καὶ μή μοι, πάτερ, φθονήσῃς τοῦ τοσούτου καλοῦ, ἀλλά με δίδαξον, τί τὸ θέλημα τοῦ Θεοῦ καὶ πῶς με σωθῆναι δυνατόν;»

4. Διψῶσαν οὖν ὁ μοναχὸς θείων λόγων τὴν Εὐδοκίαν ἰδὼν ἄνωθεν αὐτὴν διδάσκειν ἤρξατο τὰ περὶ σωτηρίας ψυχῆς καὶ τέλος «Εἴ γε» φησὶ «τὸν κακῶς σοι συναθροισθέντα πλοῦτον πένησι διανείμῃς καὶ προσέλθῃς Χριστῷ διὰ τοῦ βαπτίσματος καὶ φυλάξεις μηκέτι τοῖς προτέροις ἐπανελθεῖν, τύχῃς πάντως τῆς σωτηρίας· ἐν οὐδενὶ γὰρ τοσοῦτον ὡς ἐλέῳ Θεὸς | θεραπεύεται». — «Καὶ πῶς μοι *col. 2* κατὰ σκοπὸν» εἶπεν ἡ Εὐδοκία «ταῦτα γένηται, δίδαξον, πάτερ». καὶ ὃς «Εἶπον» ἔφη, «τέκνον, καὶ πάλιν ἐρῶ· τοῖς δεομένοις διανείμῃς σου τὰ ὑπάρχοντα, τύχῃς τοῦ θείου βαπτίσματος, καὶ τῆς μερίδος, εὔελπίς εἰμι, τεύξῃ τῶν σωζομένων· πλὴν ἄρξαι τοὺς τῆς μετανοίας θεμελίους τιθέναι· νηστείαν ἄσκησον, ἀγρυπνίαν καὶ προσευχὴν τέλεσον, δάκρυα στάλαξον, τὰ τῆς μετανοίας μηνύματα, καὶ ὄψει τὴν δόξαν τοῦ Θεοῦ». γίνεται ταῦτα, καὶ ὅλην ἑβδομάδα κλείει ἑαυτὴν ἡ Εὐδοκία καὶ ἡσυχίαν ἄγει καὶ κατὰ μόνας ἐντυγχάνει Θεῷ, ταῖς τοῦ μοναχοῦ παραινέσεσιν. ἀφικνεῖται κατὰ τὴν

Rubro: v. 2 *Γοῦν*, v. 7 *Καὶ πόθεν*, v. 9 *Σαμαρειτῶν*, v. 14 *μο|Ναχός*, v. 22 *μο|Ναχός*, v. 28 *Κατά*, v. 34 *Καὶ ὅλην*, v. 36 *Κατά*

6 πῶς τίς 16—17 σὺν — ἀπόλλυσθαι. *sic cod.* 26 μήκέτι 31 εὔελπις εἰμὶ

f. 137v ἑβδόμην ὁ μοναχὸς πρὸς αὐτὴν καὶ συντετριμμένην ὁρᾷ || ψυχὴν ἐν αὐτῇ καὶ παρακαλεῖ καὶ πατὴρ ὥσπερ ὑποτίθησι τὰς εἰς σωτηρίαν ὁδούς· εἶτα καὶ συνταξάμενος αὐτῇ τῆς προκειμένης ἅπτεται, τὴν ἐπανέλευσιν ὑποσχόμενος αὐτῇ μετ' ὀλίγον. ἦν οὖν ἰδεῖν αὐτὴν ἀσκήσεως τότε σύμβολα προδεικνῦσαν θερμῶς· βραχυτάτου γὰρ ἄρτου μετεῖχεν ἑκάστης καὶ ὕδατος καὶ σπανίως ἐλαίου.

5. Ἡμέραι παρῆλθον οὐχὶ συχναί, καὶ τῷ τῆς πόλεως ἐπισκόπῳ προσιοῦσα τὸ τῆς ἀφθαρσίας δέχεται βάπτισμα, τοῦ μεγάλου τούτου καλοῦ, καὶ τῶν μυστηρίων ἐν μεθέξει γίνεται· εἶτα καὶ δέησιν ἐπιδίδωσι τῷ ἀρχιερεῖ, τὴν ὕπαρξιν αὐτῆς ἅπασαν δι' αὐτοῦ τοῖς πένησιν αἰτουμένη δοθῆναι. καὶ ὃς αὐτίκα ταύτην παραστησάμενος col. 2 καὶ τῷ πνεύματι γνούς, οἷον | δὴ καὶ σκεῦος ἐκλογῆς ἡ Εὐδοκία Θεῷ μέλλοι γενέσθαι, εὔχεσθαι ταύτην μᾶλλον αὐτὸς ὑπὲρ αὐτοῦ παρεκάλει, πολλοῖς αὐτὴν στέψας ἐγκωμίων ἐπαίνοις. εἶτα καὶ τὸν τῆς ἐκκλησίας οἰκονόμον μεταστειλάμενος, ἄνδρα θεοσεβῆ καὶ τὰ πάντα χρηστόν, πρεσβύτερον καὶ παρθένον, «Τὴν οἰκονομίαν» φησὶ πρὸς αὐτὸν «ποίησον καὶ τὴν πρόνοιαν ταύτης», ὑποδείξας αὐτήν, «καὶ πάντα Θεῷ, ὅσα δή σοι καὶ παράσχῃ, προσάγαγε σὺν αὐτῇ».

6. Πορευθεὶς οὖν ἐκεῖνος καὶ πάντα παραλαβών, ὅσα τε ἐν ἀργύρῳ καὶ χρυσῷ καὶ ὅσα ἐν λίθοις αὐτοῖς καὶ μαργάροις καὶ λοιπὰ ἄλλα, τῶν ἀνδραπόδων πρότερον ἐλευθερίαις τετιμημένων, τοῖς πένησι καλῶς διενείματο.

f. 138 7. Χρόνος οὐκ ὀλίγος παρῆλθε, καὶ ὁ θεῖος Γερμανὸς || παραγίνεται καὶ πάντα μαθὼν τὰ κατὰ τὴν Εὐδοκίαν, ὅτι τε βεβάπτιστο καὶ ὅτι τοῖς ἐνδεέσι τὰ αὐτῆς ἅπαντα καλῶς διεσκόρπισε, τῆς ἀγαθῆς ταύτην ἀποδεξάμενος γνώμης, μεθ' ἑαυτοῦ μόνην λαβὼν ἀνεχώρησε καὶ τῷ ὑπ' αὐτὸν παρθενῶνι (μέγας γὰρ ἦν τὴν ἀρετὴν ὁ ἀνήρ) ἐγκατέλεξε, κειράμενος αὐτὴν καὶ τὸ μακάριον ἐπενδυσάμενος σχῆμα. ἔνθα δὴ καὶ καλῶς διαπρέπουσα καὶ τὸ ψαλτήριον ἔμαθε καὶ τὰς ἁγίας ἐξεπαιδεύθη γραφὰς τῇ τοῦ ἀγαθοῦ πνεύματος εὐδοκίᾳ. ἀλλ' ὅρα μοι τοῦ πονηροῦ τὰς ἐνέδρας· τῶν συνήθων τις ἐραστῶν, ὃς Φιλόστρατος ὠνομάζετο, τὸν σατανᾶν ὑπενδύς, μοναχὸς εἶναι προσποιεῖται καὶ πρὸς ταύτην ἔρχεται καὶ ἐπεὶ τὴν θυρωρὸν εὕροι καὶ ἄβατον ἀνδράσι μάθοι δι' αὐτῆς τὸ col. 2 μονα|στήριον κεῖσθαι, τὸν θαυμαστὸν Γερμανὸν δόλῳ καταλαμβάνει καὶ συνδιάγειν αὐτῷ παρακαλεῖ διὰ ψυχῆς ἐπιμέλειαν. τούτου δὲ γνώμης ἐξ ἀπλάστου καὶ καθαρᾶς ἀπὸ συνειδήσεως δεξαμένου

Rubro: v. 7 Ἡμέραι, v. 19 Οὖν, v. 23 Χρόνος, v. 32 συ|Νήθων, v. 36 Τούτου

13 μέλοι 19 ὅσα τέ 24 ὅτι τέ 28 ἐγκατέλεξε 32 συνήθων τίς

τὸν ἐναγῆ, τὴν Εὐδοκίαν ἐκεῖνος μετά τινας ἡμέρας ἰδεῖν ἐξαιτεῖ τῆς ἀρετῆς ἕνεκα καὶ τῆς παραδόξου τοῦ βίου μεταβολῆς. καὶ ὃς πρὸς ἀλήθειαν αὐτὸν λέγειν ὑπολαβὼν (ποῦ γὰρ καὶ εἶχε τὸ πανοῦργον αὐτοῦ λαβεῖν κατὰ νοῦν ψυχὴ τῇ ἀκακίᾳ συζῶσα;), τὸν συνήθη καλέσας ἀδελφόν, ὃς καὶ τὴν θείαν ταῖς παρθένοις ἐπετέλει λατρείαν, «Ἀπάγαγε» φησὶ «τὸν ἀδελφὸν πρὸς τὴν τοῦ Θεοῦ δούλην Εὐδοκίαν· ἱστορῆσαι γὰρ ἐθέλει τὸν τῆς εὐχῆς αὐτῆς τρόπον». γίνεται || τοῦτο, κἀκεῖνος—ὡς πονηρά σου, διάβολε, τὰ τεχνάσματα— f. 138v λόγους ὑποσπείρειν ἤρξατο κακίας καὶ βδελυρότητος, ἀναμιμνήσκων πράξεις ἀπρεπεῖς καὶ τὸ τοῦ προτέρου βίου λεῖον καὶ ὁμαλόν, πρὸς δὲ καὶ τὸ ἄπονον καὶ λαμπρόν, καὶ «Εἴ μοι πείθῃ» φησί, «καρδία ἐμή, φῶς ὀμμάτων ἐμῶν, ἐλεύσῃ σὺν ἐμοί· καὶ γάρ ἐστι μοι καὶ χρυσὸς αὐτάρκης καὶ λοιπὴ ἄλλη κτῆσις, ὑφ' ὧν πρὸς τὴν προτέραν εὐδαιμονίαν ῥᾴδιον ἐπανέλθῃς».

7. Ἤκουσε τῆς πονηρᾶς συμβουλῆς ἡ καλλίστη τῶν γυναικῶν καὶ τὴν τῆς προμήτορος κατὰ νοῦν ἀπάτην λαβοῦσα καὶ τὸν δόλον ἐντεῦθεν συνεῖσα, «Οὐκ ἐκβάλῃς με τοῦ παραδείσου, κακομήχανε», εἶπεν, «οὐ συλήσεις μου τὴν εἰς Χριστὸν ἐλπίδα καὶ πίστιν, | οὐ μὰ col. 2 τοὺς ὑπὲρ ἀρετῆς ἱδρῶτας καὶ τὰ παλαίσματα». καὶ ἅμα ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ, καὶ πεσὼν ἐκεῖνος ἀπέψυξε. δέος οὖν εἰσῆλθε τὰς ἄλλας παρθένους, καὶ διηπόρουν τῷ παραδόξῳ τοῦ πράγματος. κατὰ γοῦν τὴν τῆς ἡμέρας ἐκείνης νύκτα φαίνεται τῇ ὁσίᾳ Χριστὸς αὐτὸς ὁ Θεὸς ἡμῶν, «Ἀνάστηθι» λέγων «καὶ πρόσευξαι καὶ τὸν κείμενον ἔγειραι· δέδοται γάρ σοι χάρις τοῦ τελεῖν τὰ παράδοξα». ὄρθρος ἦν, καὶ τῶν μοναζουσῶν ἐπ' ὄψεσιν εὐχαῖς ἡ Εὐδοκία ταῖς πρὸς Θεὸν καὶ δακρύων πηγαῖς ἀνέστησε τὸν νεκρόν, πολλὰ παραινέσασα τῶν ἀπρεπῶν ἀπεχόμενον μόνον φοβεῖσθαι Θεόν, καὶ οὕτως αὐτὸν ἀπέλυσεν ἐν εἰρήνῃ.

8. Ἐξέπληξε τοῦτο τοὺς ἀκούσαντας, καὶ δόξαν ἀπεδίδουν Θεῷ τῷ με||γάλα διὰ τῶν αὐτοῦ δούλων ποιοῦντι καὶ παράδοξα θαύματα. f. 139 κατ' ἐκεῖνο τοίνυν καιροῦ τῷ βασιλεῖ προσελθόντες τινὲς (Αὐρηλιανὸς οὗτος ἦν) ἀναφέρουσι περὶ τῆς ὁσίας, ὡς εἴη χρημάτων ἀμυθήτων ἐν εὐπορίᾳ καὶ λοιπῆς ἄλλης τιμίας ὕλης καὶ ὡς ἀρνηθείη θεοὺς καὶ τῷ Γαλιλαίῳ προσέλθοι καὶ μοναχὴ γένοιτο. καὶ ὃς αὐτίκα τοὺς αὐτὴν συλληψομένους ἐκπέμπει· οἳ τὸ μοναστήριον τάχος καταλαβόντες ἀορασίᾳ τε κεκράτηντο καὶ περιιόντες ἐζήτουν ὅθεν εἰσέλθοιεν καὶ οὐχ εὕρισκον· εἶτά που δράκοντι περιτυχόντες

Rubro: v. 2 **Καὶ** ὃς, v. 15 **Ἤ**κουσε, v. 20 **Δ**έος, v. 25 **Καί**, v. 29 **Ἐ**ξέπληξε, v. 31 κατ' ἐ|**Κ**εῖνο

4 συνήθει 7 ἐθέλοι 18 οὔ μὰ 31 αὐριλλιανὸς 36 ἀορασία τὲ 37 εἶτα που

τῷ τούτου ἄσθματι τὰς ψυχὰς ἀπέλιπον, τριῶν καὶ μόνων περισωθέντων στρατιωτῶν καὶ τοῦ κόμητος.

col. 2 9. Μανθάνει τοῦτο βασιλεὺς δι' αὐτῶν, ὀργίζεται, | τὸν ἴδιον υἱὸν ἀποστέλλει τάχος αὐτὴν ἀγαγεῖν. μέσον ἐκεῖνός που τῆς ὁδοῦ τοῦ ἵππου μέλλων ἀποβῆναι ἐφ' ᾧ τὸν κόπον διαναπαύσαιτο, λίθῳ προσπταίει τὸν πόδα καὶ τραυματίζεται καὶ ὀδυνᾶται, καὶ τὸ ἄλγημα θάνατον αὐτῷ μνηστεύεται· καὶ μέντοι δὴ καὶ θνήσκει μετὰ μικρόν· θρηνεῖ τοῦτο μαθὼν ὁ βασιλεύς, θρηνεῖ καὶ στρατός· ὁ Φιλόστρατος, οὗ πρόσθεν ὁ λόγος ἐμνήσθη τὰ κατὰ τὴν Εὐδοκίαν, τοῖς τοῦ βασιλέως γνωρίζει παρὼν καὶ ὡς μεγάλην ἔχει παρὰ Θεῷ τὴν ἰσχὺν καὶ ὡς εἴ γε τιμητικῶς αὐτὴν ὁ βασιλεὺς μετέλθοι καὶ γράμματα στείλαι πρὸς αὐτήν, ἀναστήσεται τάχος ὁ υἱὸς αὐτοῦ. μανθάνει τοῦτο βασιλεὺς καὶ τὸν τριβοῦνον Βαβύλαν μετὰ γραμμάτων f. 139v ἐκπέμπει. δέχεται ταῦτα || τὸ τῶν γυναικῶν σεμνολόγημα καὶ κατὰ λέξιν διέξεισιν. εἶτα καὶ γνώμῃ τῶν ἀδελφῶν ἀντίγραφα δίδωσι, τρεῖς αὐτοῖς σταυροὺς ἐγχαράξασα καὶ εὐχὴν ἐπειποῦσα. ταῦτα λαβὼν ὁ Βαβύλας δρομαῖος ἦλθε πρὸς τὰ βασίλεια καὶ τῷ νεκρῷ προσρίψας καὶ τὸ Χριστοῦ ἐπικαλεσάμενος ὄνομα (τίς σου, Χριστέ μου, μὴ δοξάσει τὴν ἀγαθότητα;), ζῶντα τὸν υἱὸν ὁ βασιλεὺς εἶχε καὶ ἀλλόμενον· καὶ γίνεται χαρὰ παρὰ πάντων πολλή, καὶ διανέμει χρήματα πλεῖστα τοῖς ἐνδεέσι, «Μέγας» βοῶν «ὁ Θεὸς τῶν χριστιανῶν». αὐτίκα γοῦν μεταστειλάμενος τὸν ἐπίσκοπον δέχεται σὺν ἅμα γυναικὶ καὶ τέκνοις τὸ τοῦ βαπτίσματος χάρισμα· στέλλει τε καὶ χρήματα τῇ ἁγίᾳ πρὸς οἰκοδομὴν ἐκκλησίας.

col. 2 10. Χρόνου δέ τινος διελθόντος | ὁ βασιλεὺς μὲν τὸν τῆς ζωῆς ἐξεμέτρησε χρόνον, ὁ δέ γε τούτου υἱὸς τἄλλα πάντα καταλιπὼν καὶ διάκονος τῆς καθολικῆς ἐκκλησίας γεγονώς, τῆς ἀρετῆς εἰς τοῦτο προβιβασάσης αὐτόν, καὶ ἐπίσκοπος γίνεται, τοῦ προέδρου τῆς πόλεως καλῶς τῶν τῇδε μεταφοιτήσαντος. ἡ δέ γε τούτου αὐταδέλφη, χρήματα συμφορησαμένη πλεῖστα, τὴν Εὐδοκίαν καταλαμβάνει καὶ τὸν ἀγγελικὸν ἀσπάζεται βίον, πενήτων τὰ χρήματα χερσὶν ἐνθεμένη. καὶ ταῦτα μὲν οὕτως.

11. Ἡνίκα δὲ τὰ τῆς εἰδωλολατρείας ἐπεκράτει σφοδρότερον καὶ ὁ κατὰ χριστιανῶν ἐπετείνετο διωγμός, ὁ τῆς Ἡλιουπόλεως ἄρχων (Διογένης οὗτος ἦν ὁ δεινός), τὰ κατὰ τὴν ὁσίαν μεμαθηκώς, πρὸς f. 140 ὀργὴν ἐξε||τράπη καὶ διὰ τὸ χριστιανὴν μὲν εἶναι ταύτην, ἀλλὰ δὴ καὶ μᾶλλον καὶ διὰ τὸ τὴν μεμνηστευμένην αὐτῷ θυγατέρα τοῦ

Rubro: v. 3 *Μανθάνει*, v. 9 *φιλό|Στρατος*, v. 13 *Τοῦτο*, v. 22 *Γοῦν*, v. 25 *Χρόνου*, v. 29 *Ἡ δέ*, v. 33 *Ἡνίκα*

4 ἐκεῖνος που 12 στείλοι 23 στέλλει τὲ 33 εἰδωλολατρίας·

βασιλέως τὴν Γελασίαν (οὕτω γὰρ ὠνομάζετο) μετὰ τελευτὴν τοῦ ταύτης πατρός, ὡς προλαβὼν ὁ λόγος ἐδίδαξεν, ὑποδεχθῆναι παρ᾽ αὐτῆς καὶ μοναχὴν γεγενῆσθαι. διὸ καὶ στρατιώτας ἐξέπεμψε κατασχεῖν αὐτὴν καὶ τῷ βήματι τούτου παραστῆσαι τὸ τάχος. φαίνεται τοίνυν ὁ Χριστὸς αὐτῇ κατὰ τοὺς ὕπνους καὶ τὸ δρᾶμα γνωρίζει καὶ «᾽Ανδρίζου» λέγει «καὶ ἴσχυε· δεῖ γάρ σε τὸ τῆς μαρτυρίας στάδιον ὑπελθεῖν δι᾽ ἐμέ».

12. Κατειληφότων οὖν τῶν στρατιωτῶν τὴν μονήν, ἐκείνη πρὸς αὐτοὺς ἔξεισι γενναίῳ καὶ ἀταράχῳ φρονήματι καὶ οὕτω σὺν αὐτοῖς πεποιθότως τὴν ὁδὸν ἐπορεύετο. ὡς οὖν τὴν πόλιν κατέλαβον, ἀναφέρουσιν | οἱ στρατιῶται τὰ περὶ ταύτης τῷ ἄρχοντι. καὶ ὃς τῇ col. 2 φυλακῇ δίδωσι τὴν ὁσίαν. ἡμέραι παρῆλθον οὐχὶ συχναί, καὶ κελεύσαντος τῷ βήματι τούτου παρίσταται, ἡλίου δίκην τὸ πρόσωπον ἔχουσα διαλάμπον καὶ κάλλος οἷον ἀμήχανον ἀποστίλβον, ὡς θαυμάζειν ἐπὶ τούτῳ τὸν ἡγεμόνα καὶ καταπλήττεσθαι καὶ μήποτε τοιαύτην ἰδεῖν ὡραιότητα γυναικὸς λέγειν πρὸς τοὺς σὺν αὐτῷ. γόης οὖν τις ἀνὴρ καὶ τοῦ ψεύδους συνήγορος «Μὴ θαύμαζε» εἶπεν, «ἡγεμών, ἐπὶ τούτῳ· καὶ γὰρ εἰώθασιν αἱ τῶν μάγων ὄψεις γυναικῶν ὑπὸ δαιμόνων φαιδρύνεσθαι». ὁ μάγος ταῦτα καὶ δαιμόνων γνησιώτατος φίλος. ὅμως ὁ ἡγεμὼν «Λέγε» φησὶ πρὸς αὐτήν, «τί σοι ὄνομα καὶ ὁποῖον τὸ σέβας;» ἡ δὲ πρὸς αὐτὸν «Εὐδο||κία f. 140ᵛ λέγομαι καὶ χριστιανὴ καὶ εἰμὶ καὶ ἔσομαι, τοῦτο τοῦ Χριστοῦ μου θελήσαντος». — «Καὶ τίνος ἕνεκα» φησὶν ἐκεῖνος «τὴν σὴν καταλείψασα πόλιν εἰς τοὺς θεοὺς ἠθέλησας ἐνυβρίσαι καὶ δημόσια χρήματα ὑφελομένη κρύφα τὴν ἔρημον προείλου οἰκεῖν; ταῦτα γάρ σου κατεῖπον οἱ πρῶτοι τῆς πόλεως. καὶ οὐκ ἂν ἀνασχοίμην ἔγωγε διὰ τοὺς βασιλεῖς ἀνεκδίκητα ταῦτα καταλιπεῖν. ἢ τοίνυν θῦσον τοῖς θεοῖς, καὶ συγγνώμη σοι τὴν προτέραν πολιτείαν μετερχομένῃ, ἢ τῷ δημοσίῳ κατάθου τὰ χρήματα». — «Καὶ τίς οὗτος ὁ λόγος» ἡ μάρτυς ἔφησε, «δικαστά; σύγχυσιν γὰρ πραγμάτων ποιεῖς δι᾽ ἄλλων ἄλλα μελετῶν· ἀλλ᾽ οὐ τοῖς σοῖς, ἄπαγε, θεοῖς ἐγὼ θυσίαν προσοίσω ποτέ, οὔτε μὴν τὴν προτέραν ἀπο|λήψομαι πολιτείαν· col. 2 ἀλλ᾽ οὐδὲ χρημάτων ἐμαυτὴν ἐπίσταμαι δημοσιακῶν ὀφειλέτιν· εἰ οὖν τιμωρεῖν ἐθέλοις, τιμώρει καὶ τὸ παριστάμενον τῇ ἐξουσίᾳ σου ποίει· οὐδὲν γὰρ ἕτερον ἀπὸ τῆς Εὐδοκίας ἀκούσῃς».

13. Τότε τοίνυν ὁ δεινὸς ἄρχων κελεύει, καὶ τείνεται μὲν ἐκ τεσσάρων ἡ μάρτυς, βουνεύροις δὲ δεινῶς καταξαίνεται κατά γε

Rubro: v. 8 κατειληφό|Των, v. 10 Κατέλαβον, v. 17 Γόης, v. 23 Καί, v. 29 Οὗτος, v. 36 ῾Ο

14 ἔχουσαν 33 ὀφειλέτην

νώτων καὶ τῆς γαστρὸς ἐπὶ τοσοῦτον, ἕως οὗ τὰ σπλάγχνα σχεδὸν αὐτῆς ἐξεφάνη. εἶτα καὶ τῷ ξύλῳ ταύτην ἀναρτηθῆναι κελεύσας βάλλεται κεραυνῷ σὺν τοῖς περὶ αὐτόν· καὶ οὗτοι μὲν ἀπέθανον, ἡμίφλεκτος δὲ γίνεται οὗτος καὶ προσκαλεῖται τοὺς αὐτοῦ θεοὺς εἰς βοήθειαν, εἶτα καὶ αὐτὸς τὴν ψυχὴν ἀποτίθεται, μεγάλα τῶν f. 141 *θεῶν βοηθησάντων αὐτῷ· στρατιώτης δέ τις εὐ||θὺς τῇ μάρτυρι προσδραμὼν πιστεύει Χριστῷ καὶ γίνεται τῆς ἀγαθῆς μερίδος ταῖς αὐτῆς παραινέσεσιν, αἰτεῖται δὲ καὶ τὴν τοῦ ἄρχοντος ἀναβίωσιν καὶ τῶν ἄλλων ἀρχόντων καὶ ὡς «Εἰ τοῦτο γένοιτο, πολλοί» φησι «διὰ τοῦ θαύματος προσαχθήσονται τῷ Θεῷ». λυθεῖσα τοίνυν ὑπ' αὐτοῦ καὶ κατενεχθεῖσα τοῦ ξύλου κλίνει τε γόνατα καὶ δέεται τοῦ Θεοῦ καὶ πάντας εὐθὺς ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ τοὺς τεθνηκότας ἀνέστησε· τούτου δὲ τοῦ παραδόξου καὶ ὑπὲρ λόγον θαύματος γεγονότος πάντες ἐπίστευσαν τῷ Χριστῷ καὶ ἦσαν ὑπὸ τῆς μάρτυρος διδασκόμενοι. κραυγὴ οὖν αἴφνης γίνεται, τὴν τοῦ κόμητος Διοδώρου γαμετὴν κατά τι βαλανεῖον ἐκπνεῦσαι. καὶ ἐπεὶ* col. 2 *παρῆν ὁ Διόδωρος ἐκεῖσε καὶ τὸν ἰατρὸν εἶχεν | ἐγγύς, τὴν μάρτυρα λέγω, πίπτει τε πρὸς τοὺς πόδας αὐτῆς καὶ δέεται λόγους κινῶν καὶ συμπαθείας καὶ πίστεως, ὡς μέγας ἄρα Θεὸς ὁ Χριστὸς καὶ ὑπὲρ τοὺς θεοὺς τῶν Ἑλλήνων· «Εἰ τοίνυν τὴν γαμετήν» φησιν «ἀναστήσεις τὴν ἐμήν, πιστεύσω πανοικὶ τῷ Χριστῷ». ἐδάκρυσεν ἡ μακαρία, τὴν συντριβὴν τῆς τοῦ Διοδώρου ψυχῆς ἰδοῦσα, ναὶ δὴ καὶ τὰ δάκρυα, καὶ πορευθεῖσα σὺν αὐτῷ καὶ δεηθεῖσα Χριστοῦ καὶ τῆς χειρὸς τῆς Φιρμίνης σὺν εὐχῇ λαβομένη (τοῦτο γὰρ αὐτῇ ὄνομα), ἀνέστησέ τε ταύτην εὐθὺς τῇ ἐπικλήσει Χριστοῦ, καὶ πάντες οἱ ὄχλοι «Μέγας ὁ Θεὸς» ἐβόησαν «τῶν χριστιανῶν, ὄντως ἀληθινὸς ὁ Θεὸς Εὐδοκίας». πιστεύσαντες οὖν ἅπαντες ἐβαπτίσθησαν, ἀλλὰ καὶ αὐτὸς Διογένης ὁ ἄρχων.||*

f. 141v *14. Ἔκτοτε δὲ κατὰ τὴν οἰκίαν Διοδώρου τὸν λόγον ἡ μάρτυς τῆς ἀληθείας ἐδίδασκε καὶ πολλοὺς προσῆγε Χριστῷ διὰ τοῦ βαπτίσματος. ἐκεῖσέ που τοίνυν δράκων ἐμφωλεύων ἔν τινι κήπῳ νεανίσκον τινὰ καθ' ὥραν τῆς ἡμέρας ἕκτην ἀπέκτεινεν· ἡ οὖν μήτηρ δεινῶς ὀλολύζουσα τῇ ἁγίᾳ προστρέχει καὶ τὸν υἱὸν ζῶντα λαβεῖν ἐξαιτεῖ. τὸν Διόδωρον οὖν ἡ μάρτυς παραλαβοῦσα τὸν τόπον καταλαμβάνει καί φησι πρὸς αὐτόν· «Νῦν, ὦ Διόδωρε, καιρὸς γνωσθῆναί σου τὰ τῆς εἰς Χριστὸν εἰλικρινοῦς καὶ ἀθολώτου πίστεως· εὖξαι τοιγαροῦν εἰς αὐτὸν καὶ ἀνάστησον τὸν νεκρόν». ἐπεὶ οὖν ἀντιλέγων πείθειν οὐκ εἶχε τὴν μάρτυρα, ἐνέκειτο γὰρ αὕτη*

Rubro: v. 6 *Στρατιώτης*, v. 13 *Δέ*, v. 21 *Ἡ*, v. 29 *Ἔκτοτε* v. 38 *ἀν|Τιλέγων*
11 *κλίνει τὲ* 18 *πίπτει τὲ*

προσεύξασθαι τοῦτον, κλίνας οὗτος τὰ γόνατα καὶ δάκρυα θερμὰ προχέας | τῶν ὀφθαλμῶν, «Ὁ Θεὸς» εἶπεν «ὁ τῇ σῇ κελεύσει col. 2 ῥυσάμενός με τῆς πλάνης καὶ σαφῶς εἰδώς μου τὴν εἰς σὲ πίστιν ἀμετάθετον οὖσαν, κέλευσον ἀναστῆναι τὸν ὑπὸ τοῦ δεινοῦ θηρὸς τεθνηκότα πρὸς δόξαν καὶ εὐχαριστίαν τοῦ ἐνδόξου σου καὶ παναγίου ὀνόματος». ταῦτα εὐξάμενος «Ἔγειραι, Ζήνων», λέγει «ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν» (οὕτω γὰρ ὁ τεθνηκὼς ἐκαλεῖτο). καὶ εὐθέως ἀνέστη, καὶ πάντες ἐδόξαζον τὸν Θεὸν τὸν ποιοῦντα διὰ τῶν αὐτοῦ δούλων μεγάλα καὶ ἐξαίσια θαύματα· καὶ γὰρ καὶ τὸ θηρίον αὐτὸ παρὰ τοὺς πόδας ἐλθὸν τῆς μακαρίας, ὡς ὑπό τινος δυνάμεως ἐλαυνόμενον, διελάκησε μέσον καὶ εὐθὺς ἐξέπνευσε. διὸ καὶ τὸ λοιπὸν πλῆθος σὺν γυναιξὶ καὶ τέκνοις τὸν τῆς πόλεως καταλαβόντες ἐπίσκοπον καὶ || αὐτοὶ ἐβαπτίσθησαν καὶ f. 142 ἦσαν ὁμοῦ διδασκόμενοι παρὰ τῆς μάρτυρος τὴν τῆς ἀληθείας ἐπίγνωσιν.

15. Τελευτήσαντος δὲ τοῦ Διογένους Βικέντιός τις ἡγεμὼν ἀποστέλλεται, πανοῦργός τις ἀνὴρ καὶ ἀπηνὴς καὶ φίλος τοῦ σατανᾶ. ὃς τὰ κατὰ τὴν μεγάλην Εὐδοκίαν ἀναμαθών, στρατιώτας ἀποστείλας ξιφήρεις τὴν μακαρίαν αὐτῆς ἀπέτεμε κεφαλήν. πρώτην εἶχεν ὁ Μάρτιος μήν.

16. Ταῦτά σου, καὶ ὁσία καὶ μάρτυς καὶ ἰσαπόστολε, τὰ κατὰ Θεὸν ἀγωνίσματα | καὶ τὰ θαύματα· καὶ νῦν οἰκοῦσα τοὺς οὐρανοὺς col. 2 καὶ ταῖς τῶν δικαίων ἐμφιλοχωροῦσα σκηναῖς, μέμνησο καὶ βασιλέως ἡμῶν τοῦ τὰ πάντα πιστοῦ, ἰσχὺν αὐτῷ δωρουμένη ταῖς εἰς Θεὸν ἱκεσίαις σου καὶ κράτος κατὰ τῶν ἐναντίων, χρηστότητα καὶ παιδείαν καὶ γνῶσιν, ἀνωλέθρου ζωῆς τὴν χάριν, ἡμέρας ἀνεσπέρου τὴν λάμψιν, λαμπρότητος θείας τὴν χύσιν, πάσης τέρψεως καλῆς τὴν μετουσίαν καὶ τῆς τοῦ Θεοῦ βασιλείας τὴν δόσιν· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

Rubro: v. 16 *Τελευτήσαντος*, v. 21 *Καὶ μάρτυς*, v. 23 *Μέμνησο*, v. 27 *Πάσης*

1 *δάκρυα*: *extremum a evanuit* 3 *εἰδῶς μου* 6 *Ζῆνον* 11 *διελάκισε* 17 *ἀπηνῆς*

f. 142v *Μηνὶ τῷ αὐτῷ β'.*

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΑΝΔΡΟΝΙΚΟΥ ΚΑΙ ΑΘΑΝΑΣΙΑΣ ΤΗΣ ΣΥΜΒΙΟΥ ΑΥΤΟΥ.

1. Τὸ φιλαρέτων βίους ἀνδρῶν ταῖς φιλοθέοις ἀκοαῖς προτιθέναι καὶ δίκαιον ἅμα καὶ πολλοῖς ὠφελείας γνωρίζεται πρόξενον· δι' ὃ δὴ καὶ τὰ περὶ τῶν μεγάλων τούτων εἰς ἀρετήν, Ἀνδρονίκου φημὶ καὶ Ἀθανασίας, τῶν φερωνύμως οὕτω κληθέντων, ἄνωθεν διαλαβόντας προθεῖναι χρεών· οὐχ ἵνα τὴν δόξαν οὗτοι μείζονα κτήσαιντο, ἀλλ' ἵνα καὶ πρὸς μίμησιν οἱ ἀκούοντες ἄγοιντο καὶ τὸ θεῖον δοξάζοιτο.

2. Πατέρων εὐσεβῶν υἱὸς ὁ καλὸς Ἀνδρόνικος, μὴ ταῖς τοῦ βίου μόνον εὐθηνίαις ἐπιφανῶν, ἀλλὰ δὴ καὶ μᾶλλον ταῖς ἀρεταῖς col. 2 *περιδόξων· ἔδειξε | καὶ γὰρ ὁ τούτων καρπός, οἵοις ἐκόμων ἐκεῖνοι τοῖς ἀγαθοῖς. Ἀντιόχεια τούτοις πατρίς. καλῶς οὖν ὑπ' αὐτῶν ἀναχθεὶς ἅμα καὶ παιδευθείς, νόμῳ γάμου ζεύγνυται γυναικί, θυγατρὶ καὶ αὐτῇ τῶν ἐπ' ἀρεταῖς βιούντων καὶ τὰ πρῶτα φερόντων· Ἀθανασία ταύτῃ τὸ ὄνομα· ἥτις καὶ δύο παίδων τῷ Ἀνδρονίκῳ γίνεται μήτηρ· ὀνόματα τούτοις Ἰωάννης τῷ πρωτοτόκῳ καὶ Μαρία τῇ μετ' αὐτόν. ἐφ' οἷς ἀρκεσθέντες μόνοις καὶ τὴν πρὸς ἀλλήλους καταλύσαντες ὁμιλίαν, τῆς καθαρᾶς εἴχοντο καὶ καλῆς πολιτείας, πίστει καὶ ἐλεημοσύναις καθ' ἑκάστην ἐμφαιδρυνόμενοι. καὶ βασιλεῖ δὲ γνώριμος ἦν ὁ Ἀνδρόνικος διά τε τὴν ἀρετήν, διά* f. 143 *τε τὴν τέχνην· ἀργυροκόπος γὰρ || ἐκ προγόνων ἐτύγχανεν· ὃ δὲ τῇ καλῇ ταύτῃ ξυνωρίδι τῶν ἄλλων μᾶλλον ἐπέλαμπε, τοῦτο δώσω τῷ λόγῳ· περιιόντες ἐφ' ἑκάστης οἱ θαυμάσιοι τοὺς κακῶς ἔχοντας ἐθεράπευον, λουτροῖς ἀνέψυχον, τὰ πρὸς χρείαν αὐτοῖς ἐχορήγουν καὶ ὅλως ἦσαν ἄμισθον ἰατρεῖον καὶ θησαυρὸς τοῖς κάμνουσι καὶ τοῖς χρήζουσιν.*

3. Καί ποτε τῆς Ἀθανασίας ἐντεῦθεν ἐπανιούσης καὶ τὰ φίλτατα πρὸς τῇ κλίνῃ κατιδούσης κείμενα καὶ νόσῳ τρυχόμενα, συνανακλιθείσης τε τούτοις καὶ οἱονεὶ συμπασχούσης, ὁ καλὸς Ἀνδρόνικος τοῦ θεοφιλοῦς ἔργου καὶ οὗτος ἐπανελθὼν καὶ οὕτως ἔχουσαν

Rubro: v. 4 Τὸ, v. 14 κα|Λῶς, v. 25 περιιόν|Τες, v. 29 ἀ|Θανασίας
6 διὸ 28 χρήζουσι

εὑρηκὼς τὴν γυναῖκα ὠνείδιζέ τε, τὴν αἰτίαν ἀγνοῶν, καὶ ῥᾳθυμίας ὥσπερ διενεκάλει· συντετριμμένη γοῦν ἐ|κείνη καὶ λεπτῇ τῇ φωνῇ col. 2 «Μὴ λυποῦ, κύριέ μου», λέγει· «τὰ παιδία γὰρ οὐ χρηστὰς ἔχειν δίδωσιν ἡμῖν ἐπ' αὐτοῖς τὰς ἐλπίδας». ἤκουσεν ἐκεῖνος· πρόσεισι τούτοις· ὁρᾷ· τὰ τῆς μητρὸς ἀκριβῶς ἀληθεύειν ἐγνώκει καὶ πολλὰ τοῦ βίου καταστενάξας κατηφὴς καὶ σκυθρωπὸς ὑπεχώρησε, μηδὲν ἄλλο ἢ «Τὸ θέλημα» εἰπὼν «τοῦ κυρίου γενέσθω» καὶ πρὸς τὸν ναὸν τοῦ ἁγίου μάρτυρος Ἰουλιανοῦ τῆς πόλεως ἔξω κείμενον παρεγένετο, τὸν Θεὸν δυσωπῶν καὶ τὸν ἅγιον μὴ περιιδεῖν αὐτὸν οὕτω τῶν τέκνων ὀδυνώμενον ἕνεκεν· ἐφ' ἱκανὰς οὖν ὥρας προσμείνας τῇ παρακλήσει, πρὸς τὴν οἰκίαν αὖθις ὑπέστρεφε καὶ καταλαμβάνει πλῆθος ἱκανὸν τὴν τῶν παίδων ἀποδυρόμενον τελευτήν. || κατ' f. 143v ὄψιν οὖν αὐτοῖς προσβαλὼν καὶ νεκροῖς ἤδη, φεῦ, τοῖς φιλτάτοις περιτυχών, κλίνῃ κειμένοις μιᾷ, πικρὸν πᾶσι θέαμα καὶ δακρύων ἄξιον, κατ' ἄκρας παθὼν τὴν ψυχὴν καὶ τοὺς ὀφθαλμοὺς ὑποπλήσας δακρύων οὐδὲν ἀγεννές, οὐδὲν ἀπρεπὲς ἐφθέγξατο τὸ παράπαν, ἀλλὰ κατὰ τὸν Αὐσίτην ἐκεῖνον καὶ οὗτος ὁ νέος Ἰὼβ εὐχάριστον ἀποδοὺς τὴν φωνήν, τὴν κατ' οἶκον ἐκκλησίαν κατέλαβεν· ἡ δὲ μήτηρ — καὶ τί γὰρ ἡ μήτηρ; — πικρὸν καὶ γοερὸν ἀνοιμώξασα «Φεῦ» ἔλεγε «σπλάγχνα ποθεινὰ καὶ κοιλίας καρπὸς τῆς ἐμῆς, πῶς νῦν ὑμᾶς προκείμενα βλέπω, φεῦ, ἐμὸν ψυχαγώγημα καὶ τερπνὸν παραμύθιον, πρὸ ὥρας αἴφνης τῶν ἐμῶν ὀμμάτων ἀναρπασθέν· οἴμοι, θάνατε, τί μου τοὺς | βλαστοὺς ἀσυμπαθῶς col. 2 ἐξεθέρισας; τί με τῶν ἀμφοτέρων ὀφθαλμῶν ἐστέρησας καὶ μὴ τὸν ἕτερον εἴασας, ἵν' εἶχον ἡ ταλαίπωρος μικρὰν ἀπαυγήν; φεῦ, εἰς οἵαν κακῶν βαθύτητα κατενήνεγμαι· δέξαι, γῆ, μητέρα πολυπαθῆ, κενὸν τόκον ὑποστᾶσαν καὶ πόνον· δός, ὡς μήτηρ μητρί, τήνδε τὴν χάριν, ἵν' ἔσομαι συγκειμένη τοῖς τέκνοις· ἥλιε, μή με τὸ πρωῒ ζῶσαν κατίδοις· φῶς γὰρ οἴχετ' ἐπὶ τὸν τάφον τῶν ἐμῶν ὀφθαλμῶν· φεῦ, ἄνερ, οἵαις προσεπέσομεν συμφοραῖς καὶ πῶς παρ' ὧν θρηνηθῆναι τέκνων προσεδοκήσαμεν, ταῦτα νῦν ἡμεῖς θρηνοῦμεν ὀδυνηρῶς· ὦ Κύριε καὶ Θεέ, τί τῆς ταλαιπώρου παρεῖδες τὰ δάκρυα; θέλησον λοιπὸν κἀμὲ τοῖς τέκνοις συναπελθεῖν· χαρίζῃ γάρ μοι || τὰ μέγιστα». f. 144

4. Οὕτω περιπαθῶς αὐτῆς ἀνακλαυσαμένης, τὰ νενομισμένα τελέσαντες οἱ προσήκοντες κἀν τῷ τοῦ μάρτυρος Ἰουλιανοῦ ναῷ

Rubro: v. 4 Ἤκουσεν, v. 10 Οὖν, v. 12 Κατ' ὄψιν, v. 19 Καί, v. 35 περι|-Παθῶς

1 ὀνείδιζέ   19 *in textu cod.* εἰ μ(ήτ)ηρ, *in margine* ἡ   28 συνκειμένη ibid. μή μοι

τοὺς παῖδας κομίσαντες τῷ τάφῳ κατέθεντο, πολλὰ τοῦ πατριάρχου τὸν Ἀνδρόνικον (γνωστὸς γὰρ ἦν αὐτῷ) ψυχαγωγήσαντος ὁμοῦ καὶ παρακαλέσαντος καὶ πείσαντος εὐχαρίστως φέρειν τὴν συμφοράν. καὶ ταῦτα μὲν οὕτως. ἡ δέ γε μήτηρ τῇ σορῷ τῶν παίδων ὑπολειφθεῖσα, τί χρὴ καὶ λέγειν ὅσοις ἑαυτὴν κατέτρυχεν ὀδυρμοῖς· ὅμως ὑπὸ τῆς ἀμέτρου λύπης κατενεχθείσῃ πρὸς ὕπνον ὄναρ ὁ μάρτυς ἐφίσταται, μοναχικῷ κατεσταλμένος ἐνδύματι, καὶ «Τί δὲ οὕτω, γύναι, θρηνεῖς» πρὸς αὐτὴν εἶπεν, «ἐπαχθὴς κἀμοὶ γινομένη col. 2 *καὶ τοῖς τῷ ναῷ παραμένουσι;» | κἀκείνη πρὸς αὐτὸν (οὐδὲ γὰρ ᾔδει πάντως, ὅστις ἦν ὁ λαλῶν) «Καὶ ὅλως ἀγνοεῖς» εἶπεν, «ὅτι μου τὰ τέκνα παρακαθημένη θρηνῶ, ἄωρον αὐτῶν ἀποστᾶσα τὴν ἐκτομήν; τοιούτοις οὖν ὑποβληθεῖσα κακοῖς πῶς μὴ κλαύσομαι, πῶς μὴ θρηνήσω τοὺς φωστῆρας, αἲ αἴ, τοὺς καλούς, τὴν τῶν ἐμῶν ὀμμάτων παραψυχήν; οἴμοι, παῖδες φίλτατοι, ποῦ νῦν ὑμᾶς καὶ κατίδω, ποῦ δὲ καὶ προσλαλήσω μικρόν; δειλαία πάντων μητέρων ἐγώ, πάσας ὑπερβᾶσα τοῖς λυπηροῖς».— «Ἀλλ' οὐ θέμις σοι χριστιανῇ γε οὔσῃ» πρὸς αὐτὴν ὁ ἅγιος ἔφη «πικρῶς οὕτω θρηνεῖν· ταῦτα γὰρ τὰ ἔθνη ποιεῖ, μὴ γινώσκοντα τὴν ἀνάστασιν· εἰ γὰρ καὶ* f. 144v *τῆς παρούσης ζωῆς μετέθηκε τὰ σὰ τέκνα Θεός, ἀλλ' ἀ||ξιώσει γε πάντως τῆς οὐρανῶν βασιλείας· μὴ τοίνυν εἰσέτι θρηνεῖν ἔθελε ταῦτα· ζῶσι γὰρ ἀληθῶς, πρὸς ἄπονον καὶ ἀνώλεθρον μεταβεβηκότα ζωήν».*

5. *Ταῦτα τοῦ ἁγίου εἰπόντος ἀνῆκε ταύτην ὁ ὕπνος, καὶ γνοῦσα, τίς ὁ λαλῶν, καὶ τὸ πένθος κοιμίσασα τὸν οἶκον κατέλαβε καὶ πάντα τῷ ἀνδρὶ διηγήσατο· καὶ οὕτω δόξαν κοινῶς ἀπεδίδουν Θεῷ καὶ τῷ μάρτυρι. μιᾷ γοῦν τῶν ἡμερῶν ἡ ὄντως Ἀθανασία πρόσεισι τῷ συνεύνῳ καί φησιν· «Ἐμοὶ μέν, ὦ ἄνερ, καὶ πρό γε τῆς τῶν παίδων στερήσεως ὁ μοναδικὸς ἐμελετᾶτο βίος, καὶ ψυχῆς ὅλης προθέσει τοῦτον ἠγάπων· ἐπεῖχε δέ με πάντως ἡ τῶν τέκνων στοργή· ἐπεὶ δὲ τρόποις ἀρρήτοις ταύτης ἀπολέλυμαι τῆς προφά-|* col. 2 *σεως, μὴ δή μου τὴν πρόθεσιν βουληθῇς ἐμποδίσαι· χεῖρα δὲ μᾶλλον εὕροιμι συναιρομένην μοι τὴν σὴν καὶ συμπράττουσαν· οὐδὲν γάρ ἐστιν, ὡς ὁρᾷς, τῶν τοῦ βίου τερπνῶν, ὅπερ πέφυκε παραμένειν· τοίνυν εἰσάγαγέ με γυναικῶν ἁγίων εἰς φροντιστήριον καὶ πρὸς τοῦ μεγάλου Θεοῦ θέλησον, ἄνερ, τοῦτό μοι συμπερᾶναι τὸ βούλημα».*

6. *Ὁ δὲ συνετὸς ἐκεῖνος, ἀγχίνους ὢν εἴπερ τις ἄλλος, «Ἄπιθι, γύναι», φησὶ πρὸς αὐτήν, «διάσκεψαι περὶ τούτου καὶ εἴ γε στοιχεῖς*

Rubro: v. 16 *Ἀλλ' οὐ*, v. 23 *Τοῦ*, v. 26 *Τῶν*, v. 36 *Ἐκεῖνος*

8 *γῦναι* 15 *δειλαῖα* ibid. *πάντ(ων) μητέρων: sic cod.* 17 *χριστιανή* 20 *εἰς ἔτι* 31 *βουληθεὶς* 33 *γάρ ἐστιν* 35 *συμπεράναι*

τῷ θελήματι, ἕξεις με τούτοις καὶ συνεργοῦντά σοι καὶ συμπράττοντα καὶ τοῦ σκοποῦ κοινωνοῦντα· πάλαι γὰρ καὶ αὐτὸς τυχεῖν ἐφίεμαι τούτου». τούτοις τὴν μακαρίαν ὑποστηρίξας ὁ καλὸς Ἀν||δρόνικος τὸν ἐπ' ἀδελφῇ τούτου προσκαλεῖται γαμβρὸν καὶ *f. 145* τὰ τῆς οὐσίας ὑπολειφθέντα τούτῳ παραδοὺς (τὰ γὰρ ἄλλα χεῖρες ἔσχον πενήτων), «Ἡμεῖς μὲν» εἶπεν, «ὦ προσφιλέστατε, τοὺς ἁγίους τόπους χάριν εὐχῆς καταλαβεῖν ἐπειγόμεθα· σὺ δὲ ἀλλ' εἴπερ τὸν βίον ἀλλάξομεν, νοσοκομεῖον δειμάμενος εἰς τὴν τῶν πτωχῶν θεραπείαν τούτῳ ταῦτα προσεπικύρωσον (κτήσεις ἦσαν ἀκίνητοι)· Θεὸν γὰρ οὕτω θεραπεύσεις ποιῶν καὶ σαυτῷ μισθοὺς προξενήσεις μεγάλους». τοῦ δὲ συνθεμένου καὶ κατανεύσαντος, ἐκεῖνος ἐλευθερίᾳ τὸ δοῦλον ἅπαν τετιμηκὼς καὶ λεγάτα παρασχόμενος τούτοις, τῶν νυκτῶν ἐν μιᾷ τὴν ὁμότροπον λαβὼν καὶ τῷ ὄντι βοηθόν, τὴν καλὴν Ἀθανασίαν φημί, πάντα | χαίρειν ἐάσας τῆς προκειμένης *col. 2* εἴχετο.

7. Τοὺς σεβασμίους οὖν τόπους καταλαβόντες ἀνδράσι φιλαρέτοις προσεντυγχάνουσι κἀκ τούτων τὰ κάλλιστα συλλεξάμενοι τὴν Ἀλεξάνδρου καταλαμβάνουσι καὶ τῷ ναῷ τοῦ μεγαλομάρτυρος Μηνᾶ προσιόντες εὐχαῖς προσέκειντο μὴ διαμαρτεῖν τοῦ σκοποῦ. πόθος οὖν εἰσέρχεται τὸν Ἀνδρόνικον καὶ τὴν σκήτην καταλαβεῖν· καὶ δὴ τὴν Ἀθανασίαν ἐκεῖσε καταλιπών, συνθέμενος ἐπανελθεῖν αὖθις πρὸς αὐτήν, σὺν ἄλλοις τισὶ δυσὶ μοναχοῖς τὴν προκειμένην ἤνυε καὶ δὴ τὴν σκήτην καταλαβὼν καὶ τὰ ἐν αὐτῇ πάντα διελθὼν μοναστήρια εἶδε γέροντας κατ' οὐδέν, ὡς εἰπεῖν, τῆς τῶν || ἀγγέλων *f. 145v* πολιτείας ἀπεοικότας· ἐξ ὧν οἷά τις μέλιττα φιλεργὸς τὰ τῶν ἀνθέων κάλλιστα τῶν κατορθωμάτων συλλεξάμενος, ἐπεὶ μάθοι καὶ περὶ τοῦ μεγάλου Δανιήλ, πρὸς αὐτὸν ὥσπερ τις διψητικώτατος ἔλαφος ἐφ' ὕδωρ τρέχει, δρέψασθαι θέλων καὶ τοὺς ἐκ τούτου καρπούς. ὃν καὶ καταλαβὼν τοῖς αὐτοῦ προσπίπτει ποσὶ καὶ πάντα τούτῳ διηγεῖται τὰ καθ' αὑτὸν καὶ ὅτι καὶ τὴν βοηθὸν τοῦ βίου καὶ κοινωνὸν ἐν τῷ πρὸς Ἀλεξάνδρειαν τοῦ μεγαλομάρτυρος Μηνᾶ καταλελοίπει ναῷ· «Σὺ οὖν» φησὶν «ὁδηγός μοι γενοῦ, πάτερ, τῆς πρὸς σωτηρίαν ὁδοῦ· πέπεισμαι γάρ, ὡς ἐν σοί με Θεὸς ἐξαπέστειλε». καὶ ὁ θαυματουργὸς γέρων ἐκεῖνος «Ἐπεί σου, τέκνον», ἔφη, «θεῖος ἔρως | ἀνέφλεξε τὴν ψυχήν, τὴν σύζυγον σπεύσας ὅτι *col. 2* τάχος ἄγαγε μετὰ σοῦ (προεώρα γὰρ τῷ διορατικῷ τῆς ψυχῆς τὰ κατὰ τὸν Ἀνδρόνικον)· καὶ αὕτη μὲν τῇ τῶν Ταβεννησιωτῶν μονῇ

Rubro: v. 3 τού|Τοις, v. 11 **Τοῦ**, v. 16 **Τοὺς**, v. 20 **Πόθος**, v. 34 **Γέρων**
20 *et* 23 σκήτην *non mutavi in* σκῆτιν *coll.* 171, 3 *et* 172, 23, *ubi gen. est* σκήτης.

καλῶς ἐγκαταλεγήσεται, σεμνῶν οὔσῃ παρθένων καὶ τὸν βίον ἐπαινετῶν· σὺ δὲ παρ' ἐμοὶ μείνῃς, καὶ τὰ κατὰ σὲ καθὼς ἡ πρόγνωσις εὐδόκησε καὶ διοικηθήσεται».

8. Τούτων οὕτω ῥηθέντων παρὰ τοῦ γέροντος ὁ Ἀνδρόνικος τὴν Ἀλεξάνδρου τάχος καταλαμβάνει καὶ τὴν Ἀθανασίαν λαβὼν τὸ τοῦ μεγάλου Δανιὴλ κατέλαβε μοναστήριον· μηνύονται τῷ γέροντι· προσάγονται τούτῳ· διδάσκονται παρ' αὐτοῦ· γράμματα πρὸς τὴν προεστῶσαν τῆς δηλωθείσης μονῆς τῶν Ταβεννησιωτῶν ||
f. 146 λαμβάνουσι καὶ ταύτην καταλαβόντες τὸν χάρτην ἐκείνῃ κομίζουσι. δέχεται τοίνυν τὴν Ἀθανασίαν ἡ προεστῶσα, μυσταγωγεῖ, κείρει ταύτῃ τὴν κόμην καὶ ταῖς λοιπαῖς συντάττει τῶν ἀδελφῶν· ὁ τοίνυν Ἀνδρόνικος μεγάλως ἐπὶ τοῖς τελεσθεῖσι χαρεὶς σπουδῇ καταλαμβάνει τὸν γέροντα καὶ δέεται τυχεῖν τοῦ σχήματος καὶ αὐτός· οἷς μὴ μελλήσας ὁ γέρων τελεῖ πάντα τὰ νενομισμένα καὶ συναριθμεῖ τοῦτον τοῖς λοιποῖς ἀδελφοῖς. τί οὖν τὸ ἑξῆς; χρόνους οὐκ ἔλαττον ἢ δυοκαίδεκα παραμείνας ὁ Ἀνδρόνικος τῇ μονῇ μέγας ταῖς ἀρεταῖς ἀνεφάνη, πᾶν εἶδος διελθὼν ἀσκήσεως, ὡς οὐδεὶς ἕν. ἐν μιᾷ γοῦν προσιὼν τῷ γέροντι τὴν πρὸς τοὺς ἁγίους τόπους
col. 2 ἐξαιτεῖ | καὶ αὖθις ἀπέλευσιν καὶ μέντοι γε καὶ τυγχάνει καὶ τὴν ὁδὸν προθύμως ἀνύει.

9. Μικρὸν οὖν ἐν ὥρᾳ καύματος ἐν ἀνύδρῳ κατὰ τὴν Αἴγυπτον ὑπό τι φυτὸν ἐκάθισε τὸν κόπον διαναπαύων· τὸ δὲ ἄκανθα ἦν τὸ φυτόν. ἀλλὰ προσέχειν ἐπιμελῶς δεῖ τοῖς ῥηθησομένοις· ἔνθεν γὰρ ἀνακύπτειν ὁρῶ τῆς ἀρετῆς τῶν δικαίων τὸ μέγεθος· ἰδοὺ γὰρ νεύσει θείᾳ καὶ ἡ Ἀθανασία τὴν πρὸς τοὺς ἁγίους τόπους ἐποιεῖτο πορείαν ἐν ἀνδρῶν σχήματι, τὴν περιβολὴν ἀμείψασα. ὡς οὖν ἐγγὺς αὐτοῦ παραγένοιτο καὶ τὴν μορφὴν ἴδοι καὶ κατενόει τοῦτον αὐτὸν τὸν Ἀνδρόνικον εἶναι καὶ οὐχ ἕτερον, οὐδὲν γυναικεῖον
f. 146v ἔπαθεν οὐδέ τι πρὸς αὐτὸν ὅλως γνωρίσματος ἐφθέγξατο || ῥῆμα, οἷα εἰκὸς ἄλλην τινὰ διαπράξασθαι, μόνον δὲ τοῦτο· «Πόθεν εἶ, ἀδελφέ», διηρώτα, «καὶ ὅποι βούλοιο τὴν πορείαν ποιῆσαι;» καὶ γὰρ ἠγνοεῖτο γινώσκουσα· πόθεν γὰρ ἂν καὶ εἶχε γινώσκεσθαι, τοῦ φυσικοῦ κάλλους ἀπομαρανθέντος αὐτῇ καὶ καταστύγνου καὶ ξηροῦ γεγονότος καὶ μεταβληθέντος πρὸς τὸ μελάντερον; ὁ δὲ μάλα προσηνεῖ καὶ πραείᾳ φωνῇ «Ἐπὶ τοὺς ἁγίους, πάτερ», ἔφησε, «τόπους». καὶ ἡ Ἀθανασία· «Καὶ χάρις Θεῷ· ἐπ' αὐτοὺς γὰρ καὶ αὐτὸς ἄπειμι· πλὴν εἴπερ ἀρεστόν σοι δοκεῖ, ὁμοῦ τὴν ὁδὸν ἀνύσωμεν».

Rubro: v. 4 Τούτων, v. 10 Τὴν, v. 12 Ἀνδρόνικος, v. 15 Τὸ, v. 21 Ὥρᾳ, v. 27 Αὐτοῦ, v. 34 Ὁ δὲ

9 κομίζουσιν, ν littera erasa. 14 μελήσ(ας) 31 διηρῶτα

κατέθετο πρὸς τοῦτο ὁ μοναχός, κἀκείνη πρὸς αὐτόν· «Ὄντως, ἀδελφέ, οὐ μαθητὴς αὐτὸς εἶ τοῦ μεγάλου πατρὸς Δανιὴλ τοῦ τῆς σκήτης;» | καὶ ὃς «Ναί» φησι. καὶ ἡ ὁσία· «Τὸν Ἀνδρόνικον οἶμαί col. 2 σε εἶναι». — «Οὕτως» ὁ μοναχὸς ἔφη. καὶ αὐτὴ «Ὁ Θεὸς» εἶπε «ταῖς τοῦ γέροντος ὁσίαις εὐχαῖς συνοδεύσειεν ἡμῖν, ἀδελφέ.» τοῦ δὲ τὸ «Ἀμήν» ἐπειπόντος, ἡ ὁδὸς αὐτοῖς ἠνύετο, καὶ οὕτως, ὡς μηδὲν ἕτερον ἕκαστος αὐτῶν τῶν χειλέων προΐεσθαι, ἢ μόνον εὐχήν, καὶ ταύτην καθ' ἑαυτόν.

10. Πρὸς τοὺς ἁγίους οὖν φοιτήσαντες τόπους καὶ τῶν ἐν αὐτοῖς καλῶν ἀπολαύσαντες τὴν Ἀλεξάνδρου καὶ αὖθις καταλαμβάνουσι. καί φησι πρὸς τὸν Ἀνδρόνικον ἡ ὁσία· «Πάνυ μου τὴν ψυχὴν εὔφρανας, ἀδελφέ, τῷ κατὰ τὴν ὁδὸν φιλησύχῳ σου· νῦν οὖν, εἴπερ ἐθέλοις, ὁμοῦ καὶ τὸ λοιπὸν ἡσύχως τῆς ζωῆς διανύσωμεν, καὶ σώσει πάντως ἡμᾶς ὁ Θεὸς οἷς ἐξεπίσταται || κρίμασι». f. 147 καὶ ὁ Ἀνδρόνικος «Προσαγγεῖλαί με δεῖ» ἔφη «περὶ τούτου τῷ γέροντι· καὶ ὃ ἐὰν εὐδοκήσῃ, τοῦτο δὴ καὶ γένηται· οὐδὲ γὰρ χρὴ γνώμης ἐκείνου χωρὶς τοῦτο γενέσθαι». καὶ ἡ Ἀθανασία· «Καλὸς ὁ σκοπός, ἀδελφέ· πορεύθητι τοιγαροῦν καὶ οὕτω ποιήσας σπεῦσον ὅτι τάχιστα· μενῶ γάρ σε εἰς τὸ Ὀκτωκαιδέκατον». θεοφόρων δὲ τοῦτο καὶ ἁγίων ἀνδρῶν καταγώγιον, τὴν ἐκ τοῦ τόπου κλῆσιν, ὡς οἶμαι, προσειληφός. ὁ τοίνυν Ἀνδρόνικος πορευθεὶς πάντα ταῦτα κατὰ λεπτὸν γνωρίζει τῷ γέροντι, ὡς μοναχῷ ἐντύχοι θεοφιλεῖ, ὡς συνοδεύσειε τούτῳ καὶ τὰ λοιπὰ τῆς βουλῆς. καὶ ὁ γέρων τῷ διορατικῷ τοῦ νοὸς γνοὺς τὸ πρᾶγμα καλῶς, «Μέγας ὁ ἀββᾶς Ἀθανάσιος» εἶπεν αὐτῷ «καὶ | τὴν ἀρετὴν ὑψηλός». τότε γοῦν col. 2 εὐχὴν ὁ Ἀνδρόνικος αἰτησάμενος καὶ λαβὼν σπουδῇ τὸ Ὀκτωκαιδέκατον κἀν τούτῳ τὴν μακαρίαν καταλαμβάνει· ἐν ᾧ χρόνους δέκα πρὸς τοῖς δυσὶ τὴν ἀγγελικὴν διανύσαντες πολιτείαν περιβόητοι τοῖς πᾶσι γεγόνασι καὶ οὐδὲν ἄλλο ἢ Ἀθανάσιος καὶ Ἀνδρόνικος τοῖς ἁπάντων ἔκειντο στόμασιν· ἐπὶ δυοκαίδεκα τοίνυν, ὡς εἴρηται, χρόνους ὁμοῦ ταῖς τοιαύταις τῶν ἀοιδίμων προσκαρτερούντων ἀσκήσεσιν οὐ μὲν οὖν οὐδαμῶς ἐπὶ τούτοις ἔγνωσται Ἀνδρονίκῳ, ὡς Ἀθανασία ἦν ὁ συνὼν αὐτῷ μοναχός, τοῦ Θεοῦ κρεῖττόν τι προβλεπομένου.

11. Ἐπεὶ οὖν ἀνθρώπους ὄντας ἔδει καὶ αὐτοὺς τῷ κοινῷ νόμῳ λειτουργῆσαι || τῆς φύσεως, οἷον καὶ τὸ τέλος ἀκούσατε. ὁ f. 147v μακαρίτης ἐκεῖνος καὶ διορατικώτατος γέρων, ὁ μέγας φημὶ Δα-

Rubro: v. 1 Πρὸς τοῦτο, v. 3 Καί, v. 9 Οὖν, v. 17 Καί, v. 21 ἀνδρό|Νικος, v. 30 Ἐπὶ, v. 35 Οὖν, v. 37 μα|Καρίτης
7 ἕκαστος: ἕκαστον? 16 ἐάν: ἄν? 22 καταλεπτὸν 32 οὔμενοὖν

νιήλ, συνήθως ἔχων πρὸς τὴν θαυμαστὴν ταύτην ἀπιέναι δυάδα,
παρεγένετο καὶ πάλιν καὶ θείων αὐτοῖς κοινωνήσας λόγων καὶ
παραινέσεων, ἐπὶ τὴν ἰδίαν αὖθις μονὴν ἐπορεύετο. μήπω δὲ τὴν
᾿Αλεξάνδρου πόλιν καταλαβόντα φθάνει τοῦτον ὁ ᾿Ανδρόνικος
δρόμῳ καὶ πνευστιῶν φησι πρὸς αὐτόν· «῾Ο ἀββᾶς, πάτερ, ᾿Αθα-
νάσιος ἐκδημεῖν μέλλει τοῦ βίου· ἐπάνιθι τοιγάρτοι προθύμως,
ἵν᾿ ἐπίδῃς αὐτὸν πρὸ τῆς ἐκδημίας». καὶ ὃς τοῦ γήρως ὥσπερ
ἐπιλαθόμενος τὸ τάχος ὑπέστρεψε καὶ τὰ ἔσχατα πνέουσαν ἤδη
col. 2 κατέλαβεν. ἡ δὲ ὡς | εἶδεν αὐτούς, δάκρυα τῶν ὀμμάτων ἀπέσταζε
καὶ πυκνὰ πρὸς τὸν ᾿Ανδρόνικον ἔβλεπε. τὴν αἰτίαν οὖν ὁ γέρων
πυνθανόμενος τῶν δακρύων, μὴ ἀγνοῶν, καὶ μὴ θέμις ὅμως εἶναι
λέγων πρὸς Χριστὸν ἀπιοῦσαν θρηνεῖν, «Οὐ διὰ τοῦτό μοι, πάτερ,
ὁ θρῆνος» ἐκείνη φησίν, «ὅτι γε τὸν παρόντα βίον ἀφίημι, χάριν
δὲ τοῦ ἀδελφοῦ ᾿Ανδρονίκου· πάνυ γάρ, ὡς ὁρᾷς, δάκνομαι δι᾿
αὐτὸν τὴν ψυχήν· πλὴν μίαν αἰτῶ ταύτην αἴτησιν καὶ δικαίαν·
μετὰ τὸ τὸν χοῦν ἀποδοῦναί με τῇ γῇ χάρτην εὑρήσεις ἐνταῦθα
(τὴν στρωμνὴν ὑποδείξασα)· τοῦτον ἀναγνοὺς χείρισαι καὶ τῷ ἀββᾷ
᾿Ανδρονίκῳ». οὕτως εἶπε καὶ τῶν ἀχράντων μυστηρίων μεταλα-
f. 148 βοῦσα χερσὶ τοῦ πλάσαντος τὴν ψυχὴν || ἐναπέθετο. πάντες οὖν
συναχθέντες οἱ μοναχοὶ τῆς μονῆς, ἐφ᾿ ᾧ ταύτην κηδεύσαντες καὶ
ταφῆς ἀξιώσουσι, θαῦμα βλέπουσι ξένον καὶ νοῦν ἐκπλῆττον ἅμα
καὶ ἀκοήν· γυναῖκα τὸν νομιζόμενον ἄνδρα. τούτου δὲ διαφημι-
σθέντος ἁπανταχοῦ τῆς σκήτης, πολὺ πλῆθος πατέρων συνέρρευσαν
καὶ αὐτῆς σχεδὸν τῆς ᾿Αλεξανδρείας, μιᾷ φωνῇ τὸν Θεὸν ἐπὶ τούτῳ
δοξάζοντες.

12. Τὰ νενομισμένα τοίνυν τελέσαντες καὶ τὸ τίμιον αὐτῆς
κατασπασάμενοι σῶμα τῷ τάφῳ τῶν πατέρων κατέθεντο, πλεῖστα
τοῦ Θεοῦ σημεῖα δι᾿ αὐτῆς τῇ καταθέσει τελέσαντος. τῶν πατέρων
οὖν ἀπαναστάντων ἐκεῖθεν, ἔμεινεν ὁ γέρων, τῆς ὁσίας ἐκτελέσων
col. 2 τὰ ἔννατα· μνησθεὶς δὲ τῶν ταύτης ῥημάτων τὸν χάρτην | ἐκεῖνον
ἐπὶ χεῖρας λαβὼν καὶ τὰ ἐγκείμενα καὶ ἅπερ οὐκ ἠγνόει τάχος
ἐπιών, τῷ ᾿Ανδρονίκῳ δίδωσιν· ὃς γνοὺς τὴν αὐτοῦ ταύτην ᾿Αθα-
νασίαν εἶναι (οὐδὲ γὰρ ᾔδει τοῦτο μέχρι γε τούτου), τί χρὴ λέγειν,
οἵαις αὐτὴν ἀνεκαλεῖτο φωναῖς. ὅμως τὰ ἔννατα τετελεκότος τοῦ
γέροντος καὶ πρὸς τὴν οἰκείαν ἀπιόντος μονήν, μοναχός τις τοῦ
᾿Οκτωκαιδεκάτου τάχος αὐτὸν καταλαβὼν «῾Ο ἀββᾶς ᾿Ανδρόνικος»
ἔφη «τὸν βίον, πάτερ, ἐκβαίνει· χρὴ οὖν σὲ πρὸς αὐτὸν ὑποστρέψαι».
τούτων ὁ γέρων ἀκούσας οὐκ ὄκνῳ τὸ πρόθυμον ἤμβλυνεν, ἀλλ᾿

Rubro: v. 7 Ὃς, v. 10 Αἰτίαν, v. 20 Συναχθέντες, v. 26 Τοίνυν, v. 38 Τούτων
21 ἐκπλήττον

εὐθὺς τὴν μονὴν κατειλήφει καὶ τὸν Ἀνδρόνικον εὗρε πρὸς αὐτὴν τὴν ἔκπνευσιν ὄντα. τῶν πατέρων οὖν καὶ ἐπ' αὐτῷ || συνελθόντων *f. 148*ᵛ καὶ εὐχήν, οἷα σύνηθες αὐτοῖς, ποιησάντων, τὴν μακαρίαν ψυχὴν ἐκεῖνος χερσὶν ἀγγέλων παρέθετο. ᾄσαντες οὖν καὶ τελέσαντες ἐπ' αὐτῷ τὰ νενομισμένα σὺν τῇ καλῇ τοῦτον Ἀθανασίᾳ κατέθεντο, παννύχους ἐκτελέσαντες ἐπ' αὐτοῖς ὑμνῳδίας.

13. Οὗτος ὑμῶν ὁ βίος, μακάριοι, αὕτη τῆς πολιτείας ἡ πρᾶξις, ἣν οὐκ ἄξιον δοθῆναι σιγῇ νενομίκαμεν, οὐδὲ τοῖς τῆς λήθης ἐνθάψαι βυθοῖς, οὕτω μεγάλην οὖσαν καὶ ὑψηλήν. πιστοῦνται τὸν λόγον τὰ κατὰ πάντα τόπον θαύματα καὶ μᾶλλον τὰ κατὰ τὴν Ἀττάλου πόλιν τῆς Παμφυλίας ὁσημέραι τελούμενα παρ' ὑμῶν, ἧς προτείχισμα τὸ πάντιμον ὑμῶν τέμενος ἵδρυται, | παντὸς νοσή- *col. 2* ματος ἰατρεῖον ἄμισθον γνωριζόμενον· καὶ γάρ ὁ τὸ κατιὸν τῆς θείας ὑμῶν εἰκόνος ὡς ἔκ τινος πηγῆς ἡδύπνοον μύρον πιστῶς ἀρυόμενος καί τινι πάθει προσφέρων, χρίων ἐκεῖνο καὶ συνεχῶς ὑπαλείφων οὐχ ἁμαρτάνει τῆς θεραπείας, ὅτῳ ἂν εἴη νοσήματι κατεχόμενος. καὶ νῦν οἰκοῦντες ἐν σκηναῖς τῶν δικαίων καὶ τὰς δωρεὰς ἡμῖν ὑφαπλοῦντες τῶν θαυμάτων, πανθαύμαστοι, νέμοιτε καὶ βασιλεῖ ἡμῶν τῷ ὀρθοδόξῳ καὶ τὰ πάντα χρηστῷ μακρὰν τὴν ζωὴν καὶ ἤρεμον εἰς ἅπαν, ἰσχυρὰν ἐχθροῖς καὶ ἀπρόσμαχον ὅλως, χρηστήν, προσηνῆ τοῖς ὑπ' αὐτὸν τελοῦσιν, ἀλλὰ καὶ δόξης δικαίων μετουσίαν, ἡμεροφαῆ τὴν ἄνω κατοικίαν, λόγων δεξιῶν || ὅλων τὴν *f. 149* εὐκληρίαν, πάσης ἀναπαύσεως τὴν εὐφρασίαν καὶ βασιλείας Θεοῦ τὴν εὐτυχίαν· ὅτι | Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ *col. 2* κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Rubro: v. 7 **Οὗτος**, v. 19 **Μακρὰν**, v. 23 **Πάσης**
14 μῦρον 16 οὐχαμαρτάνει

Μηνὶ τῷ αὐτῷ γ'.

ΜΑΡΤΥΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΕΥΤΡΟΠΙΟΥ, ΚΛΕΟΝΙΚΟΥ ΚΑΙ ΒΑΣΙΛΙΣΚΟΥ.

1. Τοὺς μαρτυρικοὺς ἀγῶνας καὶ τὰ παλαίσματα γενναίως ἐν Ἀμασείᾳ διηνυκὼς ὁ καλὸν ἐν μάρτυσι λάμπων Θεόδωρος καὶ ἤδη πρὸς Χριστὸν ἀπὸ γῆς ἀναλύσας τὸν θαυμαστὸν Εὐτρόπιον καὶ Κλεόνικον (ἀδελφὸς δὲ ὁ Κλεόνικος ἐκ μητρὸς Εὐτροπίου), col. 2 Βασιλίσκον τε τὸν οἰκεῖον ἀνεψιὸν τοὺς | συστρατιώτας ὁμοῦ καὶ συνάθλους τῇ φυλακῇ καταλέλοιπε (Καππαδόκαι δὲ ἦσαν Εὐτρόπιος καὶ Κλεόνικος· ὁ γὰρ Βασιλίσκος καὶ ὁ Θεόδωρος τῆς χώρας Ἀμασείας ἐξώρμηντο, κώμης τῆς Χουμιάλων), πολλὰ δεηθεὶς ὑπὲρ αὐτῶν τοῦ Θεοῦ καλῶς καὶ αὐτοὺς τὸν τῆς ἀθλήσεως ἀνύσαι δρόμον καὶ f. 149v μὴ διαμαρτεῖν τοῦ σκοποῦ· ὃ δὴ καὶ γέγονε, τοῦ Θεοῦ || πεπληρωκότος τὴν τοῦ μάρτυρος αἴτησιν· καὶ ὅπως, ὁ λόγος δηλώσει.

2. Τοῦ δυσσεβοῦς Ποπλίου τοῦ ἡγεμόνος τὴν ζωὴν κακῶς ἐκμετρήσαντος, Ἀσκληπιόδοτος ἀντ' αὐτοῦ παρὰ Μαξιμιανοῦ καταπέμπεται, λοιμὸς ἀνὴρ καὶ κακῶν εὑρετής, τὸ γένος Φρύξ, τὸν τρόπον δεινός. οὗτος προκαθίσας ἐπὶ τοῦ βήματος τὰ τοῦ μάρτυρος Θεοδώρου πρότερον ἀναγνωσθῆναι προσέταξεν ὑπομνήματα καὶ ἐπείπερ ἐφεύροι τούτοις ἐγκειμένους τοὺς περὶ τὸν Εὐτρόπιον καὶ μάθοι παρὰ τῇ φυλακῇ τούτους διάγειν, αὐτίκα τὸν ἐπὶ τῶν ὑπομνημάτων Εὐκλάσιον ἀχθῆναι τούτους διωρίσατο τάχος· ὃς δὴ col. 2 στρατιώτας ἐκπέμψας ἐκέλευσεν· αὐτοὺς ἀγαγεῖν. τῶν | μαρτύρων οὖν τῆς φυλακῆς ἐξιόντων φωνὴ γίνεται πρὸς αὐτοὺς οὐρανόθεν, «Θαρσεῖτε» λέγουσα, «ἐν φωτὶ γὰρ ζώντων τῷ Θεοδώρῳ συναναπαύσεσθε». τοιγαροῦν ἤγοντο ψάλλοντες· «Ἰδοὺ δὴ τί καλὸν ἢ τί τερπνόν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό». καὶ οὕτως ἔστησαν ἐνώπιον τοῦ ἡγεμόνος.

3. Δεινὸν οὖν ἐκεῖνος καὶ μανικὸν εἰς αὐτοὺς ἀπιδών, καὶ μᾶλλον ὅτι καὶ τὸν τῆς θεοῦ ναὸν πυρὶ παρὰ τοῦ Θεοδώρου κεκαυμένον ἑώρα, πρὸς μόνον τὸν Εὐτρόπιον τὸν λόγον ἀπέτεινεν· εἶχον καὶ γὰρ οἱ μάρτυρες φαιδρὰ σὺν ταῖς ψυχαῖς καὶ τὰ πρόσωπα τῶν λουτροῖς πλέον καὶ ἀνέσεσι προσκειμένων. «Πῶς ὑμεῖς οὕτω φαι-

Rubro: v. 4 *Τοὺς*, v. 15 *Τοῦ*, v. 23 *Μαρτύρων*, v. 29 *Ἐκεῖνος*

5 *Ἀμασία* 8 *τὲ τὸν* 10 *Ἀμασίας* 12 *ἀνῦσαι* 20 *ἐφεῦροι* 22 *διορίσατο* 27 *ἐπιτοαυτό*

26—27 *Ἰδοὺ — τὸ αὐτό*: Psal. 132 (133), 1.

δροὶ καὶ χαρίεις» ἔφη, «τῇ φυλακῇ || προσμένοντες, καὶ τίνα γε f. 150 ὑμῶν τὰ ὀνόματα; ὅμως, ἵνα τἆλλα παρῶ, πεῖσον τοὺς σὺν σοὶ θυσίαν, Εὐτρόπιε, προσαγαγεῖν μετὰ σοῦ τοῖς θεοῖς, καὶ γνωρίσω τοῦτο τοῖς βασιλεῦσι, καὶ ἡγεμόνα σε μετ' ἐμὲ καταστήσουσιν· εἰ δέ μου ταῖς παραινέσεσι ταύταις μὴ πεισθῆναι θελήσεις, μεληδόν σου κατακόψας τὰς σάρκας οὕτω σε καὶ κυσὶ παραθήσω καὶ τὰ καταλελειμμένα σου τῶν ὀστῶν πυρὶ παραδώσω· ἀλλὰ τί ταῦτα λέγω; μόνον εἴ γε λόγον εἴποις, Εὐτρόπιε (κήδομαι γάρ σου), 'θύω', ἀπολυθήσῃ πάντως καὶ βίον ζήσεις ἐλεύθερον καὶ πλούτου καὶ δόξης μεστόν».

4. Ἤκουσε τούτων Εὐτρόπιος καὶ «Υἱὲ» φησὶ «διαβόλου καὶ κληρονόμε γεέννης ⟨εἶπεν⟩, ἐμὲ μεταπείσειν ἐπιχειρεῖς, ἐμὲ τοῦ πάντων | ἀποστῆναι Θεοῦ καὶ δαίμοσι προστεθῆναι; μή σοι εἴη col. 2 καλῶς, ἵνα με πλούτῳ καὶ δόξῃ τοῖς ἴσα καὶ σκιᾷ λυομένοις ἐξαπατήσῃς, ἢ βασάνων πείσῃς ἐπαγωγαῖς ποτε συνθέσθαι σοι πρὸς τοῦτο. ἐμοὶ γὰρ καὶ πλοῦτος καὶ δόξα Χριστός ἐστι, ναὶ δὴ καὶ ὑπομονὴ καὶ στέφος καυχήσεως· ποίει τοιγαροῦν ὃ βούλει καὶ πράττε τὸ σοὶ παριστάμενον· σὺ γὰρ εἰ λογισμοῦ κύριος ἦς, συνῆκας ἂν ἐκ τῶν χθὲς ἀνεγνωσμένων σοι Θεοδώρου τοῦ μάρτυρος ὑπομνημάτων, ὡς οὐδὲν οἱ θεοί σου τοὺς εἰς αὐτοὺς ἠλπικότας ὠφελῆσαι δύνανται· οὐδὲ γὰρ ἂν ἡ γῆ τὸν τοῦ Ποπλίου νεκρόν, ὡς ἐκ τούτων ἔγνως, διέπτυσεν, εἴ γε δυνατῶς εἶχον αὐτῷ βοηθεῖν. ἴσθι τοιγαροῦν, ὡς τὰ ὅμοια πάθῃς καὶ σὺ || κατά γε τὸν παρόντα δηλαδὴ f. 150v βίον· τὰ γὰρ κατὰ τὸν μέλλοντα, πῦρ ὑμᾶς ἐκδέξεται καὶ σκώληξ ἀκοίμητος, τὰ μηδέποτε λήγοντα».

5. Θυμοῦται τούτων ἀκούσας Ἀσκληπιόδοτος καὶ κελεύει βώλοις μολύβδου τὸ πάντιμον ἐκείνου τύπτεσθαι στόμα καὶ λίθοις τοὺς ὀδόντας ἐκκρούεσθαι· καὶ μέντοι δὴ καὶ γέγονε τοῦτο πάντως· οὐκ ἠμέλησε δὲ τὸ παράπαν ἡ δίκη· αἱ χεῖρες γὰρ τῶν δημίων αὐτίκα παρείθησαν· διὸ καὶ φόβος εἷλε τὸν ἡγεμόνα, καὶ τὴν ψυχὴν ἐμερίσθη· τῇ κακίᾳ δὲ τὴν ῥοπὴν ὅμως δοὺς «Θῦσον» ἔφη «τοῖς θεοῖς, Εὐτρόπιε, θῦσον, λέγω σοι, μὴ κακῶς ἀποθάνῃς». — «Οὐ θύω δαίμοσιν ἀναισθήτοις» ὁ μάρτυς εἶπεν, «ὁμοίως ἀναισθητοῦσί σοι, Θεῷ δὲ | μόνῳ θύσω καὶ θυσίαν αἰνέσεως, ὅς ἐστι col. 2 Χριστὸς ὁ τοῦ Θεοῦ ζῶντος υἱός».

6. Ἀπειρηκὼς οὖν ὁ δικάζων ἐν τούτοις «Ὑμεῖς δὲ τί λέγετε;» πρὸς τὸν Κλεόνικον ἀπιδὼν καὶ τὸν Βασιλίσκον ἔφη· «θύειν καλῶς ποιοῦντες θέλετε, ἢ ταῖς αὐταῖς Εὐτροπίῳ βασάνοις ὑποβληθῆναι;»

Rubro: v. 11 *Τούτων*, v. 26 θυ|*Μοῦται*, v. 33 δαί|*Μοσιν*, v. 36 *Ἀπειρηκώς*
1 χαρίεις: χαρίεντες? 12 εἶπεν *delendum* 15 ποτὲ 26 βόλοις 33 θύωι

καὶ οἱ ἅγιοι· «Μὴ ἄλλο τι φρονεῖν ἡμᾶς, ἡγεμών, παρὰ τὸν Εὐτρόπιον γίνωσκε· τὰ αὐτὰ γάρ σοι λέγομεν, ἅπερ καὶ οὗτος· οὐκ ἀποστήσεις ἡμᾶς τοῦ Χριστοῦ, οὐ διαστήσεις ἡμᾶς τοῦ σκοποῦ· οὐ θύσομέν σου ποτὲ τοῖς θεοῖς· τοίνυν ὃ βούλει ποίει καὶ ἐφ' ἡμῖν· τρίπλοκος γὰρ ἡμεῖς σειρὰ γνωριζόμεθα, τῇ Τριάδι τετειχισμένοι, παρ' ἧς καὶ ἀδιάρρηκτοι μένομεν». ταῦτα τούτων εἰπόντων ὁ ἡγεμὼν τείνεσθαι || (f. 151) [κελεύει αὐτοὺς καὶ πίσσης] ἐνεχθῆναι λέβητας καὶ καταχεθῆναι τῶν νώτων αὐτῶν ἀπηνῶς. γίνεται τοῦτο, καὶ οἱ μὲν ἅγιοι κακῶν ἐτηρήθησαν ἀπαθεῖς, οἱ δέ γε πονηροὶ τοῦ δυσσεβοῦς ὑπηρέται, τῆς πίσσης ἐκδραμούσης, κατεκαύθησαν εἰς ἅπαν καὶ παντελῶς ἠχρειώθησαν.

7. Τί οὖν τὸ μετὰ ταῦτα; μαίνεται τὸ τοῦ δαίμονος ἐργαστήριον ὁ κακομήχανος ἄρχων καὶ σιδηροῖς ὄνυξι προστάττει τὰς μαρτυρικὰς ἐκείνας καταξαίνεσθαι σάρκας καὶ δριμεῖς ἅλας ἐπιπάττεσθαι ταύταις καὶ πάλιν ἐπαναξαίνεσθαι. γενομένου δὲ καὶ τούτου μετὰ πολλῆς τῆς σπουδῆς, τὴν ἐξ ὕψους οἱ μάρτυρες ἐπεκαλοῦντο βοήθειαν· διὸ καὶ πρὸς τὸν τύραννον ἔλεγον· «Σπεῦσον, ὑπηρέτα τοῦ σατανᾶ, σπεῦσον τῆς παρούσης ἡμᾶς ἀπαλλάξαι | (col. 2) ζωῆς· ἐπιποθοῦμεν γὰρ τὸ πρόσωπον ἰδεῖν τοῦ Θεοῦ». ἀλλὰ τότε μὲν ὁ δικαστὴς τῇ φυλακῇ παρέδωκε τούτους· πρωΐας δὲ γενομένης ἄγει πάλιν ἐπὶ τοῦ βήματος, καὶ ἐπεὶ πολλὴν πεῖραν λόγων ἐπαγαγὼν ἀμεταθέτους ἑώρα, δίδωσι τὴν κατ' αὐτῶν ἀπόφασιν, «Εὐτρόπιον μὲν» εἰπὼν «καὶ Κλεόνικον, μὴ πεισθέντας κατὰ τὸ δόγμα τῶν αὐτοκρατόρων θυσίαν προσενεγκεῖν τοῖς θεοῖς, σταυρωθῆναι κελεύω, τὸν δέ γε τρίτον αὐτῶν Βασιλίσκον παραδοθῆναι καὶ πάλιν τῇ φυλακῇ».

8. Τῆς ἀποφάσεως οὖν οὕτως ἐξενεχθείσης καὶ τῶν ἁγίων κατὰ τὸν τόπον τῆς τελειώσεως ἀπαχθέντων, ἡ πόλις πᾶσα συνέδραμεν ἰδεῖν τὸ γινόμενον· καὶ δὴ καὶ καθήλωσαν αὐτοὺς τοῖς ξύλοις οἱ || (f. 151v) δυσσεβεῖς εὐχομένους οὕτω καὶ λέγοντας· «Εὐχαριστοῦμέν σοι, κύριε βασιλεῦ, καὶ δοξάζομέν σου τὸ ἀγαθὸν ὄνομα, ὅτι κατηξίωσας ἡμᾶς κοινωνοὺς γενέσθαι τῶν παθημάτων σου· ἀξίωσον, φιλάνθρωπε δέσποτα, καὶ τῆς σῆς ἡμᾶς δόξης γενέσθαι κοινωνοὺς καὶ μετὰ φαιδροῦ τοῦ φωτὸς εἰσαχθῆναι πρὸς τὸν νυμφῶνά σου». καὶ οὕτως αὐτῶν εὐξαμένων φωνὴ γέγονεν ἐκ τῶν οὐρανῶν, «Εὐτρόπιε» λέγουσα «καὶ Κλεόνικε, καλῶς ἀνύσαντας τὸ μαρτύριον εἰς

Rubro: v. 1 *Μή*, v. 8 *Γίνεται*, v. 12 *Οὖν*, v. 15 *Δέ*, v. 20 *Πρωΐας*, v. 27 *ἀποφά|Σεως*, v. 35 *Αὐτῶν*

7 *κελεύει — πίσσης* inserui 14 *ἐκεῖνας* 15 *ταύτας* 31 *ἀγαθόν*: *ἅγιον*? 34 *νυμφῶνα σου*

τὰς αἰωνίους νῦν ὑμᾶς προσκαλοῦμαι σκηνάς». καὶ ταῦτα τῆς
φωνῆς εἰπούσης εἰς χεῖρας Θεοῦ τὰς ψυχὰς οἱ μάρτυρες ἐνδόξως
παρέθεντο. Κόϊντος δὲ καὶ Βελόνικος, ἄνδρες εὐλαβεῖς καὶ συγ-
κλητικοί, τὰ πάντιμα τούτων αἰτησάμενοι | καὶ λαβόντες σώματα, col. 2
τὸ μέν, τὸ τοῦ Εὐτροπίου ὁ Βελόνικος ἐν τῷ ἰδίῳ κτήματι Θερμὰ
καλουμένῳ καὶ σημείων ὀκτωκαίδεκα τῆς Ἀμασείας ἀπέχοντι πι-
στῶς καὶ ἐντίμως κατέθετο, τὸ δέ, τὸ τοῦ Κλεονίκου ὁ Κόϊντος εἰς
χωρίον διεστὸς ἐξ Ἀμασείας μιλίων τριάκοντα φιλοτίμως ἔθαψεν·
ἐν οἷς καὶ μεγάλαι γίνονται θεοσημεῖαι μέχρι τοῦ νῦν εἰς δόξαν τοῦ
παντοδυνάμου Θεοῦ. καὶ οὕτω μὲν τὰ περὶ αὐτῶν.

9. Ὁ δέ γε θαυμαστὸς Βασιλίσκος τῇ φυλακῇ παραδοθείς, ὡς
ἡ τοῦ ἄρχοντος εἶχεν ἀπόφασις, ἐν ταύτῃ προσεκαρτέρει. κατ᾽
ἐκεῖνον δὲ τὸν καιρὸν τοῦ δυσσεβοῦς εἰσέτι Μαξιμιανοῦ βασιλεύον-
τος, στέλλεταί τις ἡγεμὼν Ἀγρίππας καλούμενος, Ἀσκληπιοδότου
διά||δοχος· ὃς τὰ τῆς ἀνατολῆς μέρη περιιὼν οὐκ ἔστιν εἰπεῖν ὅσοις f. 152
ὑπέβαλλε κακοῖς τοὺς εὑρισκομένους χριστιανοὺς ἐν αὐτοῖς. μαθὼν
οὖν τὰ περὶ Βασιλίσκου, ὡς εἴη καθειργμένος ἐν τῇ φρουρᾷ παρὰ
τοῦ πρὸ τούτου τὴν ἡγεμονίαν ἔχοντος, καὶ μέλλων ἀπὸ τῆς Ἀμα-
σηνῶν μητροπόλεως πρὸς Κόμαναν ἀπαίρειν κελεύει κρηπῖσι σιδη-
ραῖς ἥλους ὀξεῖς ἐχούσαις τοὺς αὐτοῦ, φεῦ, ὑποδυθῆναι πόδας καὶ
πρὸς τὴν ὁδὸν ἐλαύνεσθαι μαστιζόμενον. καὶ δὴ τούτου γενομένου
καὶ πρὸς τὴν Κόμαναν ἀπὸ Χουμιάλας τῆς κώμης (ἐν ταύτῃ γὰρ
ἔτυχε, τῆς φυλακῆς ἐπὶ μικρὸν ὑπὸ τῶν φυλάκων ἀνεθείς, πρὸς
τοὺς οἰκείους διάγων) ἀπηνῶς ἀπαγόμενος ἐφοίνισσε μὲν τὴν γῆν
τοῖς αἵμασι τῶν πο|δῶν, ἐξέπληττε δὲ τοὺς ἀπάγοντας τῇ τῶν col. 2
πόνων ὑπομονῇ. καὶ δή τινα κώμην καταλαβόντων Δακόνζαρ λεγο-
μένην καὶ τὸν ἐκ τῆς ὁδοῦ κόπον ἐν αὐτῇ διαναπαύειν μελλόντων
καί τινος γυναικὸς ἐν οἰκίᾳ, Τρωϊανῆς καλουμένης, καταλυσάντων,
ὁ ἅγιος δένδρῳ πλατάνῳ προσεδέθη ξηρῷ. πολλῶν οὖν ὄχλων ἐπ᾽
αὐτὸν συνδραμόντων, αὐτὸς εὐχόμενος ἦν καὶ διδάσκων αὐτούς.
καὶ ἅμα σεισμὸς γίνεται μέγας, καὶ τὸ δένδρον φύλλοις ὡρᾶτο κατά-
κομον καὶ πηγὴ διειδοῦς ὕδατος ὑπὸ ταῖς αὐτοῦ ῥίζαις ἐκφερο-
μένη, ἥτις καὶ εἰς δεῦρο μένει, κηρύττουσα τὸ παράδοξον.

10. Οἱ τοίνυν στρατιῶται φόβῳ καὶ θαύματι τὰς ψυχὰς μερι-
σθέντες καὶ || τῶν δεσμῶν ἀφέντες τὸν ἅγιον ἐπίστευσαν τῷ Χριστῷ, f. 152v
ναὶ δὴ καὶ ἡ τοῦ οἴκου κυρία τῇ ὀρθοδόξῳ πίστει προσῆλθε πα-
νοικί, καὶ τὸ πλῆθος δὲ τῆς κώμης τοὺς ἀρρώστους αὐτῶν καὶ
τοὺς δαιμονῶντας προσάγοντες αὐτῷ καὶ ὑγιεῖς λαμβάνοντες ἐπί-

Rubro: v. 11 Θαυμαστός, v. 13 Δέ, v. 29 Οὖν, v. 34 Οἱ

19 κρηπίσι 26 δακόνζάρ 31 κατάκωμον 32 διηδοῦς

στευσαν ὁμοθυμαδόν· καὶ ἦν χαρὰ καὶ ἀγαλλίασις κατὰ τὴν ἡμέραν ἐκείνην.

11. Τῇ ἐπαύριον οὖν καταλαβόντες τὴν Κόμαναν παριστῶσι τῷ ἡγεμόνι τὸν μάρτυρα· ὁ δὲ πρὸς τὸν τοῦ Ἀπόλλωνος ναὸν εἰσαχθῆναι τοῦτον κελεύει δυοῖν ἕνεκα τούτων· ἢ θύσαντα ζῆν ἐαθῆναι, ἢ μὴ τοῦτο ποιοῦντα θανάτῳ παραδοθῆναι. ἀπηγγέλη ταῦτα τῷ Βασιλίσκῳ, καὶ ὃς «Τῷ ἐμῷ» ἔφη «Θεῷ θύσω καὶ θυσίαν αἰνέσεως,
col. 2 *ὅς ἐστι | μέγας καὶ ὑψηλὸς παρὰ πάντας τοὺς θεούς, οὗ τὴν δύναμιν καὶ οὗτοι διέγνωσαν»·, τοὺς ἀγαγόντας ὑποδείξας αὐτὸν στρατιώτας, οἵτινες καὶ αὐτοὶ μεγάλα τὰ κατὰ τὴν ὁδὸν τελεσθέντα παρὰ τοῦ Βασιλίσκου θαύματα μεγαλοφώνως ἔλεγον εἶναι καὶ ὅτι μέγας ἀληθῶς ὁ Θεὸς τῶν χριστιανῶν. ἀλλὰ τοῦτον μὲν οἱ στρατιῶται μὴ πειθόμενον θῦσαι τῷ ἡγεμόνι προσήγαγον, κἀκεῖνος φοβερὸν ἐμβλέψας αὐτῷ «Διὰ τί» φησὶν «οὐ θύεις, ἀνόσιε, κατὰ τὸ θεῖον καὶ βασιλικὸν πρόσταγμα τοῖς θεοῖς;» καὶ ὁ ἅγιος· «Καὶ τίς ἄρα σοι τοῦτο λελάληκεν, ἡγεμών, ὡς οὐ θύω τῷ Θεῷ; ναί, θύω τούτῳ τὴν λογικὴν λατρείαν καὶ καθαράν.» μὴ συνεὶς οὖν ὁ ἀσύνετος, ὅ τι καὶ βούλοιτο τῷ ἁγίῳ τὸ ῥῆμα, «Χάρις» ἔφη «τοῖς ||*
f. 153 *θεοῖς καὶ μάλιστα τῷ Ἀπόλλωνι». καὶ ἅμα τῷ λόγῳ καὶ τὸν ναὸν εἰσῆλθον. διαπετάσας τοίνυν εἰς οὐρανὸν ὁ μάρτυς τὰς χεῖρας, «Ὁ Θεὸς» εἶπεν «ὁ παντοκράτωρ, ὁ μόνος βασιλεὺς τοῦ παντός, εἰσάκουσόν μου τῆς προσευχῆς καὶ δεῖξόν σου τὴν ἀνίκητον δύναμιν σήμερον ἐπ' ἐμοί, ὅτι σὺ εἶ μόνος Θεὸς καὶ ποιητὴς τῶν ἁπάντων». καὶ εὐθὺς πῦρ οὐρανόθεν κατιὸν τόν τε ναὸν καὶ τὸ τοῦ Ἀπόλλωνος ἐνεπύρισεν ἄγαλμα, ὡς πάντας μὲν ἔξω φυγεῖν καὶ τὸν ἡγεμόνα, μόνον δὲ τὸν ἅγιον ἔνδον ὑπολειφθῆναι Θεῷ τὴν εὐχαριστίαν ἀποδιδοῦντα.*

12. Τότε θυμοῦ πλησθεὶς ὁ παράνομος ἄρχων τὴν τελευταίαν ψῆφον ἐκφέρει ξίφει μὲν ἀποτμηθῆναι κελεύσας τὴν αὐτοῦ κεφα-
col. 2 *λήν, τὸ δὲ σῶ|μα ῥιφῆναι τῷ ποταμῷ. ἀπετμήθη μὲν οὖν, ὦ πανάριστε μάρτυς, ἡ πάντιμος κάρα σου, τὸ δέ γέ σου πολύαθλον σῶμα Μαρῖνός τις χρηστὸς ἀνὴρ καὶ πιστὸς τριάκοντα χρυσίων λαβὼν ἐν Κομάνοις εἰς τὸν ἴδιον κατέθετο τόπον, ναὸν ἀνεγείρας τερπνὸν καὶ περικαλλῆ. καὶ νῦν σὺν τοῖς συνάθλοις σου ταῖς οὐρανίαις αὐλαῖς ἐμφιλοχωρῶν αἴτησαι δοθῆναι βασιλεῖ ἡμῶν τῷ ὀρθοδόξῳ καὶ φιλομάρτυρι μακρὰν τὴν ζωήν, ἀπρόσκοπον καὶ ἀτάραχον, ἱλασμὸν ἐσφαλμένων ἐν βίῳ καὶ συγγνώμην, χειρὸς κατ'*

Rubro: v. 3 *Ἐπαύριον*, v. 6 *ἀπηγ|Γέλλη*, v. 12 *ἀλ|Λὰ*, v. 16 *Ἄρα*, v. 28 *Τότε*, v. 36 *Μακρὰν*

6 ἀπηγγέλλη 14 διατί 32 μαρῖνος τίς

ἐχθρῶν Θεοῦ τὴν συμμαχίαν, ἀύλων σκηνῶν τὴν τερπνὴν κατοικίαν, ἡλίου λάμψιν τοῦ τῆς δικαιοσύνης, πάσης ἡδονῆς θείας τὴν μετουσίαν καὶ βασιλείας || Θεοῦ τὴν εὐτυχίαν· ὅτι Χριστῷ τῷ Θεῷ *f. 153v* πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν | καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν *col. 2* αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ δʹ.

ΜΑΡΤΥΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΠΑΥΛΟΥ ΚΑΙ ΙΟΥΛΙΑΝΗΣ ΤΗΣ ΑΔΕΛΦΗΣ ΑΥΤΟΥ ΚΑΙ ΤΩΝ ΣΥΝ ΑΥΤΟΙΣ.

1. Αὐρηλιανὸς ὁ δυσσεβὴς βασιλεὺς διωγμὸν ὅτι μέγιστον διὰ τῶν ὑπ' αὐτὸν ἀρχόντων κατὰ πᾶσαν τὴν ὑπὸ Ῥωμαίους κινήσας ἀρχήν, αὐτὸς τὴν Συρίαν καταλαβὼν εἰς Πτολεμαΐδα γίνεται· καὶ δὴ τὴν πόλιν εἰσιόντα μετὰ σοβαροῦ τοῦ φρονήματος ὁ Παῦλος ἰδών, ἐκεῖ|σέ που παρών, τῷ ἑαυτοῦ προσώπῳ τὸ τοῦ σταυροῦ *col. 2* σημεῖον ἐνεχάραξεν· ὃν ὁ δεινὸς οὗτος τύραννος τοῦτο πράξαντα κατιδὼν ἄγει τάχος πρὸς αὐτὸν καὶ «Τίς εἶ, ὦ τρισάθλιε», λέγει, «καὶ τί σου τὸ ὄνομα καὶ πῶς τοῦτο δρᾶσαι τετόλμηκας τὸ παράνομον; ἢ οὐκ ἔγνωσταί σοι τὰ βασιλικὰ διατάγματα;» καὶ ὁ ἅγιος «Εἰμὶ μὲν τῆςδε τῆς πόλεως» ἔφη, «βασιλεῦ, || καλοῦμαι δὲ Παῦλος· *f. 154* εἰμὶ καὶ χριστιανός, ὃς διὰ τὸν φόβον τὸν σὸν οὐδαμῶς ἀρνήσομαι τὸν Χριστόν μου, μὴ γένοιτο». καὶ ὁ τύραννος· «Οὐ φοβῇ τὰς βασάνους;» — «Οὐμενοῦν» εἶπεν ὁ Παῦλος· «πρόσκαιροι γάρ εἰσι καὶ παρέρχονται· φοβοῦμαι δὲ τὰς ἀτελευτήτους, ἃς Χριστὸς ἐπάγει τοῖς μὴ πιστεύουσιν εἰς αὐτόν». καὶ ὁ τύραννος· «Θῦσον, Παῦλε, προσελθὼν τοῖς θεοῖς, ἵνα μὴ κακῶς ἀποθάνῃς». — «Ἐγὼ Θεὸν ἕνα μόνον οἶδα» φησὶν ὁ μάρτυς «τὸν Χριστόν, καὶ τούτῳ θύσω θυσίαν ἀναίμακτον». ὀργίζεται τούτοις ὁ τύραννος καὶ κρεμασθέντα ξέεσθαι κελεύει τὸν ἀθλητήν.

2. Ἡ οὖν πάνσεμνος Ἰουλιανή, τὸν ἀδελφὸν οὕτω ξεόμενον ἰδοῦσα, δρομαία πρόσεισι τῷ βασιλεῖ καὶ «Ἵνα τί μου, τύραννε», λέγει, «τὸν ἀδελφὸν τιμωρεῖς; | τί γὰρ καὶ κακὸν ἔδρασε;» καὶ ὁ *col. 2* δυσσεβὴς «Τίς ἡ πάντολμος αὕτη» τοὺς παρεστῶτας ἤρετο «καὶ τί

Rubro: v. 2 *Πάσης*, v. 9 *Αὐριλλιανός*, v. 18 *Εἰμί*, v. 20 *Ὁ*, v. 25 *Μόνον*, v. 28 πάν|*Σεμνος*, v. 30 *Καὶ ὁ*

9 Αὐριλλιανὸς 21 οὐμενοῦν

τὸ ταύτης ὄνομα;» καὶ ἐπεὶ μάθοι καὶ ἀδελφὴν εἶναι Παύλου καὶ Ἰουλιανὴν ὀνομάζεσθαι, τύπτεσθαι καὶ ταύτην κατὰ τοῦ προσώπου προστάττει καί φησι πρὸς αὐτήν· «Θῦσον, Ἰουλιανή, τοῖς θεοῖς· οὐδὲ γὰρ ἄλλως μου τὰς χεῖρας ἐκφύγῃς». — «Οὐ φοβοῦμαί σου, τύραννε, τὰς ἀπειλάς» εἶπεν ἡ μάρτυς, «οὐ πτοοῦμαί σου τὰς βασάνους· ἔστι γὰρ Θεὸς ἐν οὐρανοῖς, ὃς ἡμᾶς ἐξέληται τῶν ἀδίκων χειρῶν σου, παράνομε». τότε κρεμασθῆναι καὶ ταύτην κελεύει καὶ ξέεσθαι. πρὸς ἣν ὁ Παῦλος, παραθαρρύνων ὥσπερ αὐτήν, «Ὑπό- (f. 154v) μεινον, ἀδελφή, τὰς βασάνους, ὑπόμεινον», ἔλεγε, || «μὴ δειλιάσῃς τὰς ἀπειλὰς τοῦ τυράννου· μικρὸν γὰρ ὅσον, καὶ ἐκλείψει ταῦτα, μένει δὲ ἡμῖν ἐν οὐρανοῖς ἀτελεύτητος δόξα».

3. Τῶν μαρτύρων οὖν οὕτως ἐχόντων ὁ τύραννος λέβητας ἐνεχθῆναι προστάσσει καὶ πίσσης αὐτοὺς πληρωθῆναι, κάτωθέν τε τούτων πῦρ ὑποστρωθῆναι πολὺ καὶ τὴν σεμνὴν δυάδα κατενεχθεῖσαν ἐν αὐτοῖς ἐμβληθῆναι. γίνεται τοῦτο, καὶ χαλῶνται τοῖς λέβησιν οἱ γενναῖοι· προσεύχονται τῷ Θεῷ, καὶ ψυχρὸν ὡς ὕδωρ αὐτοῖς τὸ παφλάζον τῆς πίσσης ἐγένετο· καὶ ἦσαν αἰνοῦντες ἐν μέσῳ καὶ εὐλογοῦντες τὸν κύριον. ὁ τύραννος οὖν τούτους ἐκεῖθεν ἐξαγαγὼν κλίνας σιδηρᾶς ἐνεχθῆναι κελεύει, ὑποστρωθῆναί τε πῦρ | (col. 2) πολὺ καὶ στέαρ αὐταῖς ἐντεθῆναι κἀν ταύταις τοὺς ἁγίους ἀνακλιθῆναι. γέγονε καὶ τοῦτο· καὶ τούτων μὲν οὐχ ἥψατο τὸ καθόλου τὸ πῦρ, ἥψατο δὲ τῆς τοῦ βασιλέως ψυχῆς, καὶ τοὺς στρατιώτας εὐθύς, ἅτε δὴ καταμελήσαντας τῆς πυρᾶς, τὰς κεφαλὰς ἐκκοπῆναι προστάττει. τούτων οὖν δέει ληφθέντων ὁ καλὸς καὶ θαυμάσιος Παῦλος «Μὴ φοβεῖσθε» λέγει πρὸς αὐτούς, «εἰς ἀθάνατον γὰρ λῆξιν πορεύεσθε καὶ βασιλείας Χριστοῦ κληρονόμοι γενήσεσθε». τότε τὰς χεῖρας εἰς οὐρανοὺς ἀνατείναντες «Δέσποτα Χριστέ», λέγουσιν, «ὁ Παύλου Θεὸς καὶ Ἰουλιανῆς, σὺ μεθ' ἡμῶν γενοῦ· εἰς σὲ γὰρ πιστεύομεν καὶ σὲ Θεὸν ἀληθινὸν ὀνομάζομεν». ταῦτα εἰπόντες τὰς κεφαλὰς ἀπετμήθησαν· Κοδρᾶτος καὶ Ἀκάκιος || (f. 155) ἐκαλοῦντο.

4. Ὁ δὲ παράνομος βασιλεὺς θυμομαχῶν κατὰ τῶν ἁγίων τῇ φυλακῇ τούτους δίδωσιν, ἁλύσεις αὐτοὺς κατά τε τοῦ τραχήλου, τῶν χειρῶν τε καὶ τῶν ποδῶν περιθείς, ναὶ δὴ καὶ τριβόλους ὀξεῖς κύκλῳ τούτων βαλὼν οὐκ εἴα τινὰ πρὸς αὐτοὺς εἰσελθεῖν παραμυθίας χάριν καὶ τῆς τυχούσης· ἀλλὰ Θεὸς ὁ τῶν αὐτοῦ θεραπόντων ἀντιλαμβανόμενος πάντοτε, φῶς ἄνωθεν αὐτοὺς περι-

Rubro: v. 4 *φο|Βοῦμαι*, v. 12 *μαρ|Τύρων*, v. 18 *Τούτους*, v. 24 *τού|Των*, v. 27 *Τότε*, v. 32 *πα|Ράνομος*, v. 36 *Ἀλλὰ*

33 *αὐτοὺς*: *αὐτοῖς*? 34 *χειρῶν τὲ*

λάμπει, καὶ ἅμα αἵ τε ἁλύσεις τοῦ σώματος αὐτῶν ἐξέπεσον καὶ κλῖναι δύο καὶ τράπεζα πλήρης αὐτοῖς ἀγαθῶν ἡτοιμάσθη· καὶ δὴ καὶ μετασχόντες τροφῆς κἀν ταῖς κλίναις ἀνακλιθέντες εὐλόγουν λαμπρᾷ τῇ φωνῇ τὸν Θεὸν καὶ ἐδόξαζον, ὡς ἐντεῦθεν τοὺς φύλακας δρόμῳ πρὸς αὐτοὺς γε|νέσθαι καὶ τὸ φῶς ἐκεῖνο κατιδεῖν καὶ τὴν *col. 2* τράπεζαν καὶ τὰς κλίνας, καί τινας ἐξ αὐτῶν προσδραμεῖν τῷ Χριστῷ.

5. Τρεῖς ἡμέραι παρῆλθον, καὶ τῷ βήματι τοὺς ἁγίους ὁ βασιλεὺς παραστῆναι κελεύει καί φησιν· «Οὔπω πεπείκασιν ὑμᾶς αἱ δειναὶ τιμωρίαι θῦσαι τοῖς ἀηττήτοις θεοῖς;» καὶ ὁ ἅγιος «Δαίμοσιν ἀλιτηρίοις καὶ κωφοῖς ξοάνοις οὔποτε πείσουσιν ἡμᾶς θῦσαι, κἂν εἰ πολλῷ χαλεπώτεραι προσενεχθεῖεν βάσανοι». πάλιν οὖν τὸ πρὸς ἀνάρτησιν ξύλον, πάλιν οἱ δεινοὶ ξυστῆρες τὰ μαρτυρικὰ δέχονται σώματα, καὶ πάλιν εὐχαῖς οἱ μάρτυρες καθοπλίζονται καὶ κούφως τὰς ὀδύνας φέρουσι. τῶν ξεόντων οὖν εἷς, Στρατόνικος ὄνομα, τῷ τῆς μάρτυρος κάλλει τρωθείς, φειδόμενος ὥσπερ τῷ ταύτης σώ||ματι τοὺς ξυστῆρας ἐπῆγεν· ἡ δὲ τοῦτο γνοῦσα τῷ πνεύματι «Μή» *f. 155v* φησι, «Στρατόνικε, μὴ οὕτω ποίει, πληροῦ δὲ τὴν τοῦ βασιλέως σου κέλευσιν· ἔχω γὰρ ἐγὼ Χριστὸν τὸν ἐπικουφίζοντά μου τοὺς πόνους». ἐθαύμασεν ὁ Στρατόνικος καὶ τὸν ξυστῆρα ῥίψας τῷ βασιλεῖ πρόσεισι καὶ «Ἵνα τί» φησὶ «τοὺς τοῦ Θεοῦ δούλους πικρῶς οὕτω βασανίζεις, τύραννε; ἢ οὐκ οἶσθα, ὡς μέγας ἐστὶν ὁ Θεὸς αὐτῶν;» ὁ δὲ πρὸς αὐτόν· «Ἠπάτησαι καὶ αὐτός, Στρατόνικε, καὶ χριστιανός, ὡς ὁρῶ, γέγονας· ἀλλὰ πόθεν καὶ διὰ τί;» ὁ τοίνυν στρατιώτης τοῦ Χριστοῦ Στρατόνικος τὸν βωμὸν ἐκεῖσέ που κείμενον διαλακτίσας κατέστρεψε καὶ «Μέγας» ἐβόησεν «ὁ Θεὸς τῶν χριστιανῶν». τότε θυμοῦ πλησθεὶς ὁ παράνομος βασιλεὺς τὴν κεφαλὴν αὐτοῦ διατμηθῆναι | προστάττει. γίνεται τοῦτο, καὶ μάρτυς ὁ καλὸς Στρατόνικος τῷ Χριστῷ προσηνέχθη· οὗ τὸ λείψανόν τινες τῶν *col. 2* πιστῶν ἀράμενοι φιλοτίμως ἔθαψαν.

6. Τῶν ἁγίων οὖν εἰσέτι μανιωδῶς ξεομένων ὁ τύραννος «Πῶς, ἀσεβεστάτη τῶν γυναικῶν», πρὸς Ἰουλιανὴν ἀπιδὼν ἔφη, «τὸν καλὸν ἠπάτησας στρατιώτην, ἢ πάντως μαγείαις τισίν;» — «Οὐκ ἠπάτηται, βασιλεῦ», ἡ μάρτυς εἶπεν, «ἐκλήθη δὲ πρὸς ζωὴν ἀτελεύτητον· καὶ οὗτος μὲν ἐν φωτὶ διάγων ἔσται, σὺ δὲ τῷ αἰωνίῳ παραδοθήσῃ πυρί». τότε κατενεχθέντας αὐτοὺς ἐκέλευσε πρὸς τὴν

Rubro: v. 8 ***Παρῆλθον***, v. 10 ***Καί***, v. 15 ***Οὖν***, v. 20 ***Ὁ***, v. 25 *στρατι|Ωτης*, v. 31 ***Οὖν***, v. 33 ***Οὐκ***

2 *κλίναι* 4 *λαμπρὰ τῇ φωνῇ* 18 *πλήρου* 24 *διατί* 29 *λείψανον τινὲς* 31 *εἰς ἔτι*

φυλακὴν ἀπαχθῆναι καὶ γόητάς τινας ἐνεχθῆναι καὶ φαρμακοὺς ἐπὶ συναγωγῇ διαφόρων ἑρπετῶν· ὧν κατά τι λουτρὸν ἐκπυρωθὲν || f. 156 συναχθέντων καὶ τῶν ἁγίων δὲ συνεισενεχθέντων αὐτοῖς, τῆς εἰσόδου τε φραγείσης τρισὶν ἐν ἡμέραις, ὁ ἀσεβής τινας ἔστειλε τῶν στρατιωτῶν ἰδεῖν, εἰ παρὰ τῶν ἑρπετῶν τούτων οἱ μάρτυρες ἀνῃρέθησαν. ὡς δὲ ζῶντας ἐκεῖνοι τούτους κατεῖδον καὶ κακοῦ παντὸς ἀπαθεῖς, καὶ φοβερὸν νεανίαν (ἄγγελος δὲ οὗτος ἦν) συμπαρόντα τούτοις καὶ ὥσπερ ἀποτρέποντα τὰς ὁρμὰς τῶν θηρίων, ταχὺ δραμόντες ἀπαγγέλλουσι ταῦτα τῷ βασιλεῖ. καὶ ὃς πρωΐθεν καθίσας ἐπὶ τοῦ βήματος ἀχθῆναι τοὺς ἁγίους ἐκέλευσε· καὶ ἀχθέντων αὐτῶν ὁ βασιλεὺς πρὸς αὐτούς· «Ὁ δεσπότης Ἀπόλλων, ὡς ἔμαθον, col. 2 ἀφίκετο πρὸς ὑμᾶς τάχα κατοικτείρων, οἷα συμπαθής, | καὶ βουλόμενος κοινωνοὺς ποιῆσαι τῆς ἐμῆς βασιλείας. εἴπατέ μοι τοίνυν, τίνα τὰ τῆς ἐκείνου μυσταγωγίας ῥήματα;»

7. Καὶ ὁ δεύτερος τοῦ μεγάλου Παύλου μιμητὴς καὶ τοῦ Χριστοῦ μαθητὴς ὁ θαυμάσιος Παῦλος· «Οὐ δυνατὸς Ἀπόλλων, βασιλεῦ, καὶ μόνον ὡς ἡμᾶς ἀποβλέψαι, μήτι γε μυσταγωγῆσαί τι· σοῦ γὰρ καὶ ἀπώλεια καὶ θεὸς καὶ μυσταγωγός· ἡμῖν δὲ ἄγγελος ἦν ὁ συνὼν τοῦ μεγάλου Θεοῦ, ὃς καὶ τῶν ἑρπετῶν τὰς ὁρμὰς ἀνέστειλε καὶ τὰς γνώμας ἐπράυνεν». ἀμείβεται τούτοις ὁ βασιλεύς, βώλοις μολυβδίναις τὰς αὐτῶν σιαγόνας συνθλάσας, «Μὴ ὑπερηφάνως φθέγγεσθε» λέγων· εἶτα καὶ πρὸς τὴν μάρτυρα, τὸν Παῦλον μεταστήσας, «Πείσθητί μοι, καλὴ γύναι», λέγει, «καὶ θῦσον τοῖς θεοῖς, || f. 156v καὶ στήλας σοι χρυσᾶς ἀνὰ πᾶσαν στήσω τὴν οἰκουμένην». ἡ δὲ «Μή σοι εἴη καλῶς» εἶπεν, «ἀνόητε, ἵνα με τοῖς ἀπατηλοῖς σου τούτοις λόγοις ἀποστήσῃς Χριστοῦ· ἐγὼ γὰρ πάντῃ σου τοῖς κιβδήλοις ἀπεταξάμην θεοῖς». μεθίστησι ταύτην τοῦ βήματος ὁ πανοῦργος καὶ τὸν Παῦλον μετακαλεῖται καί φησιν· «Ἰδοὺ δὴ καὶ Ἰουλιανή, Παῦλε, συνέθετο τοῖς θεοῖς προσελθεῖν, καὶ συνεθέμην ταύτῃ κἀγὼ καὶ γυναῖκα ποιῆσαι καὶ δέσποιναν τῆς ἐμῆς βασιλείας· θέλησον οὖν συνθέσθαι καὶ αὐτὸς ἡμῖν καὶ σαυτῷ τοὺς θεοὺς ἱλεώσασθαι». καὶ ὁ ἅγιος «Τὸν τοῦ ψεύδους πατέρα διδάσκαλον ἔχων» ἔφη, «βασιλεῦ, καλῶς τοῖς ἐκείνου ἔχρησαι ψεύδεσιν· ἀλλ' εἰς μάτην σου τὸ ἐγχείρημα».

col. 2 8. Θυμοῦ οὖν γε|μισθεὶς ἐπὶ τούτοις ὁ παράνομος ῥάβδοις σιδηραῖς πεπυρακτωμέναις τύπτεσθαι κελεύει τὸν μάρτυρα, τὴν δέ γε

Rubro: v. 6 ἐ|*Κεῖνοι*, v. 15 *Καὶ ὁ*, v. 20 *Τούτοις*, v. 27 *Τοῦ*, v. 32 *Ὁ* ἅγιος, v. 35 γε|*Μισθεὶς*

1 γόητας τινὰς 3 εἰσόδου τὲ 4 ἀσεβὴς τινὰς 12 κατ'οἰκτείρων 22 Παῦλον: Ἰουλιανὸν cod. 23 γῦναι 24 χρυσὰς

καλὴν Ἰουλιανὴν πορνείῳ δοθῆναι, τὴν καθαρὰν ὁ ἀκάθαρτος καὶ τὴν ἁγνὴν ὁ ἄναγνος· ἀλλ᾽ εἰς κενὸν αὐτῷ τὰ τῆς ἐπινοίας· «Μὴ φοβηθῇς» γάρ, «Ἰουλιανή», ἄγγελος αὐτῇ παραστὰς ἐξεβόησεν, «ὁ κύριός ἐστι μετὰ σοῦ». εἰσαχθείσης οὖν ὅμως εἰς τὸ πορνεῖον, πολλοὶ μὲν ἐφώρμων πρὸς αὐτήν, οὐδεὶς δὲ δυνατῶς εἶχε κἂν τῷ οἰκήματι προσεγγίσαι· διὸ καὶ πλεῖστος ὄχλος συναθροισθεὶς «Μέγας ὁ Θεὸς» ἐβόησε «τῶν χριστιανῶν». τινὲς δὲ τούτων καὶ τυφλοὶ περιῄεσαν καὶ ἐζήτουν τὴν ἴασιν παρὰ τῆς ἁγίας.

9. Καὶ σὺ μέν, Παῦλε, τὸ σκεῦος τῆς ἐκλογῆς, ἐκαρτέρεις τυπτόμενος, ἡ δὲ καλ||λίστη τῶν γυναικῶν καὶ ὄντως καὶ ἀδελφή f. 157 σοι καὶ τἀδελφὰ συμφρονοῦσα τὸ βλέπειν εὐχαῖς τοῖς τυφλώττουσιν ἐχαρίσατο, καὶ δὴ καὶ τὸ χάρισμα χριστιανοὺς αὐτοὺς τῇ ἐκκλησίᾳ προσδραμόντας ἐποίησε. στέλλει τοιγαροῦν ὁ κακόφρων καὶ τῷ βήματι τὴν μάρτυρα παριστᾷ καί φησι πρὸς αὐτήν· «Ἐπλήσθησαν οἱ ἐρασταὶ τοῦ κάλλους σου πάντως, Ἰουλιανή, καὶ οὐκ ἂν ἔχοις εἰπεῖν οὐχί». κἀκείνη· «Ὁ ἐραστὴς ἐπλήσθη τοῦ κάλλους μου τῆς ψυχῆς Χριστὸς ὁ Θεός, ᾧ νυμφευθῆναι προειλόμην ἐγώ· τὰ γὰρ περὶ ὧν αὐτὸς λέγεις, ἐρώτα καὶ μάνθανε· ἐμὲ γὰρ ὁ ἐμὸς Χριστὸς ἄφθαρτον τῷ παντὶ διετήρησεν». ἐκμαίνεται καὶ πάλιν ὁ κύων καὶ βόθρον ὀρυγῆναι προστάττει μέγιστον καὶ βαθύτατον ὅτι καὶ ὕλης ἐπιτηδείας ἐκ|καυθῆναι τοῦτον σφοδρῶς καὶ τοὺς ἁγίους ἐναπορριφῆναι col. 2 τούτῳ. τὸ πῦρ ἀνήφθη, τὸ καλὸν ζεῦγος τῶν ἁγίων ἐπερρίφη τούτῳ καὶ ἄγγελος κυρίου καταβὰς ἐξετίναξε τὴν φλόγα καὶ διέσωσε τούτους, ὡς ᾄδειν αὐτοὺς τῶν τριῶν ἐκείνων καὶ μακαρίων παίδων ἐπαξίως τὸν ὕμνον. ἀνηγγέλη τοῦτο τῷ βασιλεῖ, καὶ λίθοις αὐτοὺς ἐκέλευσε συγχωσθῆναι. καὶ αἴφνης βροντῆς γέγονεν ἦχος καὶ ἀστραπῶν διαψαύσεις καὶ νεφέλαι θυμοῦ γέμουσαι πυρὸς καὶ φωνὴ τὸν Αὐρηλιανὸν παραπέμπουσα τῇ γεέννῃ, ἐφ᾽ ᾧ καὶ φόβος συνέσχεν ἅπαντας, ἀλλ᾽ οὐχὶ καὶ τοῦτον. νέφος γὰρ ἀγνωσίας τὴν αὐτοῦ κατεῖχε ψυχήν· καὶ γὰρ τοῦ λάκκου τοὺς ἁγίους ἀναγαγὼν τῷ δεσμωτηρίῳ παρέπεμψε, καὶ ἦσαν || δοξάζοντες ἐν αὐτῷ τὸν Θεὸν f. 157v ἐπὶ τοῖς γενομένοις εἰς αὐτοὺς θαυμασίοις.

10. Ἑβδόμη παρῆλθεν ἡμέρα, καὶ Αὐρηλιανὸς αὖθις τοὺς ἁγίους παραστησάμενος καὶ ὅσα ἐν χρυσῷ ἦν εἴδωλα καὶ ἀργύρῳ προθεὶς εἰς τὸ μέσον φησὶ πρὸς αὐτούς· «Θύσατε τοῖς θεοῖς, ὦ κατάρατοι, μὴ ἄρδην ὑμᾶς ἀπολέσω». καὶ ὁ ἅγιος· «Ἤρκει μέν, ὦ βασιλεῦ»,

Rubro: v. 4 Ὅμως, v. 13 τοι|Γαροῦν, v. 19 Πάλιν, v. 25 ἀνηγ|Γέλλη, v. 33 Ἑβδόμη, v. 36 Μὲν

2 ἄναγνως 3 φοβηθεὶς 5 ἐφόρμων 18 ἐρῶτα 25 ἀνηγγέλλη 28 αὐριλλιανὸν 33 αὐριλλιανὸς

εἶπεν, «ἐκ μιᾶς καὶ δευτέρας ἀπολογίας συνιέναι σε τὴν γνώμην ἡμῶν καὶ μὴ καὶ σαυτῷ καὶ ἡμῖν πράγματα καὶ ὀχλήσεις παρέχειν, ἀλλὰ τὸ παριστάμενόν σου τῇ ἐξουσίᾳ ποιεῖν· πλὴν καὶ πάλιν σοι τὸν λόγον ἐπιβεβαιοῦντες φαμέν· οὐ θύσομεν τοῖςδέ σου τοῖς εἰδώλοις, ἴσθι, ποτέ· οὐκ ἴδοι τοῦτο ἥλιος ἐφ' ἡμᾶς· οὐ καταλεί-
col. 2 ψαιμεν τὸν οὐρανοῦ καὶ γῆς ποιητὴν | καὶ ξοάνοις ὅλως ἀναισθήτοις λατρεύσαιμεν». εἶπεν οὕτως, καὶ ξύλον εἰς τὸ μέσον παρήχθη καὶ προσεδέθησαν οἱ μάρτυρες τούτῳ καὶ λαμπάδες πυρὸς αὐτοῖς προσηνέχθησαν, οὕτω τοῦ τυράννου κελεύσαντος. εἶτα καὶ τελευταία δίδοται κατ' αὐτῶν ἡ ἀπόφασις, τὰς κεφαλὰς μὲν αὐτῶν ἀποτμηθῆναι, κυσὶ δὲ καὶ πετεινοῖς τὰ πάντιμα ῥιφῆναι σώματα τούτων.

11. Ἦλθον οὖν οἱ στρατιῶται κατὰ τὸν ὡρισμένον τόπον· ἀξιοῖ τούτους ὁ Παῦλος τὴν Ἰουλιανὴν πρὸ αὐτοῦ τὸ διὰ Χριστὸν δέξασθαι τέλος· ἐδεδίει γὰρ τὰς μηχανὰς τοῦ δαίμονος· γίνεται τοῦτο, καὶ πρώτη μέν, ὦ καλλίνικε μάρτυς, τὴν κεφαλὴν ἀπο-
f. 158 τέμνῃ, εἶτα καὶ αὐτὸς τὸν αὐχένα προτείνας δέχῃ, κάλλιστε, || τὴν τομὴν πρόθυμος. τετάρτην ἦγεν ὁ Μάρτιος μήν. καὶ ἦσαν οὕτω τὰ πάντιμα καὶ μαρτυρικὰ ὑμῶν σώματα κείμενα καὶ φυλασσόμενα, ἵνα μή τις χριστιανῶν ἀφέληται ταῦτα. ἑπτὰ παρῆλθον ἡμέραι, καὶ ἄθικτα διέμειναν, μὴ τὸ σύνολον βλαβέντα παρά τινος. ἀπέστησαν τούτων οἱ φυλάσσοντες, καὶ χριστιανῶν ἀνελόμεναι χεῖρες αὐτὰ φιλοτίμως ἔθαψαν καὶ λαμπρῶς, πολλὰ σημεῖα καὶ τέρατα τῇ καταθέσει τούτων τελέσαντος τοῦ Θεοῦ.

12. Καὶ νῦν οἰκοῦντες τοὺς οὐρανοὺς καὶ τῷ δεσποτικῷ παριστάμενοι θρόνῳ νέμοιτε ταῖς εἰς Χριστὸν ὑμῶν ἱκεσίαις βασιλεῖ ἡμῶν τῷ ὀρθοδόξῳ καὶ τὰ πάντα χρηστῷ μακρὰν καὶ καλὴν τὴν
col. 2 ζωὴν | καὶ γλυκεῖαν, ἰλύος παθῶν ἀπηλλαγμένην ὅλως, χειρός τε Θεοῦ τὴν ἰσχὺν καὶ τὸ κράτος, ἀνόμων ἐθνῶν τὴν κατάλυσιν πάντων, ἡμέρας μακρᾶς τὴν ἀνέσπερον χύσιν, λειμώνων θείων τὴν ἡδυτάτην τέρψιν, πάντων τῶν καλῶν τὴν ἀνώλεθρον κτῆσιν καὶ βασιλείας Θεοῦ τὴν κληρουχίαν· ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Rubro: v. 13 *Οἱ*, v. 20 *Παρῆλθον*, v. 27 *Μακρὰν*, v. 31 *Πάντων*
4 τοῖς δέσου   9 τελευταῖα   28 γλυκείαν   28 χειρός τὲ

Μηνὶ τῷ αὐτῷ ε΄. f. 158v

ΒΙΟΣ ΚΑΙ ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΥΠΑΤΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΓΕΓΟΝΟΤΟΣ ΤΗΣ ΓΑΓΓΡΩΝ ΜΗΤΡΟΠΟΛΕΩΣ.

1. Θαυμαστοὶ μὲν τῶν ἐπ' ἀρεταῖς διαλαμψάντων οἱ βίοι καὶ πολλοῖς ὑπόθεσις ὠφελείας εἰς διήγησιν προτιθέμενοι· πολλῷ δὲ δήπου θαυμασιώτεροι μᾶλλον, εἰ καὶ τῷ τῆς ἱερωσύνης χρίσματι καὶ τοῖς μαρτυρικοῖς διαπρέποιεν ἀγωνίσμασι. τούτων δὲ τῶν ἐντεῦθεν τὸ περίδοξον ἐχόντων καὶ διαφανὲς εἷς ἐστι καὶ | ὁ νῦν col. 2 *ἡμῖν εἰς διήγησιν προτεθεὶς Ὑπατίου τοῦ πάνυ, περὶ οὗ διαλαβεῖν ἀναγκαῖον.*

2. Ὁ μέγας οὗτος ἐν ἀρχιερεῦσι καὶ μάρτυσι τῆς ἐπιφανοῦς πόλεως Γάγγρας (μία δὲ αὕτη τῆς τῶν Παφλαγόνων ἐπαρχίας ἐστί) καὶ θρέμμα καὶ παίδευμα καὶ ἀρχιερεὺς γνωρίζεται, θεοφιλῶν γεγονὼς γεννητόρων. καλῶς οὖν ὑπ' αὐτῶν ἀναγόμενος καλῶς καὶ τὸν βίον διήνυε, προσευχαῖς σχολάζων ἀεὶ καὶ μελέταις τῶν ἱερωτάτων γραφῶν, ἀλλὰ δὴ καὶ τοῖς || δεομένοις τὰ πρὸς χρείαν f. 159 *ἐπαρκῶν καὶ ταῖς ἄλλαις ἐνσεμνυνόμενος ἀρεταῖς. τοιούτοις οὖν ἐμπρέπων τοῖς κατορθώμασι καὶ ὅλος τῆς ἐκκλησίας ὢν γίνεται καὶ φύλαξ αὐτῆς, εἶτα καὶ τοὺς ἄλλους βαθμοὺς κατὰ τάξιν κοσμήσας καὶ πρὸς τὸν ὑψηλὸν ἀνάγεται θρόνον, τῆς ἀρετῆς εἰς τοῦτο προσκαλεσαμένης αὐτόν. Ἀθανασίου γὰρ τοῦ τῆς Γάγγρας προέδρου τὸν βίον ἀπομετρήσαντος οἱ τῆς ἐκκλησίας τρόφιμοι, ναὶ δὴ καὶ τὸ πλῆθος αὐτὸ ψήφῳ κοινῇ τὸν Ὑπάτιον ποιμενάρχην προβάλλονται· καὶ μέντοι δὴ καὶ δέχεται τὰς φροντίδας καὶ καλῶς ποιμαίνει τὸ ποίμνιον καὶ τῶν εἰδωλολατρῶν τοὺς μὲν ἀπελαύνει λύκους καθάπερ τῇ σφενδόνῃ τῶν λόγων, | ὅσοι δὴ πάντως πρὸς* col. 2 *τὸ φῶς βλέψαι τῆς ἀληθείας οὐκ ἤθελον, τοὺς δὲ παραινέσεσι γλυκείαις καὶ δεξιώσεσι θρέμματα τῆς λογικῆς ποίμνης ποιεῖ καὶ προσάγει Χριστῷ διὰ τοῦ βαπτίσματος, ἐκκλησίας κατὰ πάντα τόπον οἰκοδομήσας καὶ πρεσβυτέρους ταύταις ἐγκαταστήσας, διδάσκοντας τὰ πλήθη τὸν ὀρθὸν λόγον καὶ ἐπανάγοντας αὐτὰ πρὸς θεογνωσίας ἐπίγνωσιν.*

Rubro: v. 5 ***Θ****αυμαστοί*, v. 8 ***Δ****έ*, v. 12 ***Μ****έγας*, v. 15 ***Κ****αλῶς*, v. 18 ***Ο****ὖν*, v. 22 *ἀθανα|****Σ****ίου*

3. Ἥσυχον οὖν καὶ ἤρεμον διαζῶν βίον ὁ μέγας πάντας ὑπερθαυμάζειν ἐποίει· καί ποτε γυναίων τινῶν ἐν γειτόνων αὐτῷ τὴν οἴκησιν ποιουμένων καὶ ᾄσματα πορνικὰ πρὸς ἀπάτην τῶν παριόντων ᾀδουσῶν ἐκεῖνος τῆς ἡσυχίας ὢν ἐραστής, ὡς δεδήλωται, f. 159ᵛ παύσασθαι || ταύτας διά τινος παραινεῖ. καὶ ὡς οὐκ ἔπειθεν, φιμωθῆναι δι' εὐχῆς τὰ χείλη τούτων ποιεῖ· ἐφίλει δὲ καὶ τοὺς ἐπιτερπεῖς τῶν τόπων, ἔνθα ναμάτων ἦσαν καθαρῶν καὶ ἡδέων πηγαὶ καὶ δένδρων σκιαὶ καὶ χλόης δαψίλεια, καὶ τούτοις προσμένων καλῶς τοὺς ὄχλους ἐδίδασκε καὶ πρὸς τὴν ὀρθόδοξον ἐνῆγε πίστιν· ἠγάπα δὲ καὶ τὸ ταπεινὸν λίαν καὶ μιμητὴς ἦν κἀν τούτῳ Χριστοῦ· μακρὰν γάρ τινα πορείαν ποιούμενος, ὅτε καὶ χρεία γέγονεν, ὑποζυγίῳ μόνῳ πωλικῷ κεχρημένος ἦν καὶ δύο μοναχοὺς εἶχε τοὺς αὐτῷ τε κἀκείνῳ τὰ πρὸς ὑπηρεσίαν τελοῦντας. τοιοῦτος ἦν ὁ μέγας καὶ ποιμὴν καὶ μάρτυς ὁ καλὸς Ὑπάτιος· ἠσπάζετο καὶ | col. 2 τὸ τὴν ἔρημον ἔχειν οἴκησίν τε καὶ δίαιταν, τὸν βαπτιστὴν Ἰωάννην ὡς δυνατὸν ἐκμιμούμενος. κηρύττουσι τοῦτο βραχεῖς οἰκίσκοι ταῖς ἀκρωρείαις καὶ ταῖς φάραγξι παρ' ἐκείνου γενόμενοι καὶ μέχρι τοῦ νῦν συνιστάμενοι, ἐφ' οἷς δὴ καὶ τῆς ἀσκήσεως εἴχετο καὶ τῆς τῶν θείων γραφῶν ἀναγνώσεως· ἣν γὰρ πᾶσαν ἰδέαν λόγων ἐφ' ἑαυτῷ συλλεξάμενος· καὶ μαρτυρήσει πλεῖστα μὲν ὑπ' αὐτοῦ καταλειφθέντα συγγράμματα καὶ μᾶλλον ὁ πρὸς Γαϊανὴν ἐκτεθεὶς τῆς τῶν παροιμιῶν ἑρμηνείας ὑψηλότατος λόγος.

4. Αὕτη γὰρ ἡ Γαϊανή, πλούτῳ τῶν ἄλλων κατὰ πολὺ διαφέρουσα, τὴν κενὴν δόξαν τῶν ἀνθρώπων ἠγάπα, ναὶ δὴ καὶ τὴν f. 160 ἀσπλαγ||χνίαν ἐνόσει. τοσοῦτον δὲ ταύτην ὁ μέγας ταῖς πνευματικαῖς διδαχαῖς μετεποίησε πρὸς τὸ ταπεινὸν καὶ τὸ εὔσπλαγχνον, ὡς πάντα μὲν τὸν πλοῦτον αὐτῆς τῇ τε μητροπόλει Γαγγρῶν εἰς κόσμον καὶ κάλλος ἐκκενωθῆναι, τοῖς τε μοναχοῖς καὶ τοῖς πένησι πλουσίως χορηγηθῆναι καὶ δαψιλῶς καὶ ἁπλῶς εἰπεῖν λύτρον αὐτῇ γενέσθαι ψυχικῶν ὀφλημάτων· καὶ γὰρ ἔκτοτε ταῖς θείαις ἡ Γαϊανὴ γραφαῖς ἐνεσχόλαζε καὶ τὰς ἐπιλύσεις τῶν ἀνεφίκτων αὐτῇ νοημάτων παρὰ τοῦ ἀρχιερέως ἐδέχετο. τοιοῦτος ἦν ὁ μέγας Ὑπάτιος.

5. Καί ποτε πορείας ἁψάμενος, ἐπεὶ συνέβη πρός τινα κατὰ τὴν ὁδὸν ὀπήν, ἣν ἀσφάλαξ εἰργάσατο, τὸν τοῦ ὑποζυγίου πόδα διολι-col. 2 σθῆσαι καὶ | τοῦτον πεσεῖν, ἐπιστραφεὶς καί τινας ὀπὰς καὶ ἄλλας ὁμοίως γεγενημένας ἰδών, αὐτά τε τὰ ζῶα τοὺς καρποὺς τῶν γεωργῶν λυμαινόμενα, τούτοις ἐπιτιμᾷ μηκέτι τὸ σύνολον τοῖς τόποις ἐκείνοις ἀναφανῆναι· καὶ ὁ λόγος γέγονεν ἔργον καὶ ἔστιν ἄχρι τοῦ νῦν

Rubro: v. 2 *Γυναίων*, v. 11 *Πορεΐαν*, v. 23 *Γαϊανή*, v. 33 *Ποτε*.
17 φάραξι 23 καταπολὺ 24 καινὴν

τὸ θαῦμα τοῖς πᾶσιν ἐπίδηλον. ἀλλὰ καὶ εἴ τις ἑτέρας γῆς γεωργὸς βλάβην ὑπὸ τῶν τοιούτων ζώων ἴδοι ταῖς αὐτοῦ χώραις ἐγγινομένην καὶ χοῦν ἐκεῖθεν λάβοι, ὅθεν δὴ καὶ ἀπηλάθησαν, καὶ ταῖς ὀπαῖς ἐμβάλοι τῆς ἰδίας γῆς, ἀφανῆ τὰ ζῶα παρευθὺ γίνεται καὶ τῆς ἐξ αὐτῶν βλάβης ἐκεῖνος ἐλευθεροῦται. ναὶ δὴ καὶ εἴ τις πάθει τῷ τῆς ἀσφάλακος λεγομένῳ ληφθῇ (ἔστι δὲ δυσίατον) || f. 160v *καὶ τοῦ χοὸς ἐκείνου τοῦτο διαρραντίσοι, ταχὺ τὴν θεραπείαν εὑρήσει. καὶ ταῦτα μὲν οὕτως.*

6. Ὁδεύοντος δέ ποτε τοῦ μεγάλου κατὰ τὸν ποταμὸν Ἅλυν καὶ νύκτωρ τὸ ῥεῖθρον αὐτοῦ πεζῇ διαβάντος, ἐπειδήπερ ἀσέληνος ἡ νὺξ ἦν ἐκείνη καὶ κρημνοὶ τὴν ὁδὸν εἶχον καὶ πέτραι δύσβατοι, ἀναδόσεις ἐκ τῶν ποταμίων ὑδάτων φώτων ὡσανεὶ γεγόνασι καὶ τοὺς τόπους ἐκείνους κατεφώτισαν καὶ τὴν πορείαν οὗτος ὡς ἐν ἡμέρᾳ φωτὸς ἐποιήσατο. καὶ τοῦτο κατ' ἐκείνην τὴν ἡμέραν ἑκάστου ἔτους ἔκτοτε φαίνεται πᾶσι τοῖς περιοίκοις γινόμενον· φῶς γὰρ ἀναδίδοται τῶν ὑδάτων, τὴν ἔχουσαν πάντως λαμπρότητα τὸν ἀρχιερέα δηλοῦν.

7. Ἀλλ' ὁ θαυματουργὸς | col. 2 *οὗτος καὶ πηγὴν ἰαμάτων τοῖς νοσοῦσιν ἀνέῳξε· κατὰ γὰρ τὸ τῆς πόλεως ἀνατολικώτερον μέρος ὄρος ἐστὶ προσαγορευόμενον Μάλα· τούτου πρὸς τὸ ἔσχατον ὕδωρ ἐκτρέχει πολύ, τῶν θαλασσίων ὑδάτων κατ' οὐδὲν ἀποδέον· συγκέκραται δὲ καὶ πικρίᾳ τῇ ἅλμῃ· τούτῳ γοῦν τῷ ὕδατι τὸ σταυρικὸν ἐγχαράξας σημεῖον καὶ εὐχὴν ποιησάμενος νόσων αὐτὸ παντοίων ἰατήριον ἀπειργάσατο· πᾶς γάρ, οἱῳδήποτε προσπαλαίων νοσήματι, καταδυόμενος ἐν αὐτῷ τάχος τὴν θεραπείαν εὑρίσκει. συναπολαύουσι τούτου δὴ τοῦ καλοῦ καὶ κτήνη παντοῖα, καὶ ἔστιν ἄμισθον ἰατρεῖον τὸ ὕδωρ τοῦτο πᾶσι τοῖς εἰς αὐτὸ προσπελάζουσιν. ||*

8. Τούτων τῶν μεγάλων θαυμάτων καὶ βασιλεὺς αὐτὸς κατήκοος γίνεται· f. 161 *Κωνστάντιος δὲ οὗτος ἦν, ὁ τοῦ μεγάλου Κωνσταντίνου υἱός· ὃς τῆς Ἀρείου λύμης μετεσχηκὼς πολλοὺς εἰς αὐτὴν τῶν ἀφελεστέρων συνήλαυνε· διὸ καὶ παιδεύεται πρὸς Θεοῦ παραδόξως, καὶ ὅπως, ὁ λόγος δηλώσει. οὗτος οὖν ὁ βασιλεὺς μετακαλεῖται τὸν μέγαν· καὶ ἡ αἰτία τῆς μετακλήσεως αὕτη· δράκων ὅτι μέγιστος τῷ τῶν βασιλικῶν χρημάτων ταμείῳ, δεινὸς μὲν ἰδεῖν, δεινότερος δὲ ᾧτινι ἂν ἐντύχοι προσβαλεῖν, οὐκ οἶδ' ὅθεν ἐμφιλοχωρῶν, ἄβατον ἐτίθει τοῦτο καὶ ὅλως ἀπρόσιτον, τοῦ θηρὸς ὡσανεὶ τὸν βασιλικὸν ὑφαρπάσαντος πλοῦτον. ἔνθεν τοι καὶ πολλὴ*

Rubro: v. 1 *Ἑτέρας*, v. 9 *Ὁδεύοντος*, v. 18 *Ἀλλ'*, v. 19 *Τῆς*, v. 25 *συ|Ναπολαύουσι*, v. 28 *Τούτων*, v. 32 *Οὐν*

7 *διαραντίσοι* 21 *κα|τουδὲν* 22 *γ'οὖν* 27 *προσπελάζουσι*

col. 2 μὲν στένωσις εἶχε τὸν βα|σιλέα, ταῖς κοιναῖς μὴ δυνάμενον ἐξυπηρετεῖν τοῦ πολιτεύματος χρείαις· καὶ γὰρ πολλοὺς δοκιμάσαντας εἰσελθεῖν ὁ θὴρ ἐθανάτωσε μόνῳ τῷ ἄσθματι, ναὶ δὴ καὶ τοὺς ἱστορῆσαι τὰ περὶ τούτων βουληθέντας τοῖς ἐκπεμπομένοις τῶν ὀμμάτων σπινθῆρσι τέλεον ἀπεξήρανε. καὶ οὕτως ἦν ἄμαχον τὸ κακόν· ὁ τοίνυν βασιλεύς, τοὺς ὁμοδόξους συγκαλεσάμενος, δεήσεις ἐποιεῖτο σὺν αὐτοῖς εἰς τὸ θεῖον. ὡς δὲ μηδὲν ἤνυεν, ἀλλὰ καί τινας αὐτῶν ὁ δράκων καὶ πόρρωθεν ἐλυμήνατο, μίαν εὑρίσκει ταύτην βοήθειαν, τὴν τοῦ Ὑπατίου μετάκλησιν.

9. Καὶ ὃς παραγίνεται τρίχινα περιβεβλημένος, ἐφ' οἷς καὶ f. 161v πλέον ἐτέρπετο, ἢ βασιλεὺς ἐν || πορφύρᾳ. δέεται τοίνυν ὁ κρατῶν, οἱ ἐν τέλει δέονται καὶ πᾶς, ὃς ἂν αὐτὸν περιτύχοι, δέεται· δέονται καὶ τὴν τοῦ δράκοντος κοίτην χερσὶ δηλοῦσι μακρόθεν. πῦρ δὲ ὁ μέγας ἀναφθῆναι κελεύει κατὰ τὸν λεγόμενον φόρον· ἐφίσταται θαρρῶν ταῖς θύραις τοῦ ταμείου, ἀνοίγει ταύτας, εἰσέρχεται ῥάβδον ἐν χειρὶ κατέχων· τὸ τοῦ σταυροῦ σημεῖον τυποῖ, καὶ ὁ δράκων συστρέφεται, τὴν κεφαλὴν ὑψοῖ καὶ τὸν θεῖον ἄνθρωπον βλέπει, εἶτα καὶ φοβηθεὶς ὥσπερ καταβάλλει ταύτην τοῖς χρήμασιν, εἶθ' οὕτω φεύγειν ἔξω κελεύεται· οὐ πείθεται καὶ τὴν ἔξοδον ὑπερτίθεται· τύπτεται παρὰ τοῦ μεγάλου τῇ βακτηρίᾳ· ὄρθιος ἐξεγείρεται· col. 2 καὶ θαῦμα ἦν καὶ μόνον ὁ|ρώμενος· πλήττεται καὶ αὖθις πολλάς· πίπτει καὶ ἕρπει καὶ ἔξεισι, χαμαὶ τὴν ῥάβδον ἕλκοντος τοῦ μεγάλου καὶ τοῦ δράκοντος ἑπομένου. τὸν οὖν φόρον οὕτως ἐχόντων ἀμφοτέρων καταλαβόντων, θαῦμα τοὺς ὁρῶντας εἶχε καὶ φόβος. εἶτα κελεύει τοῦτον ὁ μέγας τῆς πυρᾶς ἐπιβῆναι· ταύτην ὑπελθὼν ἐκεῖνος ὅλως ἀπηνθρακώθη, καὶ τῶν θησαυρῶν ὁ βασιλεὺς τὴν ἀπόλαυσιν εἶχε, τὸν τύπον αὐτοῖς ἐνθεὶς τοῦ ἱεράρχου, ὃς δὴ καὶ μέχρι τοῦ νῦν ἀναλλοίωτος δέδεικται, τὸ μέγεθος ἐμφαίνων τοῦ θαύματος.

10. Τί οὖν τὸ ἑξῆς; ἀμοιβὴν ὁ βασιλεὺς ζητεῖ τῷ ἁγίῳ παρασχεῖν, ἣν ἂν αὐτὸς ἐθελήσοι· καὶ ὃς οὐ χρήματα, οὐ δόξαν, οὐκ ἄλλο f. 162 τι τοιοῦτον || αἰτεῖ, ἀλλ' ἢ μόνον τὸ ἐπικείμενον ἐτήσιον τέλος τοῖς πενεστάτοις τῆς χώρας ἐκκοπῆναι. πρόθυμος ὁ βασιλεὺς ἐπὶ τοῦτο γίνεται καὶ δίδωσι τῷ δικαίῳ τὴν χάριν, εἰς τοὺς ἑξῆς χρόνους τὴν ἀτέλειαν βραβεύσας, ἣν καὶ στῆλαι χαλκαῖ μέσον που τῆς πόλεως ἑστηκυῖαι κηρύττουσιν. οὕτως οὖν καὶ μετὰ τοιούτων τροπαίων τὴν πατρίδα καταλαβὼν ὁ Ὑπάτιος τῆς ποίμνης καὶ πάλιν ἐπεμελεῖτο καὶ ταύτης ἐξεκάθαιρε τὰ τῆς λύμης δόγματα.

Rubro: v. 6 βα|Σιλεύς, v. 11 Ὁ, v. 30 Τί, v. 33 Πρόθυμος, v. 36 Οὖν
10 τρύχινα   35 χαλκαὶ

11. *Καὶ δὴ φθόνῳ δαίμονος καὶ ὑποβολαῖς τῶν τὴν Ναυάτου νοσούντων αἵρεσίν τινες, οἳ καὶ τὸ τῆς Κολαζίας λεγομένης κλίμα κατῴκουν, τῷ ἀρχιερεῖ τούτῳ διοδεύοντι κατὰ τὸν τόπον ἐκεῖνον μετὰ τῆς συνήθους | εὐτελείας κακῶς ἐπιτίθενται· καὶ γὰρ ἐν ἀμφι-* col. 2 *κρήμνοις καὶ δυσβάτοις τόποις κρυβέντες ἄνδρες ὁμοῦ καὶ γυναῖκες ἀνθ' ὧν ἐδίδασκε τὴν πλάνην αὐτοὺς καταλιπεῖν καὶ προσελθεῖν τῷ Θεῷ ῥοπάλοις αὐτὸν καὶ ξίφεσι καὶ λίθοις ἐτίτρωσκον καὶ τέλος ἐξ ὑψηλοῦ τινος λόφου πρὸς τὸ κάταντες, ἔνθα καὶ ποταμὸς ἐπορεύετο, κατεκρήμνισαν. πονηρὰ δέ τις γυνή, φόνου καὶ μανίας μεστή, κατὰ τοῦ ποιμενάρχου λίθον, ὃν χεῖρες αὐτῆς βίᾳ κατεῖχον, βαλοῦσα καὶ κατὰ τοῦ κροτάφου πλήξασα, τούτῳ τὴν τελευταίαν ἐπιφέρει πληγήν. καὶ ψυχὴ μὲν ἐκείνου πάντως ἡ θεία καὶ καθαρὰ πρὸς οὐρανοὺς ἀνάγεται, τῷ δεσπότῃ || τῶν ὅλων ἐμφανιζομένη* f. 162v *Χριστῷ, σῶμα δὲ τούτου τὸ πάντιμον καὶ ῥανίδες αἵματος τὴν γῆν ἁγιάσασαι πηγὴν θαυμάτων ἀναδεδώκασιν ἐγγύς που τοῦ χωρίου Κοβάρων, ὅπου δὴ καὶ τὴν οἴκησιν εἶχον οἱ μιαιφόνοι. οὐκ εἰς μακρὰν δὲ καὶ τὸ γύναιον ἐκεῖνο τὸ φονικὸν τὴν δίκην εἰσπράττεται· δαίμονι γὰρ κατάσχετον γεγονὸς τὸ στῆθος δεινῶς, φεῦ, ἔτυπτε λίθῳ μεγάλῳ, τῷ λειψάνῳ παρεστηκός. ναὶ δὴ καὶ τοῦ πλήθους τῆς κώμης δαίμονες κατέδραμον φοβεροί, δαιμονικοῖς αὐτοὺς ἐτασμοῖς ὑποβάλλοντες, μέχρις οὗ τὸ τίμιον αὐτοῦ σῶμά τινες ἀνελόμενοι τούτων καὶ πρὸς τὴν κώμην κομίσαντες τῆς μάστιγος ἀπηλλάγησαν.*

12. *Ἀλλ' ὅρα μοι τῶν θεομάχων τὸ δύ|στροπον· δεδιότες* col. 2 *ὥσπερ, μή που καὶ ἀναστῇς, ὁ μέγας, καὶ τὰς πάντων ἐπιστρέψοις πρὸς Θεὸν διανοίας, ἐν ἀχυρῶνί σε κατακρύπτουσιν· ἀλλά μοι βλέπε καὶ τοῦ Θεοῦ τὸ παράδοξον· ὁ τοῦ ἀχυρῶνας κύριος τροφὰς ἐκφορεῖν τοῖς βουσὶ βουλόμενος καὶ παρὰ τοῦτον γενόμενος φῶς ὁρᾷ μέγιστον ἐν αὐτῷ, ᾀσμάτων μελῳδίας ἀκούει, τερπνὸν καὶ ἡδὺ ταῖς ἀκοαῖς ὑπηχούσας. αὐτίκα γοῦν πορευθεὶς ἀπαγγέλλει τὸ θαῦμα, καὶ πάντες συντρέχουσι καὶ σέ, τὸν ζητούμενον καλὸν ποιμενάρχην, εὑρηκότες, μηδὲν πάθος νεκρώσεως ἔχοντα λαμβάνουσι καὶ τῇ σῇ κομίζουσι ποίμνῃ καὶ φιλοτίμως κατατιθέασι, τὰ εἰκότα τελέσαντες.*

13. *Καὶ νῦν, ὦ παγγέραστε καὶ ποιμὴν καὶ || ἀσκητὰ καὶ ἀρχιερεῦ* f. 163 *καὶ μάρτυς (ὑπὲρ τῆς ἀληθείας καὶ γὰρ τὸ σὸν ἐξεκένωσας αἷμα), τῷ δεσποτικῷ παριστάμενος θρόνῳ δώρησαι ταῖς πρὸς Χριστὸν θερμαῖς ἱκεσίαις σου καὶ βασιλεῖ ἡμῶν τῷ τὰ πάντα πιστῷ καὶ*

Rubro: v. 9 *Γυνή*, **v. 19** *Δή*, **v. 26** *Ἀλλά*, **v. 34** *Παγγέραστε*

2 *αἱρεσ(ιν) τινὲς* **21—22** *σῶμα τινὲς* **25** *ἐπιστρέψοις*: ***extremum σ supra versum*** **30** *γ'οὖν*

θεοσεβεῖ μακρόβιον τὴν ζωὴν καὶ ἀτάραχον, ἰλύος παθῶν ἀμέτοχόν col. 2 *τε καὶ ἄχραντον, χρηστὴν καὶ ἀγαθὴν | καὶ παντὸς καλοῦ πλήρη, ἀλλὰ καὶ θείας χειρὸς ἰσχὺν καὶ χάριν, ἡμέρας αὐτὸν υἱὸν ἐργαζομένης λαμπρᾶς καὶ τερπνῆς, τῆς ὄντως ἀνεσπέρου· πάσης ἔμπλησον αὐτὸν χαρᾶς ἐκεῖ καὶ δόξης καὶ θυμηδίας τοῦ χοροῦ τῶν ἀγγέλων· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

Μηνὶ τῷ αὐτῷ ς΄.

ΜΑΡΤΥΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΤΕΣΣΑΡΑΚΟΝΤΑ ΚΑΙ ΔΥΟ ΜΑΡΤΥΡΩΝ ΘΕΟΔΩΡΟΥ, ΚΩΝΣΤΑΝΤΙΝΟΥ, | ΚΑΛΛΙΣΤΟΥ, ΘΕΟΦΙΛΟΥ, ΒΑΣΟΗ ΚΑΙ ΤΗΣ ΣΥΝΟΔΙΑΣ ΑΥΤΩΝ. ||

f. 163v *1. Φαιδραὶ μέν εἰσιν αἱ πανηγύρεις τῶν τοῦ Χριστοῦ μαρτύρων καὶ πάνυ λαμπραί, νίκας ἔχουσαι καὶ βραβεῖα καὶ χάριτας· μετέχουσι δὲ καὶ κατηφείας ἐν μέρει καὶ σκυθρωπότητος, ὅτι μὴ δυνατὸν ἄλλως εἰ μὴ διὰ τούτων ἐλθεῖν πρὸς ἐκεῖνα. καὶ γὰρ καὶ οἱ νῦν ἡμῖν εἰς διήγησιν προκείμενοι μάρτυρες διὰ πολλῶν πρότερον δοκιμασθέντες τῶν πειρασμῶν, οὕτω καλῶς καὶ τῆς νίκης ἀνεδήσαντο τοὺς στεφάνους. καὶ ὅπως, ὁ λόγος δηλώσει.*

2. Ἀβησὰχ ἐκεῖνος, ὁ πρωτοσύμβουλος τοῦ Ἰσμαηλιτῶν ἔθνους, κατὰ τοὺς χρόνους Θεοφίλου, τοῦ τὴν Ῥωμαίων ἀρχὴν διαζωσαμένου κακῶς, σὺν δυνάμει βαρείᾳ τὸ Ἀμόριον (πόλις δὲ αὕτη τῶν col. 2 *πρὸς ἀ|νίσχοντα ἥλιον κειμένων) καταλαβὼν καὶ ἐφ᾽ ὅλαις ἡμέραις τρισκαίδεκα διὰ μηχανικῶν ἑλεπόλεων τὰ τείχη ταύτης καταβαλὼν πορθεῖ μὲν αὐτὴν καὶ πάντας ἀναιρεῖ μαχαίρᾳ, τούς τε στρατιώτας τούς τε πολίτας· τοὺς δέ γε τῶν ἑπτὰ θεμάτων μόνους καθηγεμόνας ζῶντας κατὰ τὴν ἰδίαν χώραν ἀπαγαγὼν καὶ σκοτεινῇ καὶ δυσώδει φρουρᾷ παραδούς, ἄρτῳ τε βραχεῖ καὶ ὕδατι διαζῆν μόνοις ἐγκελευσάμενος, φύλακας αὐτοῖς ἐγκαθίστησιν, ὡς μή τινα τούτοις πλὴν τῶν φυλάκων προσομιλεῖν. διὸ καὶ οὐκ ἔστιν εἰπεῖν, ὅσοις*

Rubro: v. 1 *Μακρόβιον*, v. 4 *Πάσης*, v. 13 *Φαιδραί*, v. 20 *Ἀβησὰχ*
5 *θυμηδείας* 10 *κωνςαντίνο(υ)*: *extremum υ evanuit* 22 *ἀμώριον*
28 *ἄρτω τέ*

ὑπεβλήθησαν τοῖς κακοῖς. οὐδὲ γὰρ τοσοῦτον μετεῖχον ὕδατος, ὅσον τῶν ὀφθαλμῶν ἐξεκένουν τὸ δάκρυον· || οὐ τοσοῦτον μετελάμ- *f. 164* βανον ἄρτων οἱ πολλούς ποτε διαθρέψαντες, ὅσον τῆς σαρκὸς αὐτῶν οἱ φθεῖρές τε καὶ οἱ μύες ὑφήρουν καὶ τὰ ἐπὶ γῆς ζωύφια. κλίνη τούτοις ἡ γῆ καὶ ὑποστρώματα ἡ δυσώδης καὶ συρφετώδης κόνις· εἰ δέ τινι τούτων ῥάκος ἐρρίφη παρά τινος βδελυκτόν, μείζων ἡ βάσανος ἦν, τῶν ὀλεθρίων ζωυφίων αὐτῷ ἐμφωλευόντων. ἐκ δὲ τοῦ σκότους οὐδὲ κατὰ τὸ μέσον τῆς ἡμέρας τὰς ἀλλήλων ὄψεις ἀκριβῶς ἠδύναντο βλέπειν, εἰ μὴ ἄρα που φῶς εἰσηνέχθη. οὐ συνεχωρεῖτο τούτοις προσελθεῖν βαλανείῳ, οὐ τὸ περιττὸν ἀποκεῖραι τῆς κόμης, οὐχ ἡλιακὰς ἀκτῖνας ὑποκαθίσαι, ἀλλ᾽ οὐδὲ προσβλέψαι ταύταις. ἐδέοντο τῶν φυλάκων εἰς αἴτησιν | ἐλεημοσύνης *col. 2* τινὰς αὐτῶν προελθεῖν. καὶ εἴ που τοῦτο κατένευσαν, δέκα στρατιῶται ἑνὶ δεσμίῳ παρείποντο· ὑποστρέψαντι δὲ τούτῳ καὶ ὁ οἰκτρὸς ἐκεῖνος ἀνετέμνετο ἄρτος καὶ τὸ εὐτελὲς περιειργάζετο σκεῦος, μή που τούτοις ἐπίβουλον διακρύπτοιτο γράμμα. καὶ ὅρα μοι τῶν βαρβάρων τὸ δύστροπον· ἕως μὲν ἰσχὺς αὐτοῖς ἦν, οὐδένα περὶ πίστεως λόγον προέτεινον· ἐπεὶ δὲ κατεργασθέντας εἶδον καὶ ὅλως κατισχνωθέντας, προτροπῇ τοῦ ἐθνάρχου τινὲς πρὸς αὐτοὺς εἰσιόντες, φιλανθρωπίαν ὥσπερ ὑποκρινόμενοι, πρὸς ὁμιλίαν τῶν δεσμίων ἐκάθηντο, ἔστιν ὅτε καὶ ἀργύρια τούτοις παρέχοντες καὶ ἐνδύματα, ἔπειτα δὲ καὶ πρὸς ἄρ||νησιν αὐτοὺς ἐνῆγον. οὐδὲν γὰρ *f. 164v* κρατήσας ὁ δεινὸς ἄρχων τὴν πόλιν ὅλην ἐκείνην ἐνόμιζε κατορθῶσαι πρὸς τὴν εἰς τὴν αὐτοῦ πίστιν μετάθεσιν τῶν ἁγίων.

3. Ὡς δὲ τὸ προτεθὲν παρ᾽ ἐκείνων ὥς τι μύσος οὗτοι διέπτυσαν, οἱ πρὸς ἄρνησιν αὐτοὺς ἐκκαλούμενοι «Οὐ καλόν τι» εἶπον «ἀλαζονεία καὶ τῦφος· τίς γὰρ ἐν τοιούτῳ κινδύνῳ τυγχάνων οὐ θελήσει τυχεῖν ἀφέσεως; ἐπελάθεσθε ἄρα παίδων, γυναικῶν, τῶν τεκόντων ὑμᾶς, τῆς γλυκείας ὄψεως αὐτῶν καὶ τῆς ἡδίστης προσλαλιᾶς; τῆς δόξης, τῆς ἀπολαύσεως καὶ τῶν ἄλλων καλῶν; ὧν πρὸς τὸ τυχεῖν εἰ ἀπορεῖτε μεθόδου, φιλανθρώπως ὑμᾶς διδάξομεν· περιτμήθητε, τῷ πρωτοσυμ|βούλῳ συνεύξασθε· καὶ μυρίων παρ᾽ *col. 2* αὐτοῦ καλῶν ἀπολαύσαντες, ἐν καιρῷ πολέμου, φυγάδες ὥσπερ, πρὸς τὸ ἔθνος ὑμῶν ἀπελεύσεσθε». καὶ οἱ μάρτυρες «Ὑμεῖς δὲ» εἶπον «εἰ ἐν οἷς ἐσμεν ἡμεῖς νῦν δεινοῖς συνεσχέθητε, τοιαῦτα ποιεῖν ἐμέλλετε, οἷα δὴ σήμερον ἡμῖν συμβουλεύετε;» κἀκεῖνοι «Καὶ τί ζωῆς ἐλευθέρας ἡδύτερον» ἔφησαν «καὶ τερπνότερον;» τὸ δὲ καὶ ὅρκῳ τινὶ διεβεβαιώσαντο πράξει ν, εἴ γε τοῦτο συνέβη. καὶ οἱ μάρ-

Rubro: v. 17 *Βαρβάρων*, v. 25 *Ὡς δέ*, v. 34 *Μάρτυρες*, v. 36 κἀ|*Κεῖνοι*
3 πολλοὺς ποτὲ 6 ῥάκκος 35 ἐσμὲν

τυρες «Ἀλλ' ἡμεῖς γε οὐκ ἂν ἀνασχοίμεθα τοιαύτην» εἶπον «παραίνεσιν δέξασθαι, ψυχοβλαβῆ τυγχάνουσαν καὶ ὀλέθριον». τούτων οἱ βάρβαροι τῶν ῥημάτων ἀκούσαντες εὐθὺς ὑπεχώρησαν.

4. Μετὰ δέ τινας ἡμέρας ἕτεροι τῷ τρόπῳ τῶν προλαβόντων f. 165 *τὸ δε||σμωτήριον κατειλήφασι καὶ δακρύειν σχηματιζόμενοι ἀπωδύροντο τοὺς ἁγίους, ὡς δι' ἄγνοιαν καλοῦ δῆθεν τιμωρουμένους, «Ὦ πόσων κακῶν αἴτιον» λέγοντες «ἡ περὶ τὸν μέγαν προφήτην Μωάμεδ ἐστὶν ἀπιστία. οὐ μεγάλοι γὰρ οὗτοι; οὐ συγγενεῖς βασιλέων; οὐ στρατιῶται γενναῖοι; οὐ μυριάδες ἦσαν ἑπτὰ καὶ πλείους οἱ μόνον σὺν αὐτοῖς πολεμοῦντες, οἵτινες τῷ πιστοτάτῳ παρεδόθησαν εἰς χεῖρας πρωτοσυμβούλῳ; τί τὸ πᾶσαν τὴν δυναστείαν αὐτῶν ἐκνευρίσαν ἢ πάντως ἡ πρὸς τὸν προφήτην ἀθέτησις; καὶ τούτου πίστις ἡ νίκη τῶν τοῦ προφήτου θεραπευτῶν». καὶ τὸν λόγον μεταγαγόντες «Δι' ὑμᾶς ταῦτα» εἶπον πρὸς τοὺς ἁγίους* col. 2 *βλέψαντες, «δι' ὑμᾶς πρὸς ἑαυτοὺς τὰ | τοιαῦτα λέγομεν, ὡς ἂν τὴν στενὴν καταλιπόντες ὁδόν, ἣν ὑμῖν ὁ τῆς Μαρίας υἱὸς ὁδεύειν ἐδίδαξε, τὴν πλατεῖαν εὕρητε, τοῖς λόγοις τοῦ Μωάμεδ ἀκολουθοῦντες. τί γὰρ καὶ διδάσκει ἄπιστον; ὅτι ὁ θεὸς δύναται καὶ ὧδε μὲν πάσης ἐμπλῆσαι τρυφῆς τὸν αὐτῷ πειθόμενον κἀκεῖσε δὲ τὸν παράδεισον τούτῳ κληροδοτῆσαι. ἢ πτωχεύει τούτων θεὸς τῶν καλῶν; δέξασθε οὖν τὴν τοιαύτην διδασκαλίαν, καὶ τῶν παρόντων ἀπαλλαγέντες δεινῶν, κατατρυφήσατε τῶν τοῦ θεοῦ πολλῶν ἀγαθῶν καὶ ζῶντες καὶ τελευτῶντες». ὡς οὖν τούτων οἱ ἐχέφρονες τῶν ληρημάτων ἤκουσαν, ἀνδρεῖόν τι καὶ σοφὸν ἐνιδόντες ἀλλήλοις* f. 165v *ἐγέλασαν καὶ τὴν προφητικὴν ἐκείνην || ὑπεῖπον ᾠδήν· «Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας, ἀλλ' οὐχ ὡς ὁ νόμος σου, κύριε». εἶτα καὶ πρὸς ἐκείνους «Καὶ ὅλως» εἶπον «οἴεσθε θεάρεστον εἶναι παίδευσιν καὶ ἀληθῆ τὸ ἡττᾶσθαι τῶν τῆς σαρκὸς ὀρέξεων ἐν παντὶ τὸν ἄνθρωπον καὶ δουλεύειν θυμῷ καὶ πονηρίᾳ καὶ τοῖς ἄλλοις κακοῖς; καὶ ποῦ τὸ λογικὸν αὐτοῦ θήσομεν; καὶ τί διοίσει ἄνθρωπος θηρίων ἀλόγων; ὅμως ἡμεῖς, ὦ ἄνδρες, ἐκείνων ἐσμὲν μαθηταὶ τῶν πρὸς Θεὸν λεγόντων «Οὐ μὴ ἀποστῶμεν ἀπὸ σοῦ, ἀλλ' ἕνεκα σοῦ θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. καὶ οὐδὲν ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ». τού-*

Rubro: v. 1 *μάρ|Τυρες*, v. 4 *Μετὰ*, v. 14 *Μεταγαγόντες*, v. 23 *Ὡς*, v. 27 *Καὶ πρὸς*

1 *ὑμεῖς* 17 *εὕρηται* 20 *τούτῳ: τούτ(ων)* cod., em. *N*

25 sq. *Διηγήσαντο — κύριε:* Psal. 118 (119), 85. — 32 *οὐ — ἀπὸ σοῦ:* Psal. 79 (80), 19.—32 sq. *ἕνεκα — σφαγῆς:* Psal. 43 (44), 23. Rom. 8, 36.—34 *ἡμᾶς — Θεοῦ:* cf. Rom. 8, 35. 39.

των ἀκούσαντες καὶ αὐτοὶ πρὸς τὸν ἄρχοντα αὐτῶν κατῃσχυμμένοι ὑπέστρεψαν. | *col. 2*

ε̄. Χρόνος παρῆλθεν οὐχὶ συχνός, καὶ ἕτεροι παραγίνονται τὴν αὐτὴν ὑποκριθέντες τῆς ἐλεημοσύνης αἰτίαν· γυμνοσοφιστὰς ἀποκαλοῦσιν αὐτούς. μετὰ γοῦν τὴν διάδοσιν ἀσπασάμενοι πάντας καὶ καθεσθέντες «Τί» φασίν, «ὦ δέσμιοι, μὴ δυνατὸν παρὰ τῷ θεῷ μηδὲ δίκαιον;» οἱ δὲ «Οὐδέν» εἶπον· «πάντα γὰρ αὐτῷ καὶ δυνατὰ καὶ δίκαια· ὃ πρέπει μάλιστα τῇ θείᾳ φύσει». κἀκεῖνοι· «Εἰ οὖν πάντα δυνατὰ τῷ θεῷ καὶ δίκαια, σκεψώμεθα, τίνι τὴν δύναμιν αὐτοῦ χαρίζεται σήμερον, Ῥωμαίοις ἢ Ἰσμαηλίταις; τίνων τὰ στρατεύματα καθυπερτερεῖ καὶ τίνων ὡσεὶ χόρτος τὰ στρατεύματα πίπτουσιν; εἰ μὴ εὗρεν ἡμᾶς πληρωτὰς τῶν αὐτοῦ νόμων, οὐκ ἂν ἡμῖν τὰς εὐεργεσίας αὐτοῦ δέδωκε πάσας· || *f. 166* καὶ εἰ μὴ εἶδεν ὑμᾶς ἀπίστους περὶ τὸν αὐτοῦ προφήτην, οὐκ ἂν ὑποχειρίους ἡμῖν ἐποίησεν». καὶ οἱ ἅγιοι «Εἰ μὲν τῶν ἁγίων προφητῶν» εἶπον «ταῖς διδασκαλίαις ἐπειθαρχεῖτε, εὔκολον ἦν δεῖξαι ψευδομένους ὑμᾶς καὶ τίνος τόπον ἀποπληροῦτε· ἐπεὶ δὲ πόρρω τούτων ἐστέ, ἐρωτώντων ἡμῶν ἀποκρίθητε. δύο τινῶν δικαζομένων ὑπὲρ ἀγροῦ καὶ ἑκάστου τὴν αὐτοῦ δεσποτείαν ἕλκοντος, τοῦ μὲν μαρτύρων χωρίς, τοῦ δὲ παραστάσει τούτων, τίνος αὐτῶν ὑμεῖς οἱ Σαρακηνοὶ λέγετε τὸν ἀγρὸν εἶναι;» οἱ δὲ «Τοῦ παριστῶντος» εἶπον «τοὺς μάρτυρας». καὶ οἱ ἅγιοι· «Τοῦτο καὶ ἡμεῖς ἐπί τε τοῦ προφήτου ὑμῶν καὶ ἐπὶ τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ καὶ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τὸ δίκαιον κρίνομεν. | *col. 2* ἦλθεν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐκ παρθένου γενόμενος ἄνθρωπος, καὶ πάντας ἔχει μάρτυρας τοὺς ἀψευδεῖς καὶ ἀρχαίους προφήτας, τοὺς αὐτοῦ προλέγοντας καὶ δεσποτείαν καὶ ἔλευσιν. ἦλθεν, ὡς ὑμεῖς φατέ, καὶ ὁ μέγας Μωάμεδ, τρίτην νομοθεσίαν κομίζων ὑμῖν· οὐκ ἔδει οὖν καὶ αὐτὸν δύο τῶν τοῦ Θεοῦ προφητῶν ἢ κἂν ἕνα συνήγορον ἔχειν πρὸς τὸ ἀποδεῖξαι, ὅτι θεόθεν ἐξαπεστάλη;» οὕτως αὐτῶν εἰρηκότων ὁ Βασόης εἷς ὢν τοῦ χοροῦ τῶν ἁγίων «Ἔχει καὶ ὁ τῶν Σαρακηνῶν προφήτης» ἔφη «τὸν περιώνυμον Ἡσαΐαν τὰ κατ' αὐτὸν προαγγέλλοντα· καὶ εἰ μὴ λυπηρὸν ἦν τοῖς λογίοις τούτοις ἀνδράσι, καὶ τὸ ῥητὸν ἂν εἶπον αὐτό». οἱ δὲ «Καὶ μὴν οἴδαμεν συγγνώμην διδόναι τοῖς σφάλλουσιν» εἶπον· || *f. 166v* «τάχα γὰρ ὕβρις ἐστὶ τοῦ προφήτου». καὶ ὃς πρὸς αὐτούς· «Οὐχ ὑμεῖς λέγετε πάντων ἔσχατον εἶναι τῶν προφητῶν τὸν Μωάμεδ;» κἀκεῖνοι· «Ἀληθῶς. καὶ οὗτός ἐστιν ὁ μόνος ἀψευδὴς καὶ ὄντως προφήτης». καὶ ὁ φιλόχριστος πρὸς αὐτούς· «Ὁ θεῖος

Rubro: v. 3 *Χρόνος*, v. 15 *Καί*, v. 30 *Αὐτῶν*, v. 38 *Πρός*
1 *κατησχυμένοι*

καὶ θαυμαστὸς Ἡσαΐας οὕτω πως λέγει· ‘ἀφεῖλε κύριος ἀπὸ Ἰσραὴλ κεφαλὴν καὶ οὐράν’. καὶ ἑρμηνεύων τίνα ταῦτά ἐστι, κεφαλὴν μὲν ἔφη ἄρχοντα προσωπολήπτην, οὐρὰν δὲ προφήτην διδάσκοντα ἄνομα. μὴ δὴ θορυβεῖσθε· ἢ γὰρ οὐχὶ ἄνομον τοῦτο, ὅπερ ὁ Μωάμεδ τέθεικε πρόσταγμα, τὸν διὰ μῖσος ἀποβαλόντα τὴν ἑαυτοῦ γαμετὴν μὴ ἐξεῖναι ταύτην αὖθις ἀναλαβεῖν μὴ ἑτέρῳ πρότερον col. 2 συναφθεῖσαν; ἔμοιγε δοκεῖ τοῦτον | λέγειν οὐράν». οἱ δὲ «Ἴσμεν φιλοσοφεῖν» εἶπον· «ἀλλ’ εἰ τῷ θεῷ τοῦτο δοκεῖ, τίνες ὑμεῖς αὐτῷ διαμάχεσθαι;» ὁ δὲ φιλόχριστος· «Ἀληθῶς καὶ τὴν πυκνογαμίαν ὑμᾶς, μᾶλλον δὲ γυναικομανίαν ἐν τῷ τῶν νηστειῶν ὑμῶν πάσχειν καιρῷ ἐκ θεοῦ κομίσας ὑμῖν ἧκεν;» οἱ δὲ «Καὶ λίαν γε ἀψευδῶς» εἶπον. καὶ οἱ ἅγιοι «Ἔτι τις» εἶπον «λείπεται λόγος, ὁ περὶ τῶν κατὰ πολέμους τροπαίων, ἐπιλυθῆναι. ἠκούσατε τὰς τῶν Περσῶν νίκας, οἳ σχεδὸν κόσμου περιεγένοντο; τὰς τῶν Ἑλλήνων ἐμάθετε, οἳ καὶ Περσῶν αὐτῶν κατεκράτησαν; τῶν παλαιῶν Ῥωμαίων τὴν πάσης κυριότητα τῆς οἰκουμένης ἔγνωτε; τί οὖν; εὐσεβεῖς οἱ τοιf. 167 οῦτοι; οὐχὶ πολυθεΐαν εἰδωλικὴν πάντες ἐμαίνοντο, πόθεν || οὖν αὐτοῖς ἡ τοσαύτη νίκη καὶ δυναστεία, εἴπατε». μὴ δυνάμενοι οὖν ἀποκριθῆναι πρὸς ταῦτα, τὸν ἑαυτῶν κατειλήφασιν ἄρχοντα, τὸ τῶν ἀνδρῶν σταθηρὸν ἀπαγγέλλοντες φρόνημα. οἱ δὲ ἅγιοι δάκρυσιν ὁμοῦ συσχεθέντες τῷ Θεῷ εὐχαρίστουν.

6. Ἑπτὰ μὲν οὖν ὅλοις ἔτεσιν ἐγκατάκλειστοι ὄντες καὶ τὰς ψυχὰς ἐκλειπούσας ἔχοντες τῇ βίᾳ τῶν τῆς φρουρᾶς ὀδυνῶν, οὐκ ἐπαύσαντο τὰς ὑμνολογίας Δαβὶδ ᾄδοντες, οὔτε τῶν συνήθων ἠμέλησαν προσευχῶν· «Τί» γὰρ ἔλεγον «ἀνταποδώσομεν τῷ κυρίῳ τῷ οὕτως ἡμᾶς ἀγαπήσαντι;»

7. Τῇ μελέτῃ οὖν τῶν θείων γραφῶν οὕτω προσκειμένων αὐτῶν, πέμπτῃ τοῦ Μαρτίου μηνός, ἤδη τοῦ ἡλίου πρὸς δυσμὰς κατιόντος, ἐφίσταταί τις ἐν τῇ φρουρᾷ τοῦ ἡμετέρου στρατοῦ col. 2 ἄρχων | ποτὲ γεγονὼς καὶ γνώριμος τοῖς ἁγίοις, ὅν φασι καὶ προδότην τῆς μεγάλης ἐκείνης πόλεως τοῦ Ἀμορίου γενέσθαι, τῶν Σαρακηνῶν μύστης καὶ τῆς Χριστοῦ πίστεως ἔξαρνος, τὴν ἐπωνυμίαν Βοώδης. καὶ πρὸς τῇ θύρᾳ γενόμενος ἐφώνησέ τινα Κωνσταντῖνον καλούμενον, ἄνδρα λόγιον καὶ πάσῃ συνέσει κεκοσμημένον, νοτάριον ὄντα Κωνσταντίνου τοῦ πατρικίου καὶ συνδεσμώτην αὐτοῦ. ᾧτινι μηδενὸς παρόντος λέγει· «Οἶδας, λογιώτατε φίλων, ὅσην ἀγά-

Rubro: v. 7 Ἴσμεν, v. 18 Μὴ, v. 22 Ἔτεσιν, v. 27 Οὖν
12 ἔτι τίς 33 ἐφώνησε τινὰ
1—4 ἀφεῖλε — ἄνομα: cf. Es. 9, 14 sq. 25—26 τί — ἀγαπήσαντι: cf. Psalm. 115, 3.

πην ἔσχον πρό γε χρόνων πολλῶν εἰς τὸν κύριόν σου τὸν πατρίκιον·
ἣν καὶ μέχρι τοῦ νῦν συντηρῶ. μαθὼν οὖν ἀκριβῶς, ὡς ὁ πρωτο-
σύμβουλος ἐβουλεύσατο αὔριον αὐτὸν ἀνελεῖν, εἰ μὴ κατανεύσοι
συνεύξασθαι τούτῳ, ἔδραμον τὴν σώζουσαν || ὑμᾶς συμβουλεύσασθαι f. 167v
γνώμην. σὺ οὖν ἀλλὰ φρόνιμος ὢν πεῖσον αὐτὸν μακαρίσαι, τοῦτο
ποιῶν καὶ αὐτός, καὶ σώθητε μὴ ἀφιστάμενοι κατὰ ψυχὴν τῆς
ὑμῶν πίστεως». ὁ δὲ φιλόχριστος ἐκεῖνος ἀνήρ, τὸν σταυρὸν κατ'
ἐκείνου χαράξας χειρί, «Ἐμφραγείη σου τὸ μιαρὸν» εἶπε «στόμα,
διάβολε· ἀπόστηθι ἀφ' ἡμῶν, ἐργάτα τῆς ἀνομίας». καὶ ἅμα πρὸς
τὸν πατρίκιον ἐπορεύθη. πυθομένου οὖν αὐτοῦ, τίς ὁ τοῦτον κα-
λέσας καὶ τίνος ἕνεκα, σοφῶς ἐκεῖνος καὶ φρονίμως τὴν τοῦ θα-
νάτου ψῆφον μυστικῶς ἀπήγγειλε τούτῳ, τὰ τῆς ἀθέου μόνον
συμβουλῆς σιωπήσας, ἵνα μή τινα χώραν ὁ πονηρὸς λάβοι κατ'
αὐτοῦ καὶ τοῖς τῆς δειλίας λογισμοῖς περιτρέψοι. ὁ δέ «Τὸ θέλημα»
εἶπε «τοῦ κυρίου | γενέσθω». col. 2

8. Εἶτα διαθέμενος ἐγγράφως τὰ κατ' αὐτὸν διὰ τοῦ καλοῦ
Κωνσταντίνου, τοῖς συνδεσμώταις προτρέπεται παννύχους ἐκτελέσαι
τὰς ὑμνῳδίας. γίνεται. καί τις ἄρχων ἐφίσταται τὸ πρωῒ μετὰ
φοβερᾶς φαντασίας καὶ ὑπηρεσίας ἐνόπλου, παρὰ τοῦ πρωτοσυμ-
βούλου πεμφθείς, καὶ κελεύει τοὺς προέχοντας ἐξελθεῖν τῶν
δεσμίων. καὶ δὴ καὶ προῆλθον τῆς φυλακῆς δύο ἄνδρες καὶ
τεσσαράκοντα. καὶ φησὶ πρὸς αὐτούς· «Πόσον ἔτος οἴεσθε παρελ-
θεῖν ἀφ' οὗπερ καθείρχθητε;» οἱ δέ «Ἕβδομον» εἶπον «πάντως, ὡς
δὴ καὶ αὐτὸς οἶδας». — «Ἐμάθετε» εἶπεν ἐκεῖνος «διὰ τῆς μακρᾶς
ἀνοχῆς τὴν περὶ ὑμᾶς συμπάθειαν τοῦ πιστοτάτου πρωτοσυμ-
βούλου, πῶς ἐπὶ τοσοῦτον ἀνασχόμενος οὐκ ἠθέλησεν || ὑμᾶς ἀνε- f. 168
λεῖν; τούτου οὖν οὕτως ἔχοντος οὐκ ἔδει καὶ ὑμᾶς ὑπερεύχεσθαί τε
τούτου καὶ ἀγαπᾶν αὐτὸν ἐκ ψυχῆς;» καὶ οἱ ἅγιοι· «Νόμου τοῦτο
κελεύοντος, ὑπὲρ τῶν ἐπηρεαζόντων εὔχεσθαι, πράττομεν αὐτὸ καὶ
ἡμεῖς· ἀγαπᾶν δὲ μὴ συγχωρούμενοι τοῦτον, οὐκ ἀγαπῶμεν· φησὶ
γὰρ ὁ καθ' ἡμᾶς προφήτης οὕτως· Οὐχὶ τοὺς μισοῦντάς σε, κύριε,
ἐμίσησα;» καὶ ὁ ἄρχων· «Καὶ πῶς δυνατὸν μισοῦντάς τινα ὑπερεύ-
χεσθαι τούτου; ἐψεύσασθε εἰρηκότες τοῦτο.» καὶ οἱ ἅγιοι· «Οὐδαμῶς·
ἐμφυτευθῆναι γὰρ αὐτῷ τὴν θεογνωσίαν εὐχόμεθα. καὶ εἰ γένηται
τοῦτο, οὐκ ἀγαπᾶν αὐτὸν θελήσομεν μόνον, ἀλλὰ καὶ σφόδρα
τιμᾶν κατὰ τὸν εἰπόντα· Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου, ὁ

Rubro: v. 7 *Φιλόχριστος*, v. 10 *Οὖν*, v. 18 *Καί*, v. 28 *Καὶ οἱ*, v. 32 *Καὶ πῶς*

26 ἐπιτοσοῦτον 32 μισοῦντας τινὰ 33 ἐψεύσασθει

31—32 οὐχὶ — ἐμίσησα: Psalm. 138, 21. 36 Ἐμοὶ — Θεός: Psalm. 138, 17.

col. 2 Θεός». καὶ ὁ ἄρχων «Οὐ | βούλεσθε οὖν» ἔφη «τῷ πιστοτάτῳ πρω-
τοσυμβούλῳ συνεύξασθαι σήμερον; τούτου γὰρ χάριν πρὸς ὑμᾶς
ἀπεστάλην· καὶ οἶδα ὅτι τινὲς ἐξ ὑμῶν τούτου τυχεῖν ἐφίενται».
«Εὐχόμεθα» εἶπον οἱ ἅγιοι «μὴ μόνον τὸν πρωτοσύμβουλον, ἀλλὰ
καὶ σὲ καὶ ὅλον τὸ τῶν Σαρακηνῶν ἔθνος τῆς ἀθέου τοῦ Μωάμεδ
ἀποστῆναι λατρείας καὶ μόνῳ Χριστῷ τῷ Θεῷ εὔχεσθαί τε καὶ
λατρεύειν». καὶ ὁ ἄρχων· «Βλέπετε τί λέγετε, μὴ ἐν μεταμέλῳ γέ-
νησθε· οὐδὲ γὰρ βασάνων χωρὶς ἡ ἀπείθεια ὑμῶν διαβήσεται».
τῶν δὲ εἰπόντων ὡς «Ἀθανάτῳ Θεῷ τὰς ἑαυτῶν ψυχὰς ἀνεθέμεθα
καὶ οὔποτε τὴν εἰς αὐτὸν ἀρνησόμεθα πίστιν», «Τὸ κρῖμα» εἶπεν
f. 168v «ἐκεῖνο τῆς τε χηρείας τῶν γυναικῶν ὑμῶν καὶ τῆς || ὀρφανίας τῶν
τέκνων ἐλέγξει ὑμᾶς ἐν ἡμέρᾳ κρίσεως. εἰ γὰρ ἐπείσθητε τῷ πρω-
τοσυμβούλῳ καὶ ὡμολογήσατε τὸν Μωάμεδ προφήτην, ἔγραψεν ἂν
τῷ ὑμῶν βασιλεῖ· γυνὴ δὲ πάντως σήμερον βασιλεύει· καὶ σεσω-
σμένους ἐνθάδε τοὺς ὑμῶν ἐξαπέστειλεν· οὐδὲ γὰρ ἂν ἀντειπεῖν
ἴσχυσε· καὶ χαρᾶς ἐπὶ τῇ τούτων ἐλεύσει πολλῆς ἂν ἐπληρώθητε.
καὶ πλοῦτος ἄπειρος ὑμῖν ἐπεδόθη· χρόνου γὰρ ἑνὸς φόρος Αἰγύ-
πτου ἐπήρκεσε καὶ εἰς δεκάτην γενεὰν πλουτεῖν τοὺς ἐγγόνους ὑμῶν».
τότε οἱ ἅγιοι, διαθερμανθέντες ὡσανεὶ τὰς ψυχάς, «Ἀνάθεμα τῷ
Μωάμεδ» ἐβόησαν «καὶ πᾶσι τοῖς προφήτην αὐτὸν ὀνομάζουσιν».
col. 2 εὐθὺς οὖν ἐκεῖνος κελεύει, καὶ δεσμοῦνται τὰς χεῖρας ὀ|πίσω καὶ
πρὸς τὸν τῆς σφαγῆς ἄγονται τόπον. συνέδραμε δὲ πλῆθος ἄπειρον
χριστιανῶν ὁμοῦ καὶ Σαρακηνῶν ἰδεῖν τὴν τούτων ἀναίρεσιν.

9. Ὅτε γοῦν πλησίον ἦλθον τοῦ ποταμοῦ (Εὐφράτης οὗτος ἦν,
περὶ αὐτὸν γὰρ τὸ Σάμαρα ἡ μεγάλη πόλις αὐτῶν ἐστιν), φωνήσας
ἕνα τῶν ἁγίων ὁ ἄρχων Θεόδωρον μὲν ὀνομαζόμενον, ἐπιλεγόμενον
δὲ Κρατερόν, φησὶ πρὸς αὐτόν· «Σὺ κληρικός ποτε ὢν καὶ τοῦ τάγ-
ματος τῶν παρὰ χριστιανοῖς λεγομένων ἱερέων, ἐπεὶ τὸν τοιοῦτον
ἀπεβάλου βαθμόν, δόρυ τε καὶ στρατιωτικὴν ἐνδέδυσαι πανοπλίαν
καὶ ἀνδροκτόνος ἐγένου, τί νῦν σχηματίζῃ χριστιανὸς φανῆναι, πρὸ
πολλοῦ τὴν εἰς Χριστὸν πίστιν ἐξαρνησάμενος; οὐ μᾶλλον οὖν χρή
f. 169 σε καταφυγεῖν || εἰς τὴν τοῦ προφήτου Μωάμεδ διδασκαλίαν καὶ
ὑπ' αὐτοῦ τυχεῖν βοηθείας;» ὁ δὲ τοῦ Χριστοῦ μάρτυς φησὶ πρὸς
αὐτόν· «Δι' αὐτὸ μὲν οὖν τοῦτο μᾶλλον ὑπὲρ τῆς εἰς αὐτόν μου
πίστεως καὶ ἀγάπης τὸ αἷμα νῦν ἐκχῦσαι βούλομαι, ἵνα μοι τῶν
εἰς αὐτὸν ἁμαρτηθέντων ὁ ἀγαθὸς τὴν συγγνώμην παράσχοι». καὶ
ὁ ἄρχων «Ἤδη σου» φησὶ «πληρούσθω τὸ θέλημα· ἐγὼ γὰρ τὸ σοὶ
συμφέρον ἐλάλησα». τῶν δὲ δημίων Αἰθιόπων ἀναρριπιζόντων τὰ

Rubro: v. 1 **Βούλεσθε**, v. 7 **Καὶ ὁ**, v. 19 **Οἱ**, v. 24 **Ὅτε**, v. 33 **Ὁ**, v. 37 **Ἄρχων**
6 εὔχεσθαι τὲ

ξίφη καὶ ὥσπερ ἀποσκιρτώντων ὁ κραταιὸς Κρατερὸς τὴν ὑπὲρ τοῦ πατρικίου φροντίδα πολλὴν ἔχων καὶ δεδιώς, μή που δειλανδρήσῃ προϊδὼν τὴν τῶν φίλων ἀναίρεσιν, φησὶ πρὸς αὐτόν· «Κύριέ μου πατρίκιε, πρόκριτος ἡμῶν κατὰ πάντα ὤν, πρῶτος ὀφείλεις | καὶ τὸν τοῦ μαρτυρίου στέφανον δέξασθαι». col. 2 καὶ ὃς πρὸς αὐτόν· «Σὺ τοῦτο μᾶλλον, καρτερόφρον, πρῶτος ποίησον· ἕξεις δέ σοι κἀμὲ συνεπόμενον καὶ πάντας τοὺς σὺν ἡμῖν». εὐξάμενος οὖν ἐκεῖνος καὶ προσελθὼν τῷ δημίῳ δέχεται τὴν τομήν· εἶτα καθεξῆς καὶ οἱ ἅγιοι κατὰ τὰς ἀρχικὰς ἐξουσίας, μηδενὸς αὐτῶν τὸ σύνολον δειλιάσαντος, ὡς καὶ αὐτὸν ἐπὶ τούτοις καταπλαγῆναι τὸν ἄρχοντα.

10. Καὶ αὕτη μέν, ὦ πανθαύμαστοι μάρτυρες, τῆς ὑπὲρ Χριστοῦ ἀθλήσεως ὑμῶν ἡ ἀνδρεία, ἡ ἀκλινὴς πρὸς αὐτὸν ὑμῶν πίστις αὕτη· ἣν οὐκ ἐξέλυσαν δωρεῶν ὑποσχέσεις, οὐ προσηκόντων στοργή, οὐκ ἄλλο τι τῶν τοῦ βίου τερπνῶν. καὶ νῦν τῷ δεσποτικῷ παριστάμενοι θρόνῳ καὶ || τὰς ὑπὲρ τῶν πιστῶν πρεσβείας ποιούμενοι, f. 169v μεγίστων πολέμων νίκας καὶ τρόπαια τῷ πιστῷ ἡμῶν καὶ φιλομάρτυρι χαρίσασθε βασιλεῖ· ἰσχύος αὐτὸν Θεοῦ περιζώσατε δύναμιν· χεῖρα τούτου φοβερὰν τοῖς τῆς Ἄγαρ ἐργάσασθε, ἀπαλείφουσαν χώρας αὐτῶν καὶ | πόλεις, ἥμερον καὶ γῆν καὶ θάλασσαν δεικνῦσαν col. 2 καὶ λῃστρικῶν αὐτῶν ἐφόδων ἐλευθέραν· πάντων τῶν καλῶν νέμοιτε τούτῳ χάριν καὶ βασιλείας οὐρανῶν κληρουχίαν, ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ ζ'.

ΜΑΡΤΥΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΙΕΡΟΜΑΡΤΥΡΩΝ ΚΑΙ ΕΠΙΣΚΟΠΩΝ ΧΕΡΣΩΝΟΣ ΒΑΣΙΛΕΩΣ, ΚΑΠΙΤΩΝΟΣ ΚΑΙ ΤΩΝ ΣΥΝ ΑΥΤΟΙΣ.

1. Ἡνίκα Διοκλητιανὸς ὁ δυσσεβὴς τὰ Ῥωμαίων σκῆπτρα διέπων ἦν, | ὡς οὐκ ὤφελε, καὶ ὁ ἑλληνισμὸς σπουδῇ τούτου κατὰ πᾶσαν ηὐξάνετο χώραν, καὶ εἴδωλα μὲν ἐτιμῶντο καὶ δαίμονες, χριστιανοὶ δὲ δεινῶς ἀπηλαύνοντο, τότε καὶ τῆς Ἱεροσολύμων ἐκ||κλη- f. 170

Rubro: v. 11 *Καὶ*, v. 16 *Μεγίστων*, v. 20 *Πάντων*, v. 28 *Ἡνίκα*
2—3 «*δειλανδρήσει* η ex ι aut ex ει facto». *N*. 8 «*οἱ ἅγιοι*] *οἱ ἄλλοι?*» *N*.

σίας τὸν θρόνον ὁ σοφὸς Ἕρμων κατεκόσμει καὶ πᾶσαν σπουδὴν ἐποιεῖτο, μὴ τὸ τοῦ Χριστοῦ ποίμνιον τέλεον οἱ λύκοι κατάβρωμα ποιήσαντες τῆς γῆς ἀπαλείψαιεν· τοιαῦται γὰρ αἱ τῶν φιλοθέων ψυχαὶ προκινδυνεύειν βούλονται τῆς Χριστοῦ ποίμνης, ὑπὲρ ἧς ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν ἔθετο καὶ τὸ ἴδιον ἐξέχεεν αἷμα. διὸ καὶ χειροτονῶν ἐπισκόπους κατὰ πᾶσαν ἐξέπεμπε χώραν τὸν τῆς πίστεως λόγον κρατύνοντας καὶ τοὺς πιστοὺς στηρίζοντας ἐν τῇ πίστει καὶ παντὶ σθένει σπεύδοντας μετάγειν ἀπὸ τοῦ ψεύδους τοὺς ἀνθρώπους εἰς τὴν ἀλήθειαν.

2. Ἔνθεν τοι καὶ κατὰ τὸν ἑκκαιδέκατον χρόνον τῆς Διοκλητιανοῦ τυραννίδος Ἐφραὶμ χειροτονεῖ τὸν ἀοίδιμον καὶ τοῖς μέρεσι τῆς col. 2 Τουρ|κίας ἐκπέμπει, ἄνδρα θεοφιλῆ καὶ τὰ πάντα χρηστόν· ἀλλὰ δὴ κἀν τῇ Χερσῶνι τῆς Ταυροσκυθῶν ἐπαρχίας τὸν καλὸν Βασιλέα, τὸν λόγοις καὶ θαύμασι περίφημον ὅτι καὶ διαβόητον, οὗ καὶ τοὺς ἀγῶνας διαλαβεῖν ὁ λόγος βούλεται καὶ τὰ θαύματα καὶ ταῖς τῶν φιλοθέων ἀκοαῖς ὑφαπλῶσαι.

3. Τὴν πόλιν ταύτην τὴν Χερσῶνά φημι καταλαβὼν ὁ δίκαιος κατείδωλον οὖσαν καὶ δαίμοσι, φεῦ, θυσίας προσάγουσαν καὶ κατὰ τὸ μέσον γενόμενος «Ἄνδρες» ἔφη «πολῖται, θεοὺς εἶναι τοὺς παρ᾽ ὑμῶν τιμωμένους μηδαμῶς νομίζετε, δαίμονας δὲ μᾶλλον πρὸς ἀπώλειαν ἄγοντας τοὺς προσκειμένους αὐτοῖς. Θεὸς γὰρ εἷς ἐστιν ἐν οὐρανοῖς, ὁ λόγῳ καὶ σοφίᾳ δημιουργήσας τὰ σύμπαντα καὶ πᾶσι f. 170v τὴν ζωὴν || διὰ τοῦ πνεύματος αὐτοῦ χαρισάμενος· τοῦτον οὖν χρὴ τιμᾶν, τοῦτον σέβειν καὶ προσκυνεῖν, καὶ οὐκ ἄλλον τινά».

4. Τούτων ἀκούσαντες οἱ τῆς πόλεως οὐδὲ καθεκτοὶ τὸ σύνολον ἦσαν, ἀλλ᾽ αὐτίκα πρὸς ὕβρεις καὶ πληγὰς ἐτράπησαν τοῦ δικαίου, κυνῶν δίκην καθυλακτοῦντες αὐτοῦ, καὶ διαμερίσασθαι τοῦτον ὥρμησαν. ὅθεν ὁ ἀοίδιμος τόπον δούς, ὡς ἂν εἴποι τις, τῇ ὀργῇ σπηλαίῳ τινὶ Παρθενῶνι κατονομαζομένῳ φέρων δίδωσιν ἑαυτόν, πολλὰ δεόμενος ὑπὲρ αὐτῶν τοῦ Θεοῦ, μὴ τοῖς δαίμοσιν ἐπίχαρμα τοὺς ἄνδρας γενέσθαι, ἀλλ᾽ εὐδοκίᾳ τούτου καὶ προμηθείᾳ πρὸς ἐπίγνωσιν τῆς ἀληθείας ἐπανελθεῖν καὶ τὸν σωτήριον δέξασθαι col. 2 λόγον, σημειωθέντας αὐτοῦ τῷ βαπτίσματι. | τί οὖν ὁ πάντα ποιῶν καὶ μετασκευάζων πρὸς τὸ συμφέρον Θεός, ὁ μὴ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν;

Rubro: v. 10 Καὶ, v. 17 Ταύτην, v. 25 Ἀκούσαντες

1 ἑρμῶν 10 ἑξκαιδέκατ(ον) 17 χερσῶνα φημὶ 19 πολῖται 20 νομίζεται 22 λόγω καὶ σοφία

22 ὁ λόγῳ — τὰ σύμπαντα: Sir. 43, 28; Psalm. 103, 24. 22 sq. πᾶσι — χαρισάμενος: cf. Io. 6, 64; Rom. 8, 11; 2 Cor. 3, 6. 31—32 πρὸς ἐπίγνωσιν — ἐπανελθεῖν: cf. 1 Tim. 2,4. 34 ὁ μὴ θέλων κτλ. Iesec. 18, 32.

5. Τινὸς υἱὸν τῶν τῆς πόλεως πρώτων κάμπτει νόσου πληγή, καὶ ἡ πληγὴ θάνατον αὐτῷ προξενεῖ. θάπτεται τοιγαροῦν ὁ νεανίσκος τῆς πόλεως ἔξω· πενθοῦσι τοῦτον οἱ τεκόντες παρακαθήμενοι· ὄναρ αὐτοῖς ὁ νέος ἐφίσταται, τὸν θρῆνον ἄπρακτον καὶ κενὸν εἰσηγούμενος εἶναι. «Οὐδὲ γάρ» φησιν «οὓς σέβεσθε θεοὺς δυνατοί με τῶν τάφων ἐλευθερῶσαι καὶ ζῶντα τοῖς ποθοῦσιν ὑμῖν παραστῆσαι· λίθοι γάρ εἰσι καὶ ξύλα κωφὰ καὶ ἀναίσθητα, πρὸς ἀπώλειαν τῶν ἀνθρώπων ὑπὸ δαιμόνων ἐξευρημένα. τοῦτο γὰρ Θεοῦ τοῦ ζῶντός ἐστι μόνου, || ὃν ὁ καθ' ἑκάστην ὑφ' ὑμῶν τυπτόμενός τε f. 171 *καὶ ὑβριζόμενος κηρύττων ὑμῖν ἀπηνῶς ἀπωθεῖται. οὗτος οὖν, εἴ γε προσιόντες αὐτῷ προσπέσοιτε, ζῶντά με προσευξάμενος μόνον ὑμῖν ἀποδῷ· δυνατὸς γάρ ἐστι τῷ τοιαῦτα ποιεῖν».*

6. Ἀνῆκε ταῦτα θεασαμένους ὁ ὕπνος, καὶ πρὸς ἀλλήλους τὰ ὁραθέντα κατὰ λεπτὸν διηγοῦντο, καὶ ἐπεὶ συνεφώνει τούτοις τὰ τῆς ὁράσεως, τὴν πόλιν τάχος καταλαμβάνουσι καὶ τοῖς προσήκουσι τὰ ὁραθέντα καθεξῆς διηγοῦνται· οἱ δὲ τὸν ἐπίσκοπον ἐκζητήσαντες κἀν τῷ σπηλαίῳ τοῦτον εὑρόντες δέονται θερμῶς καὶ τὴν ἔγερσιν τοῦ παιδὸς ἐξαιτοῦνται. ὁ δὲ «Καὶ τίς εἰμι ἐγώ» λέγει, «ἵνα τοιοῦτον ἔργον τελέσω; Θεοῦ τοῦτο μόνου, ἀδελφοί, τοῦ μεγάλου, | τοῦ πάντα col. 2 *νεύματι μόνον τὰ καλὰ δυναμένου ποιεῖν· ἀλλ' ὅμως, εἴπερ αὐτὸν δέξασθαι τὸν ὑπ' ἐμοῦ καταγγελλόμενον ὑμῖν βουληθῆτε καὶ τοῦτον ὁμολογῆσαι Θεὸν πάντων καὶ βασιλέα, ποιήσει τοῦτο δι' ἐμοῦ». μιᾷ γοῦν ἐκεῖνοι φωνῇ «Τὸν υἱὸν ἡμῶν» εἶπον «ἴδωμεν ζῶντα, καὶ πάντα τὰ παρὰ σοῦ λεγόμενα τὸ τάχος ποιήσομεν».*

7. Ὁ τοίνυν μακάριος Βασιλεὺς σὺν ἱερεῦσι δυσὶ τὸν τάφον ἅμα τοῖς τῷ νεκρῷ προσήκουσι καταλαβών, ἐπιφερόμενος καὶ τὰ πρὸς τὸ βάπτισμα συντελοῦντα, τοῦ λίθου διαρθέντος τίθησιν ἐπὶ τῷ νεανίσκῳ τὴν χεῖρα καὶ ὡς ἐπὶ ζῶντι πάντα τὰ τῆς μυσταγωγίας ῥήματα λέγει, τὸ ὕδωρ ἁγιάζει καὶ καταχέει τοῦ νεανίσκου, τὴν ἐπίκλησιν ἐπειπὼν || τῆς ἁγίας τριάδος, καὶ ζῶντα τοῖς παρεστῶσι f. 171v *δεικνύει· ἀνέστη γὰρ ὁ νεκρὸς καὶ τοῖς γεννήτορσιν ἀπεδόθη. τοῖς γόνασιν οὖν εὐθὺς ἐκεῖνοι προσπεσόντες τοῦ μάκαρος καὶ τῷ Χριστῷ πιστεύσαντες τὴν τοῦ θείου δέχονται βαπτίσματος χάριν καὶ τῆς συνήθους τελεσθείσης μυσταγωγίας μεταλαμβάνουσι καὶ τῶν ἀχράντων αὐτῶν μυστηρίων καὶ ἦσαν ἀγαλλιώμενοι καὶ δοξάζοντες τὸν Θεόν.*

8. Ἀλλ' οὐκ ἦν ἐν τούτοις πάντως τὸν πονηρὸν ἠρεμεῖν· καὶ τί ποιεῖ; τοὺς Ἕλληνας ὑπελθὼν πρὸς φόνον ἐξεγείρει τοῦ τρισολ-

Rubro: v. 1 Τινὸς, v. 13 Θεασαμένους, v. 18 Ὁ δέ, v. 25 Μακάριος, v. 36 Ἐν
1 πληγῆ 2 ἡ πληγὴ *delendum?* 4 νεανίσκος *ed. prior calami lapsu,* νέος *cod.* 9 ζῶντος ἐςὶ 12 ἀποδῶ 18 τίς εἰμὶ

βίου· γενόμενοι γὰρ ἐκεῖνοι κατὰ τὸ σπήλαιον, ἐν ᾧπερ ἦν διάγων ὁ μέγας, καὶ σχοίνους τῶν ἐκείνου ποδῶν ἐκδήσαντες εἷλκον, φεῦ, (col. 2) ἀπηνῶς αὐτὸν διὰ τῆς πλα|τείας ἐπὶ τοσοῦτον, ἕως οὗ τὴν μακαρίαν αὐτοῦ ψυχὴν χερσὶν ἀγγέλων παρέθετο. ἑβδόμην ἦγεν ὁ Μάρτιος. ἐφ' ᾧτινι τόπῳ κίονα τὸ πλῆθος τὰ νῦν τῶν πιστῶν ἔστησαν καὶ σταυρὸν τίμιον εἰς προσκύνησιν ἐπάνω τούτου κατέπηξαν.

9. Μὴ ἀρκεσθέντες οὖν οἱ τῶν εἰδώλων θεραπευταὶ καὶ τοῖς κυσὶ τὸ πάντιμον ἐκεῖνο σῶμα βορὰν ἔξω τῆς πόλεως ἑλκύσαντες ἔρριψαν· ἀλλ' ἔδειξε Θεὸς τὴν πρὸς τὸν οἰκεῖον δοῦλον τιμήν· τὸ γὰρ αἱμοβόρον τῶν θηρίων ὁ λύκος διὰ πάσης νυκτός, ἄστρου περιλάμποντος, φύλαξ τοῦ μαρτυρικοῦ καθίστατο σώματος, τὸ παράδοξον· ἀετὸς δὲ τὸ σαρκοβόρον τῆς τοιαύτης λειτουργίας δι' ὅλης (f. 172) τῆς ἡμέρας ἀντελαμβάνετο, τὸ θαυμάσιον. καὶ οὕτω φύ||λακες ἦσαν ἀκριβεῖς, ἄχρις οὗ τινες τῶν πιστῶν ἐν νυκτὶ κρύφα τοῦτο λαβόντες ἔξω τῆς πόλεως ἐντίμως κατέθεντο.

10. Τῶν συνόντων οὖν τῷ μάρτυρί τις πρὸς τὰ τοῦ Ἑλλησπόντου μέρη μετὰ τὴν ἐκείνου ταφὴν διαβὰς καί τινας εὑρὼν ἐπισκόπους τῶν συναποσταλέντων τότε τούτῳ παρὰ τοῦ προέδρου τῶν Ἱεροσολύμων ἐπὶ τὸν τῆς πίστεως σπόρον διηγεῖται τούτοις ἅπαντα τὰ συμβεβηκότα τῷ ἀθλητῇ. ἦσαν δὲ οὗτοι ὁ κλεινὸς Εὐγένιος καὶ Ἀγαθόδωρος ὁ καλὸς καὶ Ἐλπίδιος ὁ θαυμάσιος, οἱ καλὸν ἐν ἐπισκόποις ἐκλάμψαντες. οἵτινες ἅμα τῷ μαθεῖν περὶ τῆς τελευτῆς τοῦ παμμάκαρος τὴν Χερσῶνα καταλαμβάνουσι καὶ τὸν λόγον τῆς (col. 2) ἀληθείας | διδάσκουσιν.

11. Ἔνθεν τοι καὶ τοῦ ἀριθμοῦ προστιθεμένου τῶν πιστευόντων ὁ τοῖς καλοῖς εἰωθὼς βασκαίνειν ἀεὶ διάβολος ὁπλίζει καὶ κατ' αὐτῶν ὁμοίως Ἰουδαίους καὶ Ἕλληνας, οἳ καὶ τῶν ποδῶν ἐκείνων τῶν ὡραίων, ὡς εἰπεῖν, καὶ ἀγαθὰ πάντως εὐαγγελιζομένων σχοίνους ἐκδήσαντες εἷλκον καὶ ξύλοις καὶ λίθοις αὐτοὺς τῷ ἕλκεσθαι προσαπέκτειναν καὶ τῆς πόλεως, φεῦ, ἀπηνῶς εἰς βορὰν κυσί τε καὶ ὀρνέοις ἐξέρριψαν. ἕκτην ἔτρεχεν ὁ Δεκέμβριος μήν. τῶν πιστῶν οὖν τινες ἀνελόμενοι καὶ ταῦτα καὶ εἰκότως τιμήσαντες φιλοτίμως κατέθεντο.

12. Χρόνος οὐκ ὀλίγος παρῆλθε, καὶ στέλλεταί τις ἐξ Ἱεροσο- (f. 172ᵛ) λύμων ἐπίσκοπος Αἰθέριος ὄνομα. ὃς μήπω τὴν Χερσῶνα || καταλαβὼν ἐναντίων ἀνέμων πνοαῖς ἔν τινι νήσῳ Ἄλσος ὠνομασμένῃ καὶ τοῖς μέρεσι τοῦ Δανάπρεως ποταμοῦ προσκειμένῃ καταίρει, ἐν ᾗ δὴ καὶ νόσῳ ληφθεὶς ὁ μέγας Αἰθέριος καὶ μέλλων ἤδη τὸν

Rubro: v. 9 *Τὸ*, v. 16 *συ|Νόντων*, v. 34 *Παρῆλθε*
14 *τινὲς* 16 *μάρτυρι τίς* 30 *κυσὶ τὲ* 32 *τινὲς*

βίον ἀπομετρεῖν, «Κύριε ὁ Θεός μου», λέγει προσευχόμενος, «ἐπεὶ καὶ ἀνάξιον ὄντα [με] τῆς πόλεως Χερσῶνος ἐπίσκοπον εὐδόκησας προβληθῆναι, αὐτός μου καὶ τὴν μνήμην ἐν ταύτῃ τελεῖσθαι ποίησον, ὡς ἂν δοξάζηταί σου τὸ πανάγιον ὄνομα». καὶ ταῦτα εἰπὼν παρέθετο τὴν ψυχὴν τῷ κυρίῳ.

13. Περιστείλαντες οὖν οἱ πιστοὶ τὸν νεκρὸν καὶ τὰ εἰκότα ποιήσαντες θάπτουσιν ἐντίμως καὶ κίονα πρὸς τῷ τάφῳ ἐγείρουσι καὶ τούτῳ σταυρὸν ἐφιστῶσι. δένδρα τε τοῖς Θεοῦ κρίμασιν ἀπορρήτοις ἐν αὐτῷ δὴ τῷ τόπῳ | φυέντα μακρόθεν τὸν τάφον ὑποδηλοῦσι. [col. 2]

14. Χρόνος παρῆλθεν οὐχὶ συχνός, καὶ ὁ μὲν τῆς εἰδωλομανίας κλύδων πέπαυτο, κέρας ἡμῖν σωτηρίας τοῦ Θεοῦ ἀνεγείραντος τὸν εὐσεβῆ καὶ φιλόχριστον βασιλέα Κωνσταντῖνον τὸν μέγαν· πρὸς ὃν πρεσβείαν στείλαντες οἱ πιστοὶ τῶν ἐν τῇ Χερσῶνι κατοίκων ἐπίσκοπον ἐξαιτοῦσι, καὶ μέντοι δὴ καὶ λαμβάνουσι τὸν θαυμαστὸν Καπίτωνα· ὃς ἅμα πεντακοσίοις στρατιώταις καὶ Θεωνᾷ τῷ τὴν ἐπιστασίαν ἔχοντι τούτων συνεκπεμφθεῖσι παρὰ τοῦ βασιλέως τὴν Χερσῶνα καταλαβὼν μεσούσης ἡμέρας ἐδέχθη παρὰ τῶν πιστῶν ἔξω τῆς πόλεως διαγόντων μάλα χαριέντως καὶ σὺν ἡδονῇ πολλῇ. οὓς αὐτίκα πρὸς αὐτὸ τὸ τεῖχος συναγαγὼν || τὸν τῆς θεοσεβείας [f. 173] *ἐδίδασκε λόγον· εἶτα καὶ τῆς πόλεως ἔνδον γενόμενος καὶ εἰρήνην δοὺς τῷ λαῷ χαίροντας ἀπέλυσεν.*

15. Τῇ ἐπαύριον δὲ πλήθους συναχθέντος πολλοῦ καὶ τοῦ ἐπισκόπου τὸν τῆς θεοσεβείας λόγον αὐτοῖς εὐρύθμως ὑπαγορεύοντος τὸ τῆς ἀπιστίας ἐχόμενον μέρος «Ξένα τινὰ» κράζουσιν «εἰσφέρεις ἡμῶν εἰς τὰς ἀκοὰς καὶ ξένα τινὰ καταγγέλλεις· ἀλλ' εἴ γε πίστιν ἐνθεῖναι τούτοις βούλει καὶ πειθομένους ἡμᾶς ἐν τοῖς παρὰ σοῦ λεγομένοις λαβεῖν, ὃ εἴπωμεν, τοῦτο ποίησον· ἰδοὺ κάμινοι δύο πρὸς ἀσβέστου ποίησιν ἀναφθεῖσαι τοῦ ἡμετέρου ναοῦ· τούτων οὖν ὑπελθόντα σε μίαν εἴ γε μὴ φλέξει τὸ πῦρ, πιστεύσομεν τῷ ὑπὸ σοῦ κηρυττομένῳ Θεῷ». καὶ ὁ ἅγιος· «Καὶ πόθεν | ἄρα μοι τὸ πιστὸν [col. 2] *ἔσται, ὡς εἰ γένηται τοῦτο, πιστεύσετε»; τῶν δὲ διαπορουμένων, πῶς ἡ πίστις δοθήσεται, ὁ ἐπίσκοπος «Τὰ τέκνα ὑμῶν» ἔφη «τοῖς στρατιώταις παράδοτε, ὡς εἰ τούτου παρ' ἐμοῦ σὺν τῷ τοῦ Χριστοῦ ὀνόματι γινομένου ὑμεῖς οὐ πιστεύσετε, ταῖς καμίνοις αὐτὰ παραδώσουσιν οὗτοι».*

16. Ἤρεσεν ὁ λόγος, καὶ τῶν τέκνων αὐτῶν τοῖς στρατιώταις παραδοθέντων ὁ θαυμαστὸς ἐπίσκοπος εὐχὴν ποιησάμενος, τοῦ δια-

Rubro: v. 6 *Περιστείλαντες*, v. 10 *Χρόνος*, v. 22 *Τῇ*, v. 30 *Ἄρα*, v. 36 *Καὶ*
1 ἐπειδὴ *ed. pr.* 2 με *inserui* 8 δένδρα τὲ
24 Ξένα τινὰ κτλ. Act. ap. 17, 20.

κόνου τὸ «πρόσσχωμεν» ἐπειπόντος, εὐθὺς εἰσῆλθε τὴν κάμινον τῷ ὅπλῳ τοῦ σταυροῦ πεφραγμένος, καὶ ὥραν ἐφ' ἱκανὴν ἐμποιήσας αὐτῇ προσευχόμενος καὶ τὰ χείλη κινῶν, τὸ παράδοξον, εἶτα καὶ f. 173v *ἀνθρακιὰν τῷ κόλπῳ ἐνθέμενος ἀβλαβὴς ἐξῆλθε τῇ δυνάμει || τοῦ Πνεύματος.*

17. Ἐξέπληξε τοῦτο τὸν ὄχλον, ναὶ δὴ καὶ τοὺς στρατιώτας αὐτούς, καὶ δόξαν ἐδίδων τῷ μεγάλῳ Θεῷ τῷ ποιοῦντι μεγάλα καὶ παράδοξα τέρατα. κολυμβήθραν οὖν εὐθὺς οἰκοδομηθῆναι προστάξας ὁ μέγας ἐκ τῆς κεκαυμένης ἀσβέστου, ἐν ταύτῃ πάντας ἐβάπτισεν· ἀνέστησέ τε καὶ ναὸν ἐχόμενον ταύτης ἐπ' ὀνόματι τοῦ πρώτου καὶ κορυφαίου τῶν ἀποστόλων Πέτρου. ἀνέφερε δὲ καὶ τῷ εὐσεβεῖ βασιλεῖ Κωνσταντίνῳ κατὰ τὴν Νίκαιαν διατρίβοντι καὶ τῆς ἀρειανικῆς αἱρέσεως τὴν καθαίρεσιν συνοδικῶς ποιουμένῳ πάντα τὰ πεπραγμένα καὶ τὰ τοῦ θαύματος. καὶ ὃς μεγάλως εὐχαρίστησε τῷ Θεῷ μετὰ τῆς συνόδου καὶ τὸν Θεωνᾶν, ὃν προλαβὼν ὁ λόγος col. 2 *ἐγνώρισε, παγγενῆ πρὸς τὸν | ἐπίσκοπον ἐξαπέστειλε. τοῦτο καὶ γὰρ ὁ Καπίτων δι' ἐντεύξεως ἐποιήσατο, συνοικεῖν αὐτῷ διηνεκῶς κατὰ τὴν Χερσῶνα. ᾧτινι δὴ καὶ τὸ ἀνατολικώτερον τῆς πόλεως μέρος πρὸς κατοίκησιν τῶν περὶ αὐτόν τε καὶ τὸν ἐπίσκοπον ἀπεδόθη παρὰ τῶν οἰκητόρων, ἤγουν ἀπὸ τοῦ ῥεγεῶνος τῆς λεγομένης μικρᾶς ἀγορᾶς καὶ μέχρι τοῦ Παρθενῶνος ὠνομασμένου τόπου. ἔκτοτε γοῦν καὶ μέχρι τῆς δεῦρο τὰ τῷ ναῷ τοῦ ἀποστόλου πλησιάζοντα Πέτρου τὰ Θεωνᾶ ὀνομάζεται.*

18. Σὺ δέ, καλὲ Καπίτων καὶ ἄνθρωπε τοῦ Θεοῦ καὶ λειτουργὲ τοῦ κυρίου καὶ ἄνερ ἐπιθυμιῶν τῶν τοῦ πνεύματος, καλῶς ποιμάνας τὸ ποίμνιον ἐν γήρᾳ βαθεῖ καταλύεις τὸν βίον. καὶ νῦν f. 174 *ἀγγέλοις συνδιαιτώμενος καὶ συνα||γαλλόμενος τοῖς συνάθλοις σου— ἤθλησας γὰρ ὑπὲρ τῆς εἰς Χριστὸν πίστεως καὶ αὐτός, κατατολμήσας σφοδροτάτου πυρός,—μακρὰν αἴτησαι σὺν αὐτοῖς, δεόμεθα, βασιλεῖ ἡμῶν τῷ ὀρθοδόξῳ τὴν ζωὴν καὶ καλήν, ἰσχὺος Θεοῦ πεπληρωμένην* col. 2 *καὶ χάριτος, χαλινοῦσαν φάλαγγας ἐχθρῶν τῇ δυνάμει τοῦ | Πνεύματος, ἀλλὰ καὶ ζωῆς αἰωνίου τὴν χαρὰν αὐτῷ καὶ τὴν δόξαν, ἡλίου λάμψιν τοῦ νοητοῦ καὶ θείου, πάντων τῶν καλῶν τὴν μετάληψιν ὅλως καὶ βασιλείας οὐρανῶν μετουσίαν· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

Rubro: v. 6 *τοῦ|Το*, v. 24 *κα|Πίτων*, v. 29 *Μακρὰν*, v. 33 *Πάντων*
1 *πρόσχωμεν* 8 *κολυμβῆθραν* 16 *παγγενεῖ?* 19 *αὐτόν τέ*
27 *τοῖς ἀγγίλοις ed. pr. calami lapsu.*

Μηνὶ τῷ αὐτῷ η΄.

ΒΙΟΣ ΚΑΙ ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΟΝΩΝΟΣ ΤΟΥ ΙΣΑΥΡΟΥ.

1. *Ὁ μέγας οὗτος καὶ περίδοξος Κόνων, οὗ τὸν βίον καὶ τὸ διὰ Χριστὸν μαρτύριον ἀνατάξασθαι προεθέ|μεθα, τῆς Ἰσαύρων γῆς* col. 2 *δένδρον εὔκαρπον ἔστι τε καὶ γνωρίζεται. κώμη μὲν γὰρ τοῦτον ἤνεγκε Βηδανὰ καλουμένη, γεννήτορες δὲ Νέστωρ καὶ Μάδα, ἡ καλὴ || ξυνωρίς· οἵτινες καὶ πεφθακότα μέτρον εἰς ἡλικίας γυναικὶ* f. 174v *κατεγγυῶνται σεμνῇ τὸν τρόπον καὶ σεμνῶν γεννητόρων. ἤδη δὲ τελεσθέντων τῶν γάμων Μιχαὴλ ὁ μέγας τῶν Θεοῦ δυνάμεων ἀρχιστράτηγος τῷ Κόνωνι φαίνεται, ὡς αὐτὸς οὗτος ὕστερον διηγήσατο, μυστηρίων αὐτῷ κοινωνήσας τινῶν, καὶ ἐπεὶ πειθόμενον εὗρε καὶ τὸ χάρισμα ζητοῦντα δέξασθαι τοῦ βαπτίσματος, παρά τι τοῦτον ὕδωρ ἀπάγει καὶ τῇ τῆς τριάδος ἐπικλήσει βαπτίζει, εἶτα καὶ τοῦ μυστικοῦ δείπνου μεταδοὺς αὐτῷ καὶ τῆς εὐλογίας, τῶν ὀφθαλμῶν ἀφίπταται, συμπαρὼν ἀοράτως αὐτῷ καὶ συμπράττων, ὡς ἑξῆς ὁ λόγος δηλώσει.*

2. *Τοίνυν λύχνον οὗτος ἀνάψας κατὰ τὴν ἑσπέραν | φαιδρόν* col. 2 *φησι πρὸς τὴν γαμετήν, μήπω ταύτῃ συνελθών· «Τί σοι δοκεῖ τῶν δύο, γύναι, τερπνότερον, τὸ φῶς ἢ τὸ σκότος;» τῆς δὲ συνθεμένης τὸ φῶς, τῆς ἡδίστης ἐκεῖνος διδασκαλίας ἥψατο καὶ οὕτω ταύτην διέθηκεν ὁ σοφός, ὡς ἁγνεύειν αὐτὴν αἱρεῖσθαι καὶ μὴ τοῖς τοῦ γάμου σπίλοις προσεμπεσεῖν. ἐπήνεσε τὴν αὐτῶν πρόθεσιν ἡ μήτηρ τοῦ Κόνωνος, τοῦτο μαθοῦσα, καὶ τῶν τρόπων αὐτοὺς ἐμακάριζεν· ὁ δὲ καὶ τὸν πατέρα μετ' οὐ πολὺ τὸ καλὸν ἐκδιδάσκει καὶ προσάγει Χριστῷ καὶ τοιοῦτον ἀποτελεῖ, ὡς καὶ τὸ μαρτυρικὸν αὐτὸν ὑπελθόντα στάδιον καλῶς τὸν δρόμον ἀνύσαι καὶ νῦν ναοὺς αὐτοῦ τυγχάνειν ἐν Μεσοβηδάνῃ τῇ κώμῃ. κατέλαβε τὸ τῆς ζωῆς τέλος καὶ τὴν εὐλογημένην σύζυγον ἐν καλῷ, || ναὶ δὴ καὶ τὴν τεκοῦσαν* f. 175 *αὐτήν. ἃς ἐν ἑνὶ καὶ τῷ αὐτῷ κατὰ διαφόρους καιροὺς καταθέμενος τάφῳ, τὸν τοῦ πνεύματος οὗτος ἔσπευδεν αὐξάνειν ἀγαθὸν θησαυρόν, μονότροπος ὢν καὶ ὅλος ἀσκητικός.*

Rubro: v. 4 **Ὁ**, v. 6 *Κώμη*, v. 10 *τελε|Σθέντων*, v. 18 *Ἀνάψας*, v. 23 *ἐ|Πήνεσε*

6 *ἔσι τὲ* 20 *γῦναι* 28 *ἐν μέσῃ Βηδάνῃ?*

3. Ἑορτῆς οὖν ποτε τῷ Ἀπόλλωνι τελουμένης παρὰ τῶν ἀσεβῶν ἔν τινι σπηλαίῳ Κλίμακι καλουμένῳ, βαθεῖ καὶ ζοφώδει, καὶ τῶν Ἰσαύρων ἐν αὐτῇ συνηγμένων, ὁ καλὸς Κόνων εἰς μέσον αὐτῶν καταστὰς διήλεγξέ τε τοῦτον μὴ εἶναι θεόν, ἀλλὰ δαίμονα, καὶ μὴν καὶ ἐξουσίαν εἰς καθαίρεσιν αὐτοῦ λαβεῖν ἐζήτει, γνωσθῆναι λέγων ἐντεῦθεν τὴν ἰσχὺν τοῦ ἀγάλματος. τῶν τοιούτων οὖν παραινέσεων οὗτος ἐχόμενος ἐπεὶ μὴ πείθειν αὐτοὺς οἷός τε ἦν, ἑώρα γὰρ σημεῖον ἐπιζητοῦντας εἰς πίστιν τῶν ὑπ᾽ αὐτοῦ λεγο- col. 2 *μένων, οὐμενοῦν οὐκ ἀνένευσεν, | ἐδίψα γὰρ τὴν αὐτῶν σωτηρίαν, ἀλλὰ καὶ πρόθυμος εἰς τοῦτο γίνεται, κἀκείνων ἀπαιτούντων ὁποῖόν τι τοῦτο, φησὶν αὐτὸς πρὸς αὐτούς· «Τόπον ὁρίσωμεν, εἰς ὃν ὑμεῖς εἰώθατε τελεῖν τὴν πανήγυριν, καὶ εἴπερ αὐτοὶ νέοι ὄντες καὶ ἔφιπποι πρὸ ἐμοῦ τοῦτον καταλάβοιτε γέροντος ὄντος, μείζων ὁ θεὸς ὑμῶν δόξει τοῦ παρ᾽ ἐμοῦ κηρυττομένου Χριστοῦ· εἰ δ᾽ οὖν, ἀλλ᾽ ὑμεῖς ἐμοὶ πεισθήσεσθε προλαμβάνοντι». γίνεται τοῦτο, καὶ ὁ μὲν προθύμως ταῖς τοῦ ἀρχαγγέλου συναντιλήψεσιν ὁδεύειν ἀρξάμενος καὶ πόνων ὥσπερ ἐκτὸς κούφως, ὡς ἂν εἴποι τις, τὸν τόπον κατέλαβεν· οἱ δὲ δυσδιοδεύτως τοῖς ὄρεσιν ἐνστρεφόμενοι πάλιν ὅθεν ἐξώρμησαν ἦσαν.*

f. 175v *4. Τοῦ δὲ ἁγίου μετὰ μίαν ἡμέραν ὑποστρέψαντος || καὶ τούτους ἐν ᾧπερ ἔλιπε τόπῳ θεασαμένου καὶ εἰπόντος, ὡς εἴη ἀπελθὼν καὶ τῷ μὴ εὑρεῖν αὐτοὺς μετὰ μίαν ὑπαναστρέψοι, κατεπλάγησαν ἐκεῖνοι τῷ παραδόξῳ τοῦ πράγματος· ὅμως ἀξιώσαντες ποδηγοῦνται πρὸς τὸν τόπον ὑπὸ τοῦ Κόνωνος καὶ τὴν εἰς Χριστὸν ἀπαιτούμενοι πίστιν ἕτερον σημεῖον ἐπιζητοῦσιν· καὶ πρὸς αὐτοὺς ὁ ἅγιος «Τί τούτοις» φησὶν «ἐνδιατρίβοιτε, τὴν ὑπέρθεσιν ποιούμενοι τοῦ συμφέροντος; στοιχεῖτε τοῖς παρὰ τοῦ Ἀπόλλωνος ῥηθήσεσθαι μέλλουσι καὶ τοῦτον ἔχειν εἴποιτε πάντως, ὃν ἂν αὐτὸς ὁμολογήσοι θεόν;» στοιχεῖν ἐπεβόησαν ἅπαντες· καὶ ὃς τῇ ἐπικλήσει Χριστοῦ τὸ εἴδωλον εὐθὺς εὐχῇ καταβάλλει καὶ πρὸς αὐτὸ «Τίς ὁ μέγας» ἔφη* col. 2 *«Θεός, λέγε μοι σύ». τότε τοίνυν (τίς μὴ θαυ|μάσει σου, Χριστέ μου, τὴν ἀξιύμνητον δύναμιν;) φωνῇ χρησάμενον ἐντρόμῳ τὸ ἄγαλμα «Χριστὸς» εἶπεν «ὁ ὑπὸ σοῦ κηρυττόμενος». καὶ ἅμα τὸ πλῆθος τούτων ἀκοῦσαν «Εἷς Θεὸς ὁ Κόνωνος» ἐξεβόησαν «καὶ πλὴν αὐτοῦ θεὸς ἄλλος οὐκ ἔστι». ταύτην τὴν φωνὴν οἱ τὴν τοῦ ἁγίου τελοῦντες ἐτήσιον ἑορτὴν ἐν τῇ κώμῃ Βιδανῶν μέχρι τῆς σήμερον ἐκβοῶσι λαμπρῶς.*

Rubro: v. 6 ***Οὖν***, v. 15 ***Γίνεται***, v. 35 ***Οἱ***

9 *οὐ|μενοῦν* 26 *ἐνδιατρίβετε?* 28 *ὁμολογήσῃ?* 36 ***βιδανῶν*** *cod., cum antea* (p. 203, 7) *fuerit Βηδανά*

5. *Αὐτίκα γοῦν οἱ μὲν θερμότεροι τό τε ξόανον συνέτριψαν καὶ τοῦ βαπτίσματος ἔτυχον, οἱ δὲ σκληροὶ καὶ δυσήνιοι χαλεποῦ τινος δαίμονος ὑπογαίου βοήθειαν κατὰ τοῦ μάκαρος ἐπεζήτουν, ὃν καὶ θεραπεύοντες ἦσαν, οὐχ ἵνα τινὸς ὠφελείας τύχοιεν οἱ ἄφρονες, ἀλλ' ἵνα μὴ βλάβην ἐξ αὐτοῦ δεινὴν ὑπομείνοιεν. ἐπὶ τοῦτον τοίνυν ἦγον τὸν δίκαιον· καὶ ὃς πρόθυμος || αὐτοῖς ἠκολούθει καὶ τὸ τοῦ* f. 176 *δαίμονος ἄντρον ὑποδὺς πάντων δρώντων ἐκβάλλει τοῦτον σφοδρῶς ὑπό τινος δυνάμεως ἐλαυνόμενον καὶ δείκνυσιν ἅπασι μορφὴν ἐρρυσιδωμένης γραὸς περικείμενον. ἐθαύμασεν ὁ ὄχλος τῷ παραδόξῳ τοῦ πράγματος, καὶ πολλοὶ προσῆλθον Χριστῷ διὰ τοῦ βαπτίσματος.*

6. *Μετὰ δὲ ταῦτα χρημάτων τις ἀπώλειαν ὑποστὰς πάντας εἷλκε τοὺς πολίτας ὡς ὑπευθύνους, καὶ οἱ μὲν αὐτῶν φυλακαῖς, οἱ δὲ καὶ βασάνοις καθυπεβάλλοντο, ὅσοι δὴ μὴ τῶν πρώτων ἦσαν τῆς πόλεως. ὁ δὲ μέγας τοῦτο μαθὼν τὸν τόπον δείκνυσι τούτοις, ὅπου δὴ καὶ τὰ χρήματα οἱ κεκλοφότες ἀπέθεντο. λαμβάνουσι ταῦτα οἱ ἀπολέσαντες, καὶ τῶν δεσμῶν καὶ βασάνων οἱ κα|τεχόμενοι* col. 2 *ἀπελύοντο. οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ τὸ οἰκεῖον εὐκτήριον, ὃ τῇ κώμῃ Βιδάνων σύνεγγυς ἦν, ὁ μέγας κατέλαβεν· οἱ δὲ τὸ Αἴγραμμον ὄρος οἰκοῦντες λησταὶ φοιτῶσι πρὸς αὐτὸν χρημάτων ἕνεκα λήψεως, ἐγγύς που τοῦ ὄρους τυγχάνοντα, τῷ ἀρχιληστῇ πρότερον Κόπῃ οὕτω καλουμένῳ τὸ πρᾶγμα γνωρίσαντες· ἀλλ' ἐκείνου μὴ συντιθεμένου πρὸς τοῦτο (παρῆν γὰρ ὅτε τὴν καθαίρεσιν τοῦ Ἀπόλλωνος ὁ ἅγιος ἐποιήσατο), οὗτοι τὸ κελλίον τοῦ Κόνωνος κατειλήφασιν, εἰσῆλθόν τε ξιφήρεις καὶ τὰς γωνίας ἠρεύνων καὶ ἀνώρυττον, εἴ που δὴ καὶ χρυσίον εὕροιεν, ἐκείνου πρὸς τράπεζαν ἀσχολουμένου καὶ δεξιώσεις αὐτῶν· ὡς δὲ μηδὲν εὕρισκον, καὶ τοῦτον ἐπεχείρουν διαχει||ρίσασθαι, δαίμονες ἐπῆλθον αὐτοῖς, οἳ* f. 176ᵛ *πάντως καὶ πρὸς τοῦτο τούτους συνήλασαν, καὶ παρά τινι πυρᾷ διελκύσαντες κατέκαυσάν τε τὰς αὐτῶν κεφαλὰς καὶ ἡμιθανεῖς ἀπειργάσαντο. κατοικτείρας οὖν αὐτοὺς ὁ μέγας τῆς συμφορᾶς ὑγίωσέ τε καὶ τὸ τάχος ἀπέλυσε. μέγας οὖν ἐξ ἐκείνου φόβος τοὺς πάντας κατέλαβε, καὶ οὐδεὶς ἐτόλμα διατεθῆναι καταφρονητικῶς πρὸς αὐτόν.*

7. *Δύο δέ τινας ὄρεσιν ἐμφωλεύοντας ἀγρίους ἄνδρας καὶ τὰς κόμας δασεῖς, τιθεμένους τὸν ἐκείνου φόβον ἐν μηδενί, δαίμονες δραμόντες καὶ τῆς κόμης λαβόμενοι πρὸς τὸν ἅγιον ἤγαγον, ὡς*

Rubro: v. 12 *Ταῦτα*, v. 18 *Οὐ*, v. 35 *Δύο*

5 *ὑπομείναιεν?* 12 *τίς* 16 *καὶ videtur delendum* 19 *βιδάνων:* *sic cod.* (cf. p. 204, 36) 19 *Αἴγραμμον?* 25 *εἰσῆλθόν τὲ* 32 *ὑγίωσε τέ*

ἐντεῦθεν πλείονα τὸν αὐτοῦ φόβον τοῖς περιοίκοις γενέσθαι πρὸς τὸ μή τινα τῶν συνοίκων ἀδικεῖν.

col. 2 8. Ἄλλος δέ τις | παριὼν καὶ τὰς ἐρεβίνθους ἀκμαίας οὔσας καὶ πλήρεις καρπῶν κατιδὼν τίλλειν ἤρξατο ταύτας, φυλασσομένας ὑπὸ δαιμόνων ταῖς τοῦ μεγάλου κελεύσεσιν· ὑπηρετουμένους γὰρ εἶχεν ἐν ἅπασιν· οἷς δὴ καὶ προσέταττε, τὸ ἀσθενὲς αὐτῶν καὶ δοῦλον διὰ τούτου δηλῶν, ἀλλὰ καὶ τοὺς ἀτάκτους διὰ τῶν ὁμοίων παιδεύων. ἤκουσεν οὖν ἐκεῖνος ὁ τίλλων φωνῆς ἀοράτου, «Ἀρκέσθητι» μέγα λεγούσης. ὡς δὲ μηδένα τὸ παράπαν ἑώρα καὶ δὶς καὶ τρὶς τὰς ἐρεβίνθους ἐξέτιλλε καὶ φόρτον ἔμελλε ταύτας ἐπιθεῖναι τῷ κτήνει, τὸ πονηρὸν εὐθὺς πνεῦμα, ὃ καὶ τὴν φωνὴν ἐποιεῖτο, σὺν ἐκείνῳ προσκαθίσαν ἄγει καὶ μὴ βουλόμενον αὐτὸν πρὸς τὸν f. 177 ἅγιον, «Ἰδέ», λέγον, «τοῦ Θεοῦ δοῦλε, ὅπως ἃς ἡμεῖς || ἐσκάψαμέν τε καὶ εἰργασάμεθα χώρας ὁ λίχνος οὗτος ἐξέτιλλέ τε σφοδρῶς καὶ ἠφάνισε, καίπερ «Ἀρκέσθητί» μου βοῶντος, «Ἀρκέσθητι» λέγοντος». ἰδὼν οὖν ὁ μέγας συντετριμμένον ἐξ ὧν ὑπέστη τὸν ἄνθρωπον, τῷ μὲν δαίμονι καὶ αὖθις ἐπιμελεῖσθαι τῶν ἔργων ἐπέταξε, τὸν δὲ κλέψαντα λόγοις παιδεύσας μηδαμῶς τοιαῦτα ποιεῖν ἀπέλυσε. τοῦτο δὲ καὶ εἰσέτι νῦν ὁρᾶται γινόμενον ἔν τε τοῖς λοιποῖς κτήμασι τῆς ἁγίας αὐτοῦ σοροῦ καὶ τοῖς κτήνεσιν· εἴ που καὶ γάρ τις ἀφελέσθαι τι καὶ μικρὸν αὐτῶν πειραθῇ, τῆς ἐκ δαιμόνων μάστιγος τὴν πεῖραν ὑφίσταται, μὴ πρότερον ἀπαλλαττόμενος αὐτῆς, πρὶν ἂν αὐτὸ τοῦτο ἢ τὸ ὅμοιον ἀποδῷ.

9. Χήρας δέ τινός ποτε πενιχρᾶς βρέφος θηλάζον λύκος ἐν col. 2 ἀμήτῳ | ταύτης περὶ τὴν συλλογὴν τῶν ἀσταχύων ἀσχολουμένης ἁρπάσας ᾤχετο. γνωσθέντος οὖν τοῦ κακοῦ τῇ τε μητρὶ καὶ τοῖς θερισταῖς, οἱ μὲν ἐδίωκον ἄπρακτα, ἡ δὲ τῷ μεγάλῳ Κόνωνι πρόσεισι καὶ τὸ πρᾶγμα γνωρίζει, δάκρυα θερμὰ τῶν ὀφθαλμῶν ἀποστάζουσα. καὶ ὃς αὐτίκα τοὺς κακοὺς ὑπηρέτας ἐν ἀγαθῷ τῷ πράγματι στέλλει. καὶ πεφθακότες οἱ μὲν τῶν ὤτων εἷλκον αὐτόν, οἱ δὲ τύπτοντες εἰς τὸ ἔμπροσθεν ὤθουν, μέχρις οὗ τὸ βρέφος ἀπαθὲς ἐπὶ στόματος ἔχοντα τῷ ἁγίῳ παρέστησαν. οὗ δὴ καὶ σώου τῇ μητρὶ χαρισθέντος πάντες ἐδόξαζον τὸν Θεὸν καὶ τὸν ἅγιον.

10. Λοιμικῆς οὖν νόσου τῆς χώρας ἁπανταχοῦ διανεμομένης τὰ πλήθη ταῖς λοιμώδεσι τῶν δαιμόνων ἐπιφοραῖς ὁ μέγας ἐπικαμ|| f. 177v φθεὶς τοῖς ἐξ αὐτῆς ὁσημέραι θανάτοις τοὺς σκαιοὺς ἐκείνους ἐμβριμησάμενος τῷ πνεύματι δαίμονας ὁμοῦ παρέστησεν, ὡς λέγεται, πάντας καὶ ἅμα συνδήσας εὐχῇ καὶ σφραγῖδι σταυροῦ κερα-

Rubro: v. 3 Παριών, v. 9 Ὡς, v. 24 Ποτέ, v. 34 Οὖν
13 ἴδε 19 εἰς ἔτι 21 τί 23 ἀποδῶι 24 τιν̇(σ)| ποτὲ

μίοις, ὥς φασιν, ἐν τριάκοντα καὶ τούτοις μολυβδίνας σφραγῖδας ἐπιβαλὼν καὶ τῇ γῇ καταχώσας, ὡς τὸ τέλος τοῦ λόγου διδάξει, τῆς λοιμώδους ἐκείνης βλάβης τὴν χώραν ἀπήλλαξε. καὶ ταῦτα μὲν ἐκ πολλῶν τῶν αὐτοῦ τεραστίων ὀλίγα. ἤδη δὲ καιρὸς καὶ πρὸς τὸ μαρτύριον αὐτὸ τὸν λόγον μεταγαγεῖν.

11. Μάγνος τις ἡγεμὼν βασιλικῶν ἐκ διαταγμάτων ἄρτι τὴν Ἰκονιέων καταλαβὼν εἰς ἄρνησιν τοὺς πιστοὺς ἐξεκάλει καὶ θυσίας τοῖς εἰδώλοις προσάγειν παρῄνει· ἐζήτει τε καὶ τοὺς κρυπτομένους χρι|στιανοὺς καὶ ὅλῳ θυμῷ κατ' αὐτῶν ὁ δυσσεβὴς ἐχώρει. μηνύ- col. 2 *εται γοῦν τις αὐτῶν τὴν Σορόβων κώμην οἰκῶν, Νήσιος ὄνομα, καὶ αὐτὸς δὲ οὗτος ὁ θαυμάσιος Κόνων, ἐν τοῖς ἀνωτέρω τοῦ Ταύρου λεγομένου μέρεσι κατά τι κτῆμα Βίδανα καλούμενον διάγων. γνωρίζεται δὲ Κόνων οὐ χριστιανὸς μόνον, ἀλλὰ καὶ θαυμάτων πλείστων αὐτουργός. εὐθὺς οὖν τὴν κώμην Σορόβων καταλαβὼν ὁ τύραννος τὸν θαυμαστὸν συνέσχε καὶ κάλλιστον Νήσιον, εἶτα πέμψας καὶ τὸν μέγαν συλλαμβάνεται Κόνωνα. τῇ δὲ ἑξῆς προκαθίσας ἐπὶ τοῦ βήματος τὸν Νήσιον παραστῆναι κελεύει καὶ παραστάντα καὶ ὄνομα τοῦτον καὶ τύχην ἐρωτᾷ καὶ πατρίδα. τοῦ δὲ χριστιανὸς μόνον εἶναι λέγοντος καὶ μηδὲν ἕτερον ἀποκρινομένου, || θυμομαχήσας* f. 178 *ὁ Μάγνος ταῖς κολάσεσιν αὐτὸν ἔκδοτον δίδωσιν ἐπὶ τοσοῦτον, ἕως ὁ καλλίνικος εἰς χεῖρας Θεοῦ τὸ πνεῦμα παρέθετο.*

12. Μήπω δὲ τοῦ Κόνωνος αὐτῷ παραστάντος ὁ μανίας ἔμπλεως πρὸς ἐκεῖνον ὁρμᾷ καὶ καταλαβὼν αὐτὸν ἐν αὐτῇ τῇ κώμῃ, μὴ τὸν τῆς ὁδοῦ κόπον ἐπαναπαύσας ἐκάθισεν ἐπὶ βήματος καὶ ἐκέλευσεν ὄργανα κολαστήρια προτεθῆναι, εἶτα καὶ λόγοις αὐτὸν ἀπατηλοῖς πρὸς θυσίαν ἐνῆγεν, «Ἡ τῶν θεῶν» λέγων «ἱερωσύνη δοθήσεταί σοι, κάλλιστε γέρων, εἰ θυσίας μόνον αὐτοῖς προσενέγκοις». ὁ δὲ «Μή μοι ταῦτα λέγε» μετὰ παρρησίας, «ἡγεμών», ἔφη· «ἐμὲ γὰρ οὔτε τὰ προτεθέντα ταυτὶ κολαστήρια, οὔτε λόγων αἱ ποικιλίαι ποσῶς ἀποστῆσαι δυνήσονται τοῦ Χριστοῦ· | ποίει τοιγαροῦν ὃ col. 2 *βούλει, μὴ περαιτέρω πειράζειν ἐθέλων». εὐθὺς οὖν ἐκεῖνος κατὰ γῆς ταθῆναι κελεύει τὸν μάρτυρα καὶ ῥάβδοις ἀπηνῶς καταξαίνεσθαι· εἶτα διελέγχων αὐτὸν ὁ ἅγιος καὶ τοὺς θεοὺς αὐτοῦ μυκτηρίζων καὶ ἄθλιον αὐτὸν ἀποκαλῶν καὶ σπαθίζεται καὶ δειναῖς ἄλλαις αἰκίαις καθυποβάλλεται. τῶν Ἰσαύρων οὖν τοῦτο μεμαθηκότων καὶ καταδραμόντων ἐνόπλων τοῦ ἡγεμόνος, ὡς ἂν αὐτὸν διὰ τὸν ἀθλητὴν ἀποκτείνωσιν, ἐκεῖνος ἵππου τὸ τάχος ἐπιβὰς τὴν Ἰκονιέων*

Rubro: v. 6 *Ἡγεμών*, v. 16 *Τῇ*, v. 22 *Κόνωνος*, v. 28 *Μοι*, v. 31 *Οὖν*, v. 35 *Ἰσαύρων*

6 *μάγνος τίς* 8 *ἐζήτει τὲ* 12 *βίδανα cod., cf. p.* 203, 7 *Βηδανὰ*

καταλαμβάνει καὶ οὕτω ῥύεται τῆς τοῦ πλήθους ὀργῆς· οἵτινες
ὑποστρέψαντες καὶ τὸν ἅγιον αἱμάτων ἀποστάζοντα κρουνοὺς εὑρη-
f. 178v κότες ἔλυσάν τε καὶ || τὰς πληγὰς ἐθεράπευον, εἶθ' οὕτως κατα-
λιπόντες αὐτὸν ὑπεχώρησαν.

13. Δύο παρῆλθον ἔκτοτε χρόνοι, καὶ ὁ μέγιστος Κόνων τοιού-
τοις ἐνδιαπρέψας καλοῖς τὸν βίον ἐν βαθεῖ γήρᾳ καταλιμπάνει καὶ
πρὸς τὴν ἄνω λῆξιν χωρεῖ· οὗτινος τὸ σῶμα καλῶς οἱ πιστοὶ περι-
στείλαντες μετά γε τῆς αὐτοῦ μητρὸς καὶ τῆς γαμετῆς ἢ μᾶλλον
εἰπεῖν ἀδελφῆς φιλοτίμως ἐν τῷ οἰκητηρίῳ τούτου κατέθεντο.
μετὰ γοῦν τὴν αὐτοῦ τελευτὴν ναὸν ἀνεγεῖραι μέλλοντες οἱ πιστοὶ
τῇ αὐτοῦ μεγαλειότητι πρέποντα, ἐν ὅσῳ τοὺς θεμελίους διορύττειν
ἤρξαντο, πεφθάκασι τὰ τῶν δαιμόνων κεράμια, περὶ ὧν ὁ λόγος
ἐδήλωσε, καὶ τούτων, ἀγνοοῦντες ὅ τι καὶ εἶεν, συντρίβουσιν ἕν,
col. 2 χρήματα δῆθεν ὑπονοή|σαντες ἔχειν. ἐξαίφνης οὖν ὁρῶσι δαίμονας
ἀνέμους ὥσπερ ἐκβάντας καὶ τοὺς παρεστῶτας ταράξαντας, τόν τε
ἀέρα γνοφώδη καὶ κατάστυγνον ἐργασαμένους καὶ τὰς οἰκοδομὰς
σχεδὸν διαστρέψαντας, ὡς ἐντεῦθεν πολλὴν ἐμπεσεῖν τῇ κώμῃ
δειλίαν καὶ μηκέτι τινὰ τολμᾶν ἔξω που κατὰ τὰς ἐννυχίους ὥρας
διάγειν. ὅπερ γνόντες, ὅ τι καὶ ἦν, οἱ τὸν ναὸν ἀνεγείραντες κατέ-
χωσάν τε βαθύτερον ταῦτα καὶ οὕτως εἴασαν μένειν. ἀλλ' ἴσως
ἐρεῖ τις· Καὶ διὰ τί τὸν ὅρον οἱ δαίμονες ἠθέτησαν τοῦ δικαίου;
καὶ φαμέν· Ὅτι καὶ οἱ κάτοικοι τὰς αὐτοῦ παραγγελίας ἠθέτησαν.

14. Ταῦτά σου, πανθαύμαστε Κόνων, τὰ λόγων ὑπερκείμενα
παράδοξα θαύματα· τὰ γὰρ μετὰ θάνατον ποία γλῶσσα παραστῆσαι
f. 179 δυ||νήσεται; καὶ νῦν οἰκῶν τοὺς οὐρανοὺς καὶ περὶ τὸν θρόνον
αὐτὸν στρεφόμενος τὸν δεσποτικὸν χάρισαι ταῖς πρὸς Χριστὸν
εὐκτικαῖς ἱκεσίαις σου καὶ βασιλεῖ ἡμῶν τῷ πιστῷ καὶ φιλοθέῳ καὶ
τὰ πάντα καλῷ μέγιστα τρόπαια κατ' ἐχθρῶν ἐναντίων, ἰσχὺν κατ'
col. 2 αὐτῶν τὴν θεϊκὴν καὶ κράτος, χώρας τὴν ἀ|πάλειψιν αὐτῶν καὶ
λύσιν, ἀΰλων μονῶν τὴν καλὴν κατοικίαν· ἡνίκα δὲ μέλλοι τῷ
κριτῇ παραστῆναι, λύσιν σφαλμάτων τῶν ἐν βίῳ πραχθέντων
πάντων, τὴν συγχώρησιν τῶν ἐπταισμένων καὶ βασιλείας οὐρανῶν
εὐτυχίαν· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. ἀμήν.

Rubro: v. 10 *Τελευτὴν*, v. 23 *Πανθαύμαστε*, v. 28 *Μέγιστα*, v. 32 *Πάντων*
9 οἰκητηρίῳ: εὐκτηρίῳ? (cf. p. 205, 18)   18 μήκετι   24 ποῖα

Μηνὶ τῷ αὐτῷ θ´.

ΜΑΡΤΥΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΤΟΥ ΧΡΙΣΤΟΥ ΤΕΣΣΑΡΑΚΟΝΤΑ ΜΑΡΤΥΡΩΝ.

1. Εἶχε μὲν τὰ Ῥωμαίων σκῆπτρα Λικίννιος, ὁ τῶν πάλαι
παρανόμων βασιλέων παρανομώτατός τε | καὶ δυσσεβέστατος· εἶχον col. 2
δὲ καὶ χριστιανοὺς ἅπαντας θλίψεις βαρεῖαι καὶ διωγμὸς μέγας ἐπ᾽
αὐτοὺς ἠγείρετο, μυρία τε εἴδη βασάνων αὐτοῖς ηὐτρεπίζετο καὶ
πολὺς ὁ κλύ||δων κατ᾽ αὐτῶν ἐκυμαίνετο· δαίμοσι γὰρ ἠναγκάζοντο f. 179ᵛ
θύειν ἐπ᾽ ὀνόματι κιβδήλων θεῶν, Ἀγρικολάου τότε ἡγεμονεύοντος, δεινοῦ καὶ ἀπηνοῦς ἀνθρώπου καὶ ὅλως τῷ ἀντικειμένῳ κεχαρισμένου.

2. Ἦσαν δέ τινες τῶν στρατιωτῶν ἔν τινι νουμέρῳ, τὸν ἀριθμὸν τεσσαράκοντα, ἐκ διαφόρων μὲν ὁρμώμενοι πόλεων, μιᾷ δὲ πίστει καὶ φιλίας δεσμοῖς ἀλλήλοις συνδεδεμένοι, τὴν ἡλικίαν ἀκμάζοντες, τῶν πολιῶν εἰς σύνεσιν διαφέροντες, τὸ σέβας πιστότατοι, τὴν ἀνδρείαν εὐδοκιμώτατοι· οἳ καὶ συλληφθέντες ὑπὸ τοῦ ἡγεμόνος, ἐπεὶ τῶν βασιλικῶν προστάξεων ἤκουσαν, χριστιανοὺς ἑαυτοὺς ὡμολόγησαν· ὁ δὲ πανοῦργος ὢν δελεάσαι τούτους λόγοις ἡμέροις
ἐβούλετο, «Μὴ δὴ» | λέγων, «ὦ καλοὶ στρατιῶται, τῶν βασιλικῶν δια- col. 2
ταγμάτων καταφρονηταὶ φανῆναι θελήσητε· βούλομαι γάρ, ὥσπερ ἡ σύμπνοια καὶ τὸ ὁμόψυχον ὑμῶν νίκης αἴτιον πολλάκις τῷ στρατοπέδῳ γέγονεν, οὕτω καὶ νῦν ὁμονοήσαντας ὑμᾶς θυσίαν προσαγαγεῖν τοῖς θεοῖς καὶ μὴ θάνατον βίαιον τῆς ἡδίστης ἀνθελέσθαι ζωῆς». εἶτα καὶ χρήματα τὰ μὲν παρεῖχε, τὰ δὲ καὶ δοῦναι διωμολόγει, τιμάς τε βασιλικὰς καὶ ἀξιωμάτων προκοπὰς ἐπηγγέλλετο. οἱ οὖν ἅγιοι πρὸς ταῦτα συνετὴν ἐποιήσαντο τὴν ἀπόκρισιν, οὕτως εἰπόντες· «Εἰ θνητῶν ἀνθρώπων, ἡγεμών, προκινδυνεύοντες ἐνικῶμεν, ὡς σὺ μαρτυρεῖς, ἀθανάτου νῦν ὑπεραγωνιζόμενοι βασιλέως
οὐ πολλῷ μᾶλλον νικήσομεν; τί δὲ καὶ χρήμασιν || ἡμᾶς καὶ τιμαῖς f. 180
διαφθεῖραι σπουδάζεις, οὓς οὐ χρήματα μόνον, οὐ δόξα καὶ περιφάνεια βίου, ἀλλ᾽ οὐδὲ τὸ ἡδὺ τοῦτο φῶς ἀποστῆναι Χριστοῦ πείσει ποτέ».

Rubro: v. 4 Εἶχε, v. 26 Ἅγιοι
7 μυρία τὲ   8 κατάυτῶν ἐκοιμαίνετο   25 τιμὰς τὲ

3. Πρὸς ταῦτα ὁ τύραννος «Οὐ πολυλογεῖν» εἶπε «δέον, ἀλλ' εἰς τὴν ἐπιοῦσαν προσελθόντας θύειν». οὕτως εἰπὼν βληθῆναι τούτους εἰς τὴν φυλακὴν ἐκέλευσεν. οἱ δὲ βληθέντες ἐδέοντο τοῦ Θεοῦ, τὰ γόνατα κλίναντες καὶ «Μὴ ἐγκαταλίπῃς ἡμᾶς, κύριε,» λέγοντες, «ἐξελοῦ δὲ μᾶλλον ἀπὸ πειρατηρίου καὶ ἀπὸ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν». καὶ τότε μὲν οὕτως, ἑσπέρας δὲ ἤδη καταλαβούσης ἤρξαντο ψάλλειν· «Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται» καὶ τὰ λοιπὰ τοῦ col. 2 ψαλμοῦ· καὶ οὕτω | παρέτειναν τὴν ᾠδὴν ἄχρι μεσονυκτίου. προηγεῖτο δὲ αὐτῶν ἐν μὲν ταῖς προσευχαῖς καὶ ταῖς παραινέσεσιν ὁ ἅγιος Κυρίων, ἐν δὲ ταῖς ἀποκρίσεσιν ὁ ἅγιος Κάνδιδός τε καὶ Δόμνος. ἐπιφανεὶς οὖν αὐτοῖς ὁ σωτὴρ «Ἡ μὲν πρόθεσις ὑμῶν» εἶπε «καλή, ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται», προαναφωνῶν πάντως τῷ λειποτακτήσαντι τὴν φυγὴν καὶ φόβον αὐτῷ τὸν λόγον τοῦτον ἐντιθεὶς εἰς ἀνάμνησιν, ὥσπερ καὶ τοῖς ἀποστόλοις ποτὲ τὸ «Εἷς ἐξ ὑμῶν παραδώσει με», τῷ Ἰούδᾳ προαναστέλλων τὴν προδοσίαν.

4. Πάντες δέ, ὡς ἤκουσαν τῆς φωνῆς, ἔμφοβοί τε ἐγένοντο καὶ ἄγρυπνοι διετέλεσαν ἕως ὄρθρου. ἅμα δὲ φωτὶ λαβὼν ὁ ἡγεμὼν f. 180v τοὺς φίλους αὐτοῦ || κελεύει παρόντων αὐτῶν ἀχθῆναι τοὺς ἁγίους. ἐπεὶ οὖν ἤχθησαν, ἤρξατο λέγειν οὕτως· «Ἐγὼ καὶ πρότερον εἶπον, ἀλλὰ καὶ νῦν τὰ αὐτὰ λέγειν βούλομαι, οὐ πρὸς χάριν, ἀλλὰ πρὸς ἀλήθειαν πάντα φθεγγόμενος· οὐδένα ἰδεῖν καθ' ὑμᾶς ἔχω ἐν ὅλῳ τῷ στρατῷ, οὐ συνετὸν οὕτως, οὐχ ὡραῖον, οὐκ ἀνδρείᾳ περίβλεπτον· διὰ τοῦτο καὶ βλέπων ὑμᾶς μόνον εὐφραίνομαι καὶ τῶν ἄλλων πλέον φιλῶ. μὴ οὖν τὴν ἀγάπην εἰς μῖσος μεταβαλεῖν θελήσητε· τὸ γὰρ ἢ μισεῖσθαι ἢ ἀγαπᾶσθαι παρ' ὑμῖν ἐστι πάντως.» τοιαῦτα τοῦ ἡγεμόνος δολιότητι γνώμης εἰπόντος ὁ ἅγιος Κάνδιδος «Εἰκότως» εἶπεν «Ἀγρικόλαος κέκλησαι· ἄγριος γὰρ εἶ τῷ ὄντι κολα- col. 2 κευτής». καὶ ὁ ἡγεμών· «Οὐκ ἔγωγε εἶπον, ὅτι παρ' ὑμῖν | ὅλως κεῖται τὸ ἢ μισεῖσθαι ἢ φιλεῖσθαι ὑμᾶς;» καὶ οἱ ἅγιοι· «Εἰ οὖν παρ' ἡμῖν, ὡς λέγεις, ἀμφότερα, μὴ λανθανέτω σου τὴν ἀγχίνοιαν, ὅτι σὲ μὲν πάνυ μισοῦμεν, φιλοῦμεν δὲ τὸν Χριστόν».

5. Ὀργῆς ἐπλήσθη τούτων ἀκούσας ὁ ἡγεμὼν καὶ κελεύει δεθέντας αὐτοὺς εἰς τὴν φυλακὴν ἀπάγεσθαι. καὶ οἱ μάρτυρες· «Ἀλλ'

Rubro: v. 1 τύ|Ραννος, v. 12 Ἐπιφανείς, v. 17 Ὡς, v. 20 ἐ|Πεί, v. 27 ἡγε|Μόνος, v. 29 Οὐκ

5—6 ἀπὸ σκανδάλων — ἀνομίαν: Psalm. 140 (141), 9. || 7—8 ὁ κατοικῶν — αὐλισθήσεται: Psalm. 90 (91), 1. || 13 ὁ δὲ — σωθήσεται: Matth. 10, 22; 24, 13; Marc. 13, 13. || 15—16 εἷς — παραδώσει με: Matth. 26, 21; Marc. 14, 18; Io. 13, 21.

οὐ δέδοταί σοι κολάζειν ἡμᾶς ἐξουσία, ἀλλ' ἢ μόνον ἐπερωτᾶν». ἐφοβήθη τούτων ἀκούσας ὁ ἡγεμὼν καὶ οὐδὲν ἄλλο τῷ δεσμοφύλακι διετάξατο Ἀγλαΐῳ, ἢ τὸ ἀσφαλίσασθαι τούτους ἀκριβῶς, ἕως ἂν ἐκ Καισαρείας ὁ δοὺξ ἐπανέλθοι. πλὴν καὶ εἴσω τῆς εἱρκτῆς ὄντες ἐδιδάσκοντο παρὰ τοῦ ἁγίου Κυρίωνος τὸ ὁμοψύχως ἔχειν καὶ ὁμοφρόνως, ὥσπερ ἐν τῇ στρατείᾳ, οὕτω δὴ || κἂν τῇ ὁμολογίᾳ *f. 181* τοῦ Χριστοῦ.

6. Ἑπτὰ παρῆλθον ἡμέραι, καὶ ὁ δοὺξ ἀπὸ Καισαρείας εἰς τὴν Σεβάστειαν ἦλθε καὶ κατὰ τὴν ὀγδόην, συνόντος αὐτῷ καὶ τοῦ ἡγεμόνος, ἀχθῆναι τοὺς ἁγίους κελεύει· ὡς οὖν ἀπήεσαν, αὖθις ὁ μέγας Κυρίων ἥπτετο παραινέσεων, «Ἀδελφοί», λέγων, «μὴ φοβηθῶμεν τὰς ἀπειλὰς τῶν ἀρχόντων, ὧν ἡ δόξα ὡς ἄνθος χόρτου· γινώσκετε γάρ, ὅτι ὅταν ἐν πολέμοις ἠγωνιζόμεθα, οὐκ ἐπὶ τῷ τόξῳ ἡμῶν ἐλπίζοντες ἦμεν, οὐδ' ἐπὶ τὴν ῥομφαίαν τὴν σωτηρίαν ἡμῶν ἐτιθέμεθα, ἀλλ' ἐπεβοώμεθα τὸν Θεόν, καὶ εὐθὺς εἰσήκουεν ἡμῶν καὶ ὀξὺς παρίστατο βοηθός, καὶ τοὺς ἐχθροὺς ἐτροπούμεθα. μέμνησθε ὅπως ἐν τῷ μεγάλῳ πολέμῳ πάντες μὲν εἰς φυγὴν ἔβλεψαν, ἡμεῖς δὲ τοῖς ἐχθροῖς ἐναπελείφθημεν | οἱ τεσσαράκοντα μόνοι καὶ πῶς ἐπε- *col. 2* καλεσάμεθα τὸν κύριον καὶ τῆς παρ' αὐτοῦ βοηθείας ἐτύχομεν· ἔθετο γὰρ ἡμῶν τόξον χαλκοῦν τοὺς βραχίονας καὶ τοὺς ἐχθροὺς ἔδωκεν εἰς νῶτον καὶ τοὺς μισοῦντας ἡμᾶς ἐξωλόθρευσε, μηδενὸς ἡμῶν μηδὲ τὴν βραχεῖαν δεξαμένου πληγήν. εἰ οὖν ὑπὲρ θνητῶν ἀνθρώπων καὶ βασιλέων ἀσεβῶν ἐδίδου ἡμῖν ὁ Θεὸς ὑπερασπισμὸν σωτηρίας, νῦν, ὅτε προκινδυνεύειν μέλλομεν ὑπὲρ αὐτοῦ, περιόψεται; καὶ τότε μὲν πολὺ τὸ πλῆθος τῶν πολεμίων, νυνὶ δὲ τρεῖς εἰσιν οἱ πολεμοῦντες ἡμᾶς, ὁ ἀσώματος καὶ ἀφανὴς καὶ δι' αἰῶνος πολέμιος, ὁ δοὺξ τέ φημι καὶ ὁ ἡγεμών, μᾶλλον δὲ εἷς ὁ ἀόρατος. τί οὖν; ὁ εἷς ὅλως περιέσται τῶν τεσσαράκοντα; μή, παρακαλῶ· ἀλλ' ἐπι||καλεσώμεθα καὶ νῦν τὸν Θεόν, καὶ αὐτὸς συνήθως ἐν *f. 181v* πᾶσιν ἡμῖν βοηθήσει».

7. Καὶ ταῦτα μὲν τὰ τοῦ θείου Κυρίωνος· ἐπεὶ δὲ καὶ πρὸς τοὺς τυράννους ἤχθησαν, προσσχὼν αὐτοῖς ὁ βέβηλος δοὺξ «Ἀπειθεῖς ὑμᾶς ὁρῶ καὶ ἰσχυρογνώμονας» ἔφη, «μὴ πειθομένους βασιλικοῖς προστάγμασιν εἰς τὸ τοῖς θεοῖς θυσίαν προσενεγκεῖν· ἀλλὰ συνετοὺς

Rubro: v. 2 *Τούτων*, v. 8 *Ἑπτά*, v. 10 *Αὖθις*, v. 31 *Τούς*,
6 *κἂν* 13 *ὅτ' ἂν* 14 *ῥομφαῖαν* 22 *μὴ δὲ — βραχείαν* 26 *εἰσὶν* 27 *δοὺξ τέ φημι* 32 *προσχὼν*

12 *ἄνθος χόρτου*: Es. 40, 6. || 13 sq. *οὐκ ἐπὶ τῷ τόξῳ κτλ.* cf. Psalm. 43 (44), 6. || 20 *ἔθετο — βραχίονας*: Psalm. 17 (18), 34. || 20—21 *τοὺς ἐχθροὺς — ἐξωλόθρευσε*: cf. Psalm. 17 (18), 40. || 23 *ἐδίδου — σωτηρίας*: cf. Psalm. 17 (18), 35.

ὄντας χρὴ λογίζεσθαι, ὡς ἓν ὑμῖν ἐκ τῶν δύο πρόκειται· ἢ τιμαὶ πολλαὶ πειθομένοις, ἢ κολάσεις ἀπειθοῦσι ποικίλαι». πρὸς ταῦτα οἱ ἅγιοι οὐ μόνον ὅτι μηδὲν ἐπτοήθησαν, ἀλλὰ καὶ ὕβρεσι μᾶλλον ἔβαλλον αὐτὸν σφοδροτάταις, «Ὁδηγὲ» λέγοντες «τοῦ σκότους, ἀνομίας πάσης διδάσκαλε, τί πτοεῖν ἡμᾶς τούτοις σπεύδεις; ἐπάγαγε col. 2 *τιμωρίας, καὶ | τοῦ Θεοῦ ἡμῶν ὄψει τὴν δύναμιν». κελεύει τοίνυν ἐκεῖνος αὐτίκα λίθοις αὐτῶν τὰς σιαγόνας συνθλάττεσθαι· λίθους τοίνυν οἱ ὑπηρέται λαβόντες τοὺς μὲν ἁγίους ἔπαιον οὐδαμῶς, ἀλλήλους δὲ παραδόξως ἔτυπτον· ὃ τοῖς μὲν ἁγίοις θάρσος ἐνῆκεν, ἄσχετον δὲ θυμὸν τῷ δουκί· λίθον οὖν ἄρας οὗτος, ὥστε κατά τινος ἐπενεγκεῖν τῶν ἁγίων, κατὰ τῆς τοῦ ἡγεμόνος ἐπήνεγκεν ὄψεως καὶ πληγὴν χαλεπὴν ἐνέτριψε ταύτῃ. ὁ οὖν ἅγιος Κυρίων «Οἱ πολεμοῦντες ἡμᾶς» ἔφη «καὶ οἱ ἐχθροὶ ἡμῶν αὐτοὶ ἠσθένησαν καὶ ἔπεσον». ὁ δὲ παράνομος ἡγεμὼν «Οὐδεὶς νοῦν ἔχων» εἶπεν «ἀμφιβάλοι, ὅτι μὴ γοητεία ἐστὶ φανερὰ τὸ γενόμενον». καὶ ὁ ἅγιος Δόμνος «Οὐ* f. 182 *γοητεία» ἔφη «τοῦτο, ἀλλὰ || Θεοῦ δικαιοκρισία».*

8. *Εἶτα μετὰ πολλὰς λόγων προτάσεις καὶ ἀντιθέσεις ἡ φρουρὰ πάλιν εἶχε τοὺς ἁγίους· καὶ πάλιν ὁ ἅγιος Κυρίων εὐχῆς ἤρχετο, «Πρὸς σὲ ἤραμεν» λέγων «τοὺς ὀφθαλμοὺς ἡμῶν, τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ» καὶ τὰ ἑξῆς. καὶ περὶ μέσας νύκτας ἐπιφαίνεται καὶ πάλιν αὐτοῖς ὁ σωτὴρ «Ὁ πιστεύων εἰς ἐμὲ» λέγων «κἂν ἀποθάνῃ, ζήσεται· θαρσεῖτε καὶ μὴ πτοεῖσθε τὰς βασάνους». διῆγον μὲν οὖν κἀκείνην τὴν νύκτα χαίροντες ἐπὶ τῇ προτροπῇ τοῦ Χριστοῦ. πρωΐας δὲ γενομένης παρέστησαν καὶ αὖθις οἱ ἅγιοι τῷ δουκὶ καὶ ἔβλεπον τὸν διάβολον, τῇ δεξιᾷ μὲν μάχαιραν, τῇ δὲ ἀριστερᾷ κατέχοντα δράκοντα, λέγοντά τε πρὸς τὸ οὖς τῷ Ἀγρικολάῳ· «Ἐμὸς* col. 2 *εἶ· ἀγωνίζου». λέγει τοίνυν τοῖς ἁγίοις ὁ ἡγεμών· | «Τί ἐσκέψασθε; προσελθεῖν καὶ θῦσαι τοῖς θεοῖς, ἢ ἀπαλλαγῆναι τῆς ζωῆς;» Κάνδιδος λέγει· «Οὐδὲν προτιμότερον ἡμῖν τοῦ Χριστοῦ· οὔποτέ σου θύσομεν τοῖς θεοῖς». τότε κελεύει ὁ ἡγεμὼν σχοινίοις αὐτοὺς τῶν τραχήλων ἐκδεθέντας ὁμοῦ πάντας ἐπὶ τὴν λίμνην ἀπάγεσθαι, ἥτις κατὰ τὸν καιρὸν ἐκεῖνον τῇ τοῦ χειμῶνος δριμύτητι πολλὴν εἶχε τὴν πῆξιν. ἀγαγόντες οὖν τοὺς μάρτυρας κατὰ μέσον ἔστησαν ταύτης, τῆς ἡμέρας ἤδη πρὸς ἑσπέραν κλινούσης, φύλακάς τε τούτοις ἐπέστησαν καὶ τὸν δεσμοφύλακα πρὸς τὴν φυλακὴν ἠκριβώσαντο, τῆς θείας προνοίας ὑπανοιγούσης αὐτῷ πάντως τοῦ μαρτυρίου τὴν εἴσοδον.*

Rubro: v. 3 *Ἅγιοι*, v. 6 *τοί|Νυν*, v. 12 *Κυρίων*, v. 15 *Καὶ*, v. 24 *Παρέστησαν*, v. 29 *οὐ|Δὲν*

19—20 *πρὸς σὲ — ἐν οὐρανῷ:* Psalm. 122 (123), 1. || 21—22 *Ὁ πιστεύων — ζήσεται:* Io. 11, 25.

καὶ ἄλλο δέ τι ὁ κακότεχνος ἡγεμὼν || δέλεαρ ἐξευρίσκει· τὸ ἐγγὺς f. 182v *τῆς λίμνης ὃν βαλανεῖον ἐκπυρωθῆναι κελεύει, ὡς ἂν τῷ κρύει τοὺς ἁγίους πιεζομένους ἐφέλκηται πρὸς ἑαυτὸ καὶ παρακαλῇ.*

9. Κατὰ πρώτην οὖν τῆς νυκτὸς ὥραν τῷ κρύει πηγνυμένων αὐτῶν τὸ δέρμα τε διετείνετο καὶ ἡ σὰρξ ἐρρήγνυτο καὶ τὸ αἷμα κατέρρει. τῶν μὲν οὖν ἄλλων ἡ ὑπομονὴ μεγάλη τε καὶ ἀξιοθαύμαστος· εἷς δὲ τῶν ὀδυνῶν ἡττηθεὶς τὸ βαλανεῖον ἔβλεψε, καὶ ἅμα προσῆλθεν αὐτῷ καὶ διελύθη, καὶ τῇ λύσει θάνατος ἠκολούθει. τοῦτο δὲ λύπην ἀφόρητον τοῖς ἁγίοις ποιεῖ, ναὶ δὴ καὶ φόβον· διὸ καὶ πρὸς οὐρανὸν εὐθὺς ἀποβλέψαντες «Μὴ ἐν ποταμοῖς» ἔλεγον «ὀργισθῇς, κύριε, μὴ ἐν ποταμοῖς ὁ θυμός σου ἢ ἐν θαλάσσῃ τὸ ὅρμημά σου· ἐξεχύθη γὰρ ὡς ὕδωρ ὁ ἀφ' ἡμῶν | ἀποστὰς καὶ διεσκορ- col. 2 *πίσθη πάντα τὰ ὀστᾶ αὐτοῦ· ἡμεῖς δὲ οὐ μὴ ἀποστῶμεν ἀπὸ σοῦ· διὸ ἄκουσον ἡμῶν, καὶ μὴ καταποντισάτω ἡμᾶς καταιγὶς ὕδατος, μηδὲ καταπιέτω ἡμᾶς βυθός. ἐβάφησαν, κύριε, οἱ πόδες ἡμῶν ἐν τῷ αἵματι ἡμῶν· ἐλάφρυνον τὸ βάρος καὶ τὴν πικρότητα τοῦ ἀέρος, καὶ γνώτωσαν πάντες, ὅτι πρὸς σὲ ἐκεκράξαμεν καὶ ἐσώθημεν».*

10. Ταῦτα τούτων εἰπόντων φαιδρὸν αὐτοῖς ὁ Θεὸς νυκτὸς οὔσης ἥλιον ἐπιλάμπει· δι' οὗ λυθεὶς ὁ παγετὸς εἰς ὕδωρ θερμὸν μετεβλήθη. πάντας μὲν οὖν τοὺς φυλάσσοντας ὕπνος εἶχεν, ὁ δεσμοφύλαξ δὲ μόνος ἀγρυπνῶν ἀκροώμενος ἦν προσευχομένων αὐτῶν καὶ κατανοῶν, πῶς μὲν ὁ προσφυγὼν τῷ βαλανείῳ θάνατον εὐθὺς ἐπεσπάσατο, πῶς δὲ || τῷ παγετῷ προσκαρτεροῦντες οὗτοι ζῶσί τε f. 183 *ἔτι καὶ τῷ Θεῷ μᾶλλον, ᾧ πεποίθασιν, ἐπαγάλλονται. ταῦτα τοῦτον διασκοπούμενον καὶ πρὸς οὐρανὸν ἀτενίζοντα κατιδεῖν, ὅθεν εἴη τὸ φαινόμενον [φῶς, εὐθὺς κάλλη στεφάνων ἐπάνω θεάσασθαι τῶν μαρτύρων καταφερόμενα· καὶ οἱ στέφανοι τὸν ἀριθμὸν τεσσαράκοντα, ἑνὸς λείποντος. ἔκπληξις οὖν αὐτὸν εἰσῄει πάλιν διανοούμενον, τί δὴ καὶ πρὸς τὸν ἀριθμὸν τῶν μαρτύρων οὐκ ἦσαν οἱ στέφανοι· καὶ ἅμα συνῆκεν, ὅτι τῆς αὐτῆς οὐκ ἠξιώθη τιμῆς ὁ λειποτακτήσας. παραχρῆμα γοῦν διυπνίσας τοὺς φύλακας ῥίπτει μὲν τὰ ἱμάτια καὶ τὴν λίμνην εἰστρέχει μέγα κράζων· «Χριστιανός εἰμι». στὰς δὲ ἐν μέσοις αὐτοῖς «Δέσποτα» ἔφη «Χριστέ, φανερὰν κἀμοὶ τὴν δό|ξαν σου ποίησον καὶ τῷ χορῷ τῶν σῶν ἁγίων κἀμὲ* col. 2 *συναρίθμησον».*

Rubro: v. 4 *πρώ|Την*, v. 9 *'Αφόρητον*, v. 18 *τού|Των*, v. 24 *Ταῦτα*

3 *παρακαλεῖ* 5 *δέρμα τὲ* 6 *μεγάλη τὲ* 11 *ὀργισθεὶς* 15 *μὴ δὲ* 23 *ζῶσι τὲ* 31 *γοῦν*

10—12 *μὴ ἐν ποταμοῖς — ὅρμημά σου*: cf. Hab. 3, 8. || 14—15 *μὴ καταποντισάτω — βυθός*: Psalm. 68 (69), 15.

11. Ταύτην οὐκ ἐνεγκὼν τὴν ἧτταν ὁ σατανᾶς, μεταβαλὼν ἑαυτὸν εἰς ἄνδρα καὶ τοῖς γόνασι τὰς χεῖρας συμπλέξας θρηνεῖν ὑπεκρίνετο, «Οὐαί μοι» λέγων μεγάλῃ φωνῇ, «νενίκημαι παρὰ τῶν ἁγίων, εἰς γέλωτα πᾶσι πρόκειμαι διὰ τὸ μὴ τυχεῖν με ὑπουργῶν δραστηρίων· τί οὖν ποιήσω; διαστρέψω τὰς τῶν ἀρχόντων καρδίας καὶ παρασκευάσω καυθῆναι τὰ σώματα τῶν μαρτύρων καὶ τῷ ποταμῷ δοθῆναι, ὥστε μηδὲ λείψανον αὐτῶν μικρὸν εὑρεθῆναι». καὶ ταῦτα μὲν τὰ τοῦ πονηροῦ ῥήματα. ὁ δέ γε θεῖος Κυρίων «Τίς Θεὸς μέγας ὡς ὁ ἡμέτερος» ἔφη «Θεός· σὺ εἶ ὁ Θεὸς ὁ ποιῶν θαυ- f. 183v μάσια· σὺ γὰρ τὸν ἀποσπασθέντα κακῶς ἐξ ἡμῶν || ἀνεπλήρωσας, τὸν σατανᾶν ἤσχυνας καὶ ἡμᾶς ἐπεσκέψω». καὶ ἤρξαντο κοινῇ ψάλλειν οὕτως· «Σῶσόν με, κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος» καὶ τὰ ἑξῆς τοῦ ψαλμοῦ.

12. Ἕωθεν δὲ προσελθόντες οἱ ἄρχοντες καὶ τὸν δεσμοφύλακα οὕτως ἰδόντες ἔχοντα, ἠρώτων τοὺς στρατιώτας, τί πάθοι; τί ἰδὼν τοῦτο δράσειεν; οἱ δὲ «Ἡμεῖς μὲν» εἶπον «τοῦ ὕπνου ἡττηθέντες ἐκείμεθα, ἐκεῖνος δὲ διαγρηγορῶν διύπνισεν ἡμᾶς, καὶ ὁρῶμεν φῶς μέγα περὶ αὐτούς· αὐτὸς δὲ τὰ ἱμάτια ῥίψας εἰσεπήδησεν εἰς τὴν λίμνην, «Χριστιανός εἰμι» κράζων, «Χριστιανός εἰμι». τούτων οὐδὲν πλέον ἡμεῖς οἴδαμεν». ταῦτα ἀκούσαντας θυμὸς λαμβάνει πολύς, col. 2 κελεύουσί τε συρομένους ἐπὶ τὸν αἰγιαλὸν ἄγε|σθαι καὶ ῥοπάλοις τὰ σκέλη συντρίβεσθαι. ἑνὸς δὲ μήτηρ παρέμενε τοῖς ἁγίοις, τὸν παῖδα τὸν ἑαυτῆς νέον ὄντα καθ᾽ ἡλικίαν βλέπουσα, μή που πρὸς τοὺς ἀγῶνας ἐνδώσει, καὶ διὰ τοῦτο τὰς χεῖρας πρὸς αὐτὸν τείνουσα, «Τέκνον ἐμοὶ γλυκύτατον» ἔλεγε, «τέκνον ἤδη πατρὸς οὐρανίου, μικρὸν ὑπόμεινον, ἵνα τέλειος γένῃ· ἰδοὺ γὰρ παρίσταταί σοι βοηθὸς ὁ Χριστός· πάντα τὰ δεινὰ παρῆλθον· νενίκηκας ταῦτα τῇ σῇ γενναιότητι· χαρὰ τὸ μετὰ ταῦτα, ἡδονή, ἄνεσις καὶ εὐφροσύνη, ὧν μεθέξεις συμβασιλεύων Χριστῷ».

13. Κατακλωμένων δὲ τῶν ποδῶν τῶν ἁγίων, «Ἡ ψυχὴ ἡμῶν» ἔλεγον «ὡς στρουθίον ἐρρύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων f. 184 ἡ παγὶς συνετρίβη καὶ ἡμεῖς ἐρρύσθημεν· ἡ βοήθεια ἡμῶν || ἐν ὀνόματι κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν». καὶ πάντες ὁμοῦ τὸ ἀμὴν ἐπειπόντες τῷ Θεῷ παρέθεντο τὰς ψυχάς, ἐννάτην τότε τοῦ Μαρτίου μηνὸς ἄγοντος. ἁμάξας οὖν ἐνεγκόντες καὶ ταύ-

Rubro: v. 1 **Ταύτην**, v. 8 **Κυρίων**, v. 14 **Προσελθόντες**, v. 20 **Ταῦτα**, v. 30 κατακλω|**Μένων**

4 μη *sine accentu* 24 διατοῦτο 31 παγῖδος

8 sq. Τίς — θαυμάσια: **Psalm. 76 (77), 13.** || 12 σῶσον — ὅσιος: **Psalm. 11,1.** || 30—33 ἡ ψυχὴ — γῆν: Psalm. 123 (124), 7—8.

ταις τὰ ἱερὰ σώματα τῶν μαρτύρων ἐνθέμενοι παρὰ τὸ χεῖλος ἄγουσι τοῦ ποταμοῦ· τὸν μέντοι νέον ἐκεῖνον, ᾧ Μελίτων ὄνομα, ἐμπνέοντα ἔτι κατιδόντες οἱ στρατιῶται καταλείπουσιν οὕτως· ὃν ἡ μήτηρ ὑπολειφθέντα μόνον ἰδοῦσα, φύσεως ἀσθενείας ὑπεριδοῦσα, σπλάγχνων τε μητρικῶν ἐπιλαθομένη καὶ ἐπ' ὤμων ἀραμένη ταῖς ἁμάξαις ἠκολούθει μεγαλοψύχως· ἐπεὶ οὖν φερόμενος ὑπ' αὐτῆς ἀφῆκε τὸ πνεῦμα, τότε δὴ τῶν φροντίδων ἡ μήτηρ ἑαυτὴν λύσασα τῶν ἁγίων ἐκείνων σωμάτων ἐπάνω τί|θησι τὸν col. 2 *υἱὸν καὶ τοῖς ἄλλοις συναριθμεῖ. μέγα δὲ πῦρ ἀνάψαντες οἱ τῷ σατανᾷ προθύμως ὑπηρετούμενοι τὰ τῶν ἁγίων σώματα κατακαίουσιν· εἶτα τῷ δοκεῖν ἀφανίζειν αὐτὰ βουλόμενοι, φθονοῦντες πάντως χριστιανοῖς, εἰς τὸν ποταμὸν εὐθὺς ἀπορρίπτουσιν. ἀλλ' ἐκεῖνα θειοτέρᾳ τινὶ προνοίᾳ ἔγγιστα κρημνοῦ συνήχθη τινός, μηδὲν ὅλως τοῦ ποταμοῦ τούτοις δυνηθέντος λυμήνασθαι, τρισὶ δὲ ὕστερον ἡμέραις ἀποκαλυφθὲν τοῦτο Πέτρῳ τῷ ἐπισκόπῳ, καί τινας ἐκεῖνος τῶν κληρικῶν εὐλαβεῖς καὶ φιλαρέτους παραλαβὼν νυκτὸς ἀφικόμενος ἔστη παρὰ τὸ χεῖλος τοῦ ποταμοῦ περὶ τὸν τόπον, ὃς ὄναρ αὐτῷ δέδεικτο· ‖ καὶ ἰδοὺ δίκην ἀστέρων ἀπέλαμπε τὰ σώματα τῶν* f. 184ᵛ *ἁγίων, καὶ ἔνθα ἄν τις ὑπελείφθη, διὰ τοῦ περὶ αὐτὰ φέγγους τρανότερον γλώττης κατεμηνύετο.*

14. *Οὕτως οὖν, ὦ πανθαύμαστοι μάρτυρες, οἱ φιλευσεβεῖς ἐκεῖνοι συλλεξάμενοι ταῦτα καὶ καθαραῖς ἐνθέμενοι θήκαις πλοῦτον ἄσυλον, θησαυρὸν ἀναφαίρετον, ἀγαθῶν σωρὸν χριστιανοῖς ἐδωρήσαντο· τὰ μαρτυρικὰ δὲ σκηνώματα νῦν ὑμεῖς ἐν οὐρανοῖς κατοικοῦντες καὶ τὰς ἀμοιβὰς τῶν πόνων ἀπολαμβάνοντες καὶ παντὶ κόσμῳ τὰς ὑμῶν θαυματουργίας δωρούμενοι νέμοιτε καὶ βασιλεῖ ἡμῶν τῷ πιστῷ καὶ πράῳ καὶ φιλομάρτυρι μέγιστα νίκης τρόπαια κατὰ τῶν ἐναντίων, ἰσχυρὸν αὐτοῦ κατ' αὐτῶν | τὸν βραχίονα θέσθε,* col. 2 *χωρῶν αὐτῶν καὶ πόλεων νέμοιτε τούτῳ τὴν εἰς τάχος κατάλυσιν, ἀλλὰ δὴ καὶ τῶν ἐν οὐρανοῖς αὐτὸν ἀγαθῶν ἀξιώσατε, ἥμερον αὐτῷ τὸν ἀδέκαστον δικαστὴν ἐν ἡμέρᾳ τιθέμενοι κρίσεως, λύοντα τούτῳ πλῆθος ἡμαρτημένων, πάντων τὴν συγχώρησιν αὐτῷ διδοῦντα καὶ βασιλείας αὐτοῦ τὴν μετουσίαν· ὅτι αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

Rubro: v. 2 *μέν|Τοι*, v. 12 *'Αλλ'*, v. 21 *Οὖν*, v. 27 *Μέγιστα*, v. 32 *Πάντων*

5 *σπλάγχνων τέ* 23 *ἀναφέρετον — σορὸν* 29 *ναινέμοιτε:* **an** *καὶ νέμοιτε?*

[Μηνὶ τῷ αὐτῷ ι΄].

[ΜΑΡΤΥΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΜΑΡΤΥΡΩΝ ΚΟΔΡΑΤΟΥ, ΚΥΠΡΙΑΝΟΥ, ΔΙΟΝΥΣΙΟΥ, ΚΡΙΣΚΕΝΤΟΣ ΚΑΙ ΤΗΣ ΣΥΝΟΔΙΑΣ ΑΥΤΩΝ.]

[Dimidia fere Passionis pars deest codicis folio deficiente].

f. 185 1. ... || «πειθόμενος τοῖς προστάγμασι καὶ θέλησον ἡμῖν συνεῖναι καὶ τὸν ἡδὺν τοῦτον ζῆσαι καὶ ἐπέραστον βίον· εἰ δ' οὖν, ἀλλὰ δειναί σε πάντως ἐκδέξονται τιμωρίαι καὶ τέλος ὁ θάνατος αὐτὸς καταλήψεται». καὶ ὁ ἅγιος τοῖς ἀηδέσι τούτοις ῥήμασι τὴν ἀκοὴν ὑποσχὼν οὐδαμῶς, ἀλλ' ἄνω τὸν νοῦν ἔχων πρὸς τὸν Θεόν, «Τὸν τῆς μεγάλης» εἶπεν «εὐεργεσίας αἴτιον ἡμῖν ἀποδεδειγμένον Ἰησοῦν Χριστὸν τὸν τοῦ Θεοῦ τοῦ ζῶντος υἱὸν οὐ καλῶς συμβουλεύεις, ἡγεμών, ἀρνήσασθαι καὶ θυσίαν εἰδώλοις προσενεγκεῖν· δαίμονες μὲν γάρ εἰσι ταῦτα, χειρῶν ἀνθρωπίνων ἔργα κωφὰ καὶ ἀναίσθητα· οὗτος δὲ τὸν οὐρανὸν ἐποίησε καὶ τὴν γῆν καὶ πάντα τὰ ἐν αὐτοῖς, καὶ οὐ δίκαιον αὐτὸν ἐγκαταλιπόντας τὸν ἀγαθὸν τοῖς ἀσεβέσι καὶ col. 2 κακοῖς | προστεθῆναι. βασάνων δὲ τῶν παρ' ὑμῖν προσφερομένων ἡμῖν, εὖ ἴσθι, καταφρονεῖν ἐμάθομεν, ἅτε σώματος μόνου κατεξουσιαζουσῶν, ψυχῆς δὲ μηδαμῶς. ἐγκαρτερεῖν τοίνυν ἡμᾶς χρὴ τοῖς δεινοῖς ἐπ' ὀλίγον, ἵν' ἐπὶ μακρῷ καὶ ἀπεράντῳ τοῖς ἀγαθοῖς ἐντρυφήσωμεν. μὴ οὖν σπεῦδε ταῖς τῶν παρ' ὑμῖν ἀγαθῶν ἐπαγγελίαις ἡμᾶς ἀποστῆσαί ποτε τοῦ Χριστοῦ· ποίει τοιγαροῦν ἐφ' ἡμῖν τὸ σοὶ παριστάμενον».

2. Καὶ ὁ ἡγεμὼν αὐτίκα πάσης ἀπελπίσας πειθοῦς μαστίζεσθαι τοῦτον κελεύει σφοδρῶς καὶ πικρῶς τιμωρεῖσθαι· ὁ δὲ καὶ τυπτόμενος καὶ δεινῶς κατακρεουργούμενος τοὺς συνδεσμώτας αὐτοῦ καὶ συγκληρονόμους καὶ ἔτι διδάσκων οὐ διελίμπανεν. ὑπετίθει γὰρ || f. 185v αὐτοῖς ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ τὰ στίγματα τούτου γενναίως καὶ αὐτοὺς ἐν τοῖς σώμασιν αὐτῶν βαστάσαι καὶ πάνυ προ-

Rubro: v. 4 *Καὶ*, v. 19 ἡ|Γεμὼν
17 ἀποστῆσαι ποτὲ 21 συνδεσμῶτας

In summo f. 185 recentiore manu scripta sunt haec: Οἴομ(αι) γὰρ ὅτι διὰ τ(ὴν) τ(ῆς) εἰκόν(ος) ἄρτι ἀφείλοντο τ(ὴν) ἀρχ(ήν), ἓν φύλλ(ον) τοῦ μαρτυρίου τοῦ ἁγίου μάρτυρ(ος) Κοδράτου, Κυπριανοῦ, Διονυσίου, Κρίσκεντος κ(αὶ) τ(ῆς) συνοδί(ας) αὐτῶν. μαρτίῳ ι΄.

θύμως, «Ἵνα» φησὶ «καὶ συγκληρονόμοι τῆς χάριτος αὐτοῦ γενοίμεθα καὶ συμμέτοχοι κατὰ τὴν ἐπιφανῆ καὶ μεγάλην ἡμέραν τῆς αὐτοῦ παρουσίας».

3. Ἐκπλαγεὶς οὖν ὁ ἡγεμὼν ἐπὶ τῇ πολλῇ καρτερίᾳ τοῦ μάρτυρος τοῦτον μὲν ἀνεθῆναι τῆς βασάνου κελεύει, ἄγει δὲ τὸν δεύτερον εἰς ἐρώτησιν. Κυπριανὸς δὲ ἦν ὁ καλός, νέος τὴν ἡλικίαν, τὴν μορφὴν εὐπρεπής, ἄρτι τὸ γένειον ἐπανθοῦν ἔχων. λόγοις οὖν συλῆσαι τοῦτον ὁ σκολιὸς μηχανώμενος ἐπεὶ πρὸς τὴν εἰς Χριστὸν πίστιν ἑδραῖον αὐτὸν ἑώρα καὶ ὅλως ἀμετακίνητον, μήτε κολακείαις κλε|πτόμενον, μήτε κολάσεων ἀπειλαῖς τὸ παράπαν ἡττώμενον [col. 2], τῇ ὁμοίᾳ καὶ τοῦτον καθυπάγει βασάνῳ.

4. Τοῦ τρίτου τὴν γνώμην ὁ πολυμήχανος ῥήμασι καταπληκτικοῖς μεταγαγεῖν ἐπειρᾶτο· Διονύσιος ἦν ὁ κλεινός· καὶ ὃς «Ἔγνως» εἶπεν, «ἡγεμών, ἀπὸ τῶν προλαβόντων τὰ ἡμέτερα· τί οὖν κόπους καὶ σαυτῷ δίδως καὶ ἡμῖν· οὐ μεταπείσεις ἡμᾶς, γίνωσκε, πώποτε· ποίει τὸ κελευσθέν σοι λοιπόν». τύπτεται καὶ οὗτος σφοδρῶς καὶ τὴν γῆν αἱμάτων πληροῖ. ἀνῆπτο καὶ γὰρ ὁ θυμὸς ἐπὶ πλεῖον τῷ ἄρχοντι. ὅθεν καὶ ἐπὶ τὸν τέταρτον ἔρχεται καὶ μείζοσιν αἰκίαις καὶ τοῦτον καθυποβάλλει· μὴ λόγου μεταδούς, μὴ προσρήσεως, ἀνεκτὸς ἦν ὁ γενναῖος. οὗ τὴν ὑπομονὴν ὁ τύραννος καὶ τὴν καρτερίαν || θαυμάσας τὸν πέμπτον εἰς τὸ μέσον προσάγει καὶ οὕτως αὐτοῦ τὸ [f. 186] σῶμα κατακόπτει ταῖς μάστιξιν οὕτως ἀφειδῶς, ὥστε αἵμασι τούτου διαβαφῆναι τὸ ὑποκείμενον ἔδαφος.

5. Ἕκτος ὁ Κρίσκης ἵσταται· τὴν αὐτὴν ἐρωτώμενος ἀπόκρισιν τοῖς ἄλλοις ὁμοίως ποιεῖται· τὰς αὐτὰς βασάνους ὑφίσταται, καὶ ᾐσχυμμένος ὁ τύραννος δείκνυται. δέχεται τούτους τὸ δεσμωτήριον, καὶ μὴ φέρων ὁ δεινὸς ἄρχων τὴν αἰσχύνην τῆς ἥττης καὶ μὴ θέλων τῷ κολάζειν τούτους (ᾔδει γὰρ τὸ σταθηρὸν τῆς αὐτῶν γνώμης καὶ ἀμετάτρεπτον) μείζονα τὴν αἰσχύνην ἑαυτῷ προξενεῖν, ἄλλως τε δὲ καὶ δεδιὼς μή που τῇ τούτων ὑπομονῇ τινας πρὸς τὴν αὐτῶν ζωγρήσαιεν πίστιν, τὴν διὰ ξίφους ἀπόφασιν δίδωσι κατ' αὐτῶν, ἑκά|στῳ τούτων δήμιον ἐπιστήσας. [col. 2]

6. Ἑλκόμενοι τοίνυν, ἀξιάγαστοι μάρτυρες, εἰς τὸν τῆς τελειώσεως τόπον καὶ καιρὸν εὐχῆς αἰτησάμενοι καὶ λαβόντες καὶ τὸν ἐπινίκιον ὕμνον ἀποδόντες Θεῷ τέμνεσθε τὰς καλλινίκους ὑμῶν κεφαλὰς καὶ χερσὶ μὲν Χριστοῦ τὰ πνεύματα παρατίθεσθε, δεκάτην ἄγοντος τοῦ Μαρτίου μηνός. χεῖρες δὲ πιστῶν τὰ νικηφόρα σώματα

Rubro: v. 4 Οὖν, v. 24 Ἵσταται, v. 26 δέ|Χεται, v. 33 τοί|Νυν

15 σαῦτῷ 19 ἄνεκτος 26 ἠσχύμενος 30 τινὰς

1 συγκληρονόμοι τῆς χάριτος: cf. 1 Petr. 3, 7.

πιστῶς ὑμῶν ἀνελόμεναι καὶ καλῶς περιστείλασαι φιλοτίμως κατέθεντο. θαυματουργεῖ οὖν ἐπὶ τῇ καταθέσει Χριστός· πηγὴ γὰρ εὐθέως τῆς γῆς ἀνεδόθη, παντοίων νοσημάτων θεραπεύουσα βλάβην. καὶ νῦν οἰκοῦντες τοὺς οὐρανούς, ἀξιάγαστοι, καὶ τῷ δεσποτικῷ παριστάμενοι θρόνῳ, δοθῆναι καὶ βασιλεῖ ἡμῶν τῷ πᾶσι κε-
f. 186v *κοσμημένῳ || τοῖς καλοῖς κατορθώμασιν αἰτήσασθε μονῶν ἁγίων τὴν κατοικίαν, ἱερῶν ὕμνων αὐτῶν τὴν ἀκρόασιν, χοροστασίας ἀγγέλων τὴν ξυναυλίαν, ἀύλου δόξης τὴν μέθεξιν, ἡλίου θείου τὴν*
col. 2 *φαιδρὰν | μετουσίαν, πάντων ἀγαθῶν οὐρανίων τὴν χάριν καὶ βασιλείας Θεοῦ τὴν κληρουχίαν· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

Μηνὶ τῷ αὐτῷ ια΄.

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΣΑΒΙΝΟΥ.

1. Διοκλητιανοῦ τοῦ τυράννου τῶν τῆς Ῥώμης ἄρτι κακῶς ἐπειλημμένου σκήπτρων διατάγματα κατὰ πᾶσαν ἐφοίτα τὴν οἰκου-
col. 2 *μένην, ὥστε πάντας τοὺς μὴ θύειν βουλομένους | τοῖς ὑπ' αὐτοῦ τιμωμένοις ἀσεβέσι θεοῖς κολάσεων παντοίων ἰδέαις τιμωρουμένους οὕτως ἀποστερεῖσθαι καὶ τῆς ζωῆς. διωγμοῦ τοίνυν κατὰ χριστιανῶν ἐπικειμένου μεγάλου καὶ πάσης τῆς Αἰγύπτου δεινῶς χειμα-*
f. 187 *ζομένης ὁ καλ||λίνικος οὗτος μάρτυς, ὁ Σαβῖνός φημι, τῆς πόλεως ἔξω διῆγεν ἔν τινι κρυπτόμενος δωματίῳ μετὰ καί τινων ἑτέρων χριστιανῶν διὰ τὴν ἐπικειμένην ἀνάγκην, νηστείαις ἀεὶ σχολάζων καὶ προσευχαῖς νύκτα τε καὶ ἡμέραν.*

2. Πολλῶν οὖν συλληφθέντων διὰ Χριστὸν ἐζητεῖτο καὶ ὁ Σαβῖνος· ὁ Σαβῖνος ἠρευνᾶτο, ὁ Σαβῖνος ἐν τοῖς ἁπάντων ἔκειτο στόμασιν. ἡμέραι παρῆλθον οὐχὶ συχναί, καί τις πτωχὸς πανδήμιος ἦλθεν ἀνὰ τὴν πόλιν τροφὰς ἐξαιτῶν· ὃς καὶ τῆς ἐπιμελοῦς ἐκείνης συζητήσεως τοῦ Σαβίνου γνοὺς τὴν ἀκρίβειαν, τὸν τόπον, ἀλλὰ δὴ καὶ τὴν οἰκίαν καταμηνύει, οὗπερ ὁ Σαβῖνος ἐκέκρυπτο. τοίνυν οἱ τὴν
col. 2 *ζήτησιν ἐκείνην ποιούμενοι, τοῦτο μαθόντες ἀκριβῶς, τῷ | τόπῳ, ναὶ δὴ καὶ τῇ οἰκίᾳ τὸ τάχος ἐπέστησαν καί τινος τῶν ἀδελφῶν*

Rubro: v. 6 *Μονῶν*, v. 9 *Πάντων*, v. 15 *Διοκλητιανοῦ*, v. 19 *Κατὰ*, v. 25 *Συλληφθέντων*, v. 30 *τοί|Νυν*
21 *σαβῖνος φημὶ* 24 *νύκτα τὲ* 27 *οὐχι acc. caret.*

ἐξιόντος πρὸς τὴν ἀνέλπιστον ἐκείνην βοὴν καὶ τὴν θύραν ἀνοίξαντος ἰδεῖν, εἴ τι καὶ εἴη τὸ προσβαλόν, εὐθὺς εἰσπηδήσαντες οἱ ἀλάστορες τὸν Σαβῖνον ἐζήτουν καὶ μέντοι καὶ εὗρον εὐχόμενον μετὰ τῶν λοιπῶν ἀδελφῶν, ἓξ ὄντων τὸν ἀριθμόν· ὃν καὶ δεσμοῖς αὐτίκα περιβαλόντες καὶ κλοιὸν ἐπιφορτίσαντες αὐτοῦ σιδηροῦν τῷ τραχήλῳ εἷλκον πρὸς τὸν ἡγεμόνα βιαίως· Ἀριανὸς δὲ οὗτος ἦν ὁ πάσης ἀνοσιότητος ἔμπλεως· ὃς τῆς Ἑρμουπολιτῶν πόλεως ἐξιὼν ἐπὶ τὰς ὄχθας τοῦ παραρρέοντος ἐν αὐτῇ ποταμοῦ καὶ πρός τινα τόπον ἰδεῖν μὲν ἥδιστον, δένδρεσι δὲ || παντοίοις κατάκομον, χλόῃ τε πανταχοῦ f. 187v διαπρεπῆ καὶ ὡραῖον, ἀλλὰ καὶ ὕδασιν ἡδίστοις τε καὶ ψυχροῖς εἰς ἅπαν διακλυζόμενον, τὸν τῆς ὁδοῦ κόπον ὥσπερ ἐπαναπαύων ὁρᾷ μακρόθεν παράταξίν τινα στρατιωτῶν, ὡς πρὸς αὐτὸν ἐρχομένην, καὶ ἅμα διερωτήσας καὶ μαθών, ὅτι Σαβῖνος συσχεθεὶς ἄγοιτο, θρόνου προτεθέντος ἐκάθισε καὶ τούτου προσαχθέντος «Σὺ εἶ Σαβῖνος» φησὶν ἐκεῖνος, «ὁ τῶν χριστιανῶν ἔξαρχος καὶ τῶν θεῶν καθαιρέτης, ἀλλὰ δὴ καὶ τῶν βασιλέων καταφρονητής»; — «Ἐγώ» φησὶν ὁ μάρτυς «ὁ τούτοις πᾶσι κοσμούμενος τοῖς καλοῖς».— «Οὐκ ἤκουσας οὖν» εἶπεν ἐκεῖνος «περὶ τῶν ὑπὸ τῶν αὐτοκρατόρων τεθεσπισμένων, πῶς ἐν πάσαις πόλε|σί τε καὶ ἐπαρχίαις θύειν κε- col. 2 λεύουσι τοῖς εὐμενέσι θεοῖς»;—«Οὐκ ἔλαθεν ἡμᾶς» ὁ μάρτυς εἶπεν, «πλὴν ὡς μηδὲν ὄντων καὶ καταφρονοῦμεν τούτων καὶ καταπτύομεν τῶν ληρημάτων χρὴ μᾶλλον εἰπεῖν ἢ τῶν προστάξεων καὶ οὐκ ἄν ποτε θύσωμεν τοῖς θεοῖς σου, βδελύγμασι καὶ δαίμοσιν οὖσιν».

3. Θυμὸς ἐπὶ τούτοις λαμβάνει τὸν ἀσεβῆ, καὶ κελεύει δεινῶς ἀναρτηθέντα τὸν μάρτυρα ξέεσθαι· καὶ ἦν ἰδεῖν σάρκας μὲν αὐτοῦ καταπιπτούσας ἐν γῇ, αἷμα δὲ τούτου τὸ τίμιον φοινίσσον ἅπαν τὸ ἔδαφος καὶ στυγνάζοντας ἐπὶ τούτῳ τοὺς ὁρῶντας μάλα περιπαθῶς. ἀλλ' ὁ θηρίον [μᾶλλον] ἢ ἄνθρωπος ὁ δυσσεβὴς ἡγεμὼν «Οὔπω πείθῃ, Σαβῖνε, θῦσαι θεοῖς» ἔφη «καὶ ἀπαλλαγῆναι τῶν κολαζόντων σε»; τούτου δὲ μηδὲν ἀποκρινομένου τὸ σύνολον τῶν || παρεστώ- f. 188 των τις δικολόγων, Βισαμὼν ἐκείνῳ τὸ ὄνομα, «Κύριε ἡγεμών», ἔφη, «ἐξέστη Σαβῖνος τὰς φρένας καὶ ἤδη τὴν ψυχὴν ἀφεῖναι βούλεται». καὶ ὁ μάρτυς «Οὐκ ἐξέστην» εἶπε, «Βισαμών, ἐγὼ τὰς φρένας, ἄπαγε· φέρω δὲ ταύτας ἔμφρονας· διὸ καὶ οὐκ ἀποστήσομαι τοῦ πλάσαντός με Χριστοῦ πώποτε καὶ θύσω δαίμοσι κατὰ τὰς βασιλικὰς διατάξεις σου· μὴ ἴδοι τοῦτο ἥλιος, μὴ ἐνωτίσαιτο γῆ».

Rubro: v. 17 Ὁ μάρτυς, v. 20 Ὁ μάρτυς, v. 24 Ἐπὶ, v. 33 Μάρτυς

9 χλόη τὲ 10 ἡδίστοις τὲ 12 παράταξιν τινὰ 23 οὖσι 27 μάλα 28 μᾶλλον inserui (cf. supra p. 14, 7 et 82, 28) 30 μηδὲν 31 τίς

καὶ ὁ ἡγεμών· «Ἰδοὺ καὶ μᾶλλον θρασύνῃ, Σαβῖνε, καὶ τὴν καρδίαν σκληρύνῃ· μάθῃς δὲ πάντως κατὰ τὴν Ἀντινούπολιν ἡμῶν γενομένων, οἷοί τε οἱ θεοὶ καὶ οἷαι τῶν βασιλέων αἱ διατάξεις».

4. Ἔφη, καὶ προλαβόντες οἱ στρατιῶται τὸν ποταμὸν διεπέρασαν. αὐτοῦ δέ που παρὰ ταῖς ὄχθαις ὑπ' αὐτῶν φρουρουμένου τοῦ col. 2 *μάρτυρος οἱ τῆς | πόλεως ἐξῆλθον αὐτὸν ἱστορήσοντες. ἤδη δὲ καὶ τοῦ ἡγεμόνος διαπερᾶν βουλομένου εὐχαῖς ὁ Σαβῖνος μέσον που τοῦ ποταμοῦ τοῦτον ἐπισχεθῆναι ποιεῖ κυμάτων ἐπαναστάσεσι καὶ βιαίων ἀντιπνοίαις ἀνέμων· οἷς καὶ κινδυνεύων καὶ ἕτερα συνεκαλεῖτο πρὸς βοήθειαν πλοῖα. ὡς δὲ καὶ τούτοις ὁ κίνδυνος ἠπειλεῖτο σφοδρός, ὁ ἡγεμὼν διά τινος αὐτῶν ἐδήλου τῷ Σαβίνῳ (καὶ γὰρ διέπλεον μὲν τὰ ἄλλα τῶν πλοίων, διέπλεον δὲ βίᾳ) ὡς «Τὰς βασάνους» λέγων, «Σαβῖνε, πτοούμενος, μαγγανείαις τισὶ κωλύεις ἡμῖν τὴν περαίωσιν· ἀλλ' οὐκ ἐκφεύξῃ μου πάντως τὰς χεῖρας». καὶ ὁ ἅγιος «Ζῇ κύριος ὁ Θεός μου» φησίν, «εἰ μὴ Θεὸν ἀληθῆ τὸν Χρι-* f. 188v *στὸν ὁμολογήσεις» ἀντιδηλοῖ, «οὐκ ἂν τὴν πόλιν κατίδοις». || μανθάνει ταῦτα ἐκεῖνος καὶ γράμματα χαράσσει πρὸς αὐτὸν δηλοῦντα τὴν εἰς Χριστὸν ὁμολογίαν· καὶ ἅμα λέλυτο τῶν δεσμῶν καὶ τὴν πόλιν κατέλαβε· καὶ εὐθὺς καθίσας ἐπὶ τοῦ βήματος ἄγεσθαι κελεύει τὸν μάρτυρα καὶ «Ἐπεὶ» φησιν «ἐν τοῖς ὕδασι ταῖς σαῖς μαγείαις ἡμᾶς ἐπέσχες, Σαβῖνε, χρησόμεθά σοι καὶ ἡμεῖς ὡς ἡμῖν δυνατόν».*

5. Καὶ παραυτίκα τείνεται κατὰ γῆς ἐκ τεσσάρων ὁ μάρτυς καὶ λαμπάσι πυρὸς φλέγεται, φεῦ, τὴν γαστέρα καὶ τὰς πλευράς· καὶ οὕτως ἔμενεν, ὡς ἑτέρου πάσχοντος τὴν βάσανον ὑφιστάμενος. ἐξέπληττε τοῦτο τὸν ἡγεμόνα, καὶ «Τί θέλοι τοῦτο εἶναι, πάντων» ἔλεγεν «ἀνθρώπων ἀνοσιώτατε, ὅτι καὶ πικρῶς οὕτω φλεγόμενος col. 2 *καρτερεῖς καὶ ἀνάλγητος φαίνῃ; | τί ἄρα καὶ διανοῇ καὶ πρὸς τί σοι τὰ τῆς ἐλπίδος;» καὶ ὁ θαυμάσιος· «Τὸ ἀσθενὲς ὑμῶν καὶ σαθρὸν τοῦ νοὸς διανενόημαι καὶ τὰς ἐλπίδας ἐπὶ Χριστὸν ἔχω, τὸν ἀληθῆ καὶ μόνον Θεόν, ὅς με καὶ τῶν κολάσεων τούτων δυνατός ἐστι ῥύσασθαι καὶ τῆς αὐτοῦ βασιλείας καταξιῶσαι». καὶ ὁ ἡγεμών· «Καὶ ὄντως βούλει κακῶς ἀποθανεῖν;» καὶ ὁ ἅγιος «Πρὸς ζωὴν ἀθάνατον ὁ θάνατος οὗτός με παραπέμψει» φησίν· «εἶπον καὶ πάλιν λέγω, τύραννε, τί πολλάκις ἐθέλοις ἐρωτᾶν περὶ τούτου;» τότε ὁ ἡγεμὼν ὅλος ἐκμανὴς γεγονὼς δίδωσι κατ' αὐτοῦ τὴν ἀπόφασιν, «Σαβῖνον» εἰπὼν «μὴ θῦσαι θελήσαντα τοῖς θεοῖς, τοῖς ποταμίοις ὕδασι κελεύω δοθῆναι κἀν τούτοις τὸ ζῆν ἀπορρῆξαι».*

Rubro: v. 1 *ἡ|Γεμών*, v. 10 ***Καὶ***, v. 16 ***Μανθάνει***, v. 22 in. ***Καὶ***, v. 28 ***Καὶ ὁ***, v. 31 ***Καὶ ὁ***, v. 34 ***Ὅλος***

3 οἷοι τὲ — οἷαι   33 οὗτος με

6. Ἄγουσι τοῦτον ἐπὶ τὰς || ὄχθας οἱ στρατιῶται τοῦ ποταμοῦ. *f. 189* λίθον αὐτοῦ προσδεσμοῦσι μέγιστον τοῖς ποσὶ καὶ τὸ μεσαίτατον τοῦ ποταμοῦ διὰ πλοίου καταλαμβάνουσιν· εὐχῆς ὁ μάρτυς αἰτεῖται καιρὸν καὶ λαμβάνει· εὔχεται καὶ πρὸς τοὺς συνόντας πιστοὺς (ἦσαν γὰρ οὐκ ὀλίγοι) φησί· «Μὴ δή μου, ὦ ἀδελφοί, τῆς ταπεινότητος ἐπιλάθησθε, μέμνησθε δὲ ταῖς πρὸς Θεὸν ὑμῶν εὐχαῖς καὶ δεήσεσιν. ἀλλὰ καὶ τῇ τρίτῃ συνελθόντες ἡμέρᾳ κατὰ τὸ τῆς πόλεως βόρειον μέρος ἐκβρασθὲν εὑρήσετέ μου τὸ σῶμα· θάψατε οὖν αὐτὸ σὺν τῷ λίθῳ καί μου τὴν ἐτήσιον μνήμην ἐπιτελεῖν μὴ ἐλλίποιτε».

7. Ταῦτα, καλὲ Σαβῖνε, πρὸς τοὺς συνειλεγμένους εἰπὼν εὐχῇ πάλιν δίδως σεαυτόν, εἶτα καὶ τῷ βυθῷ τοῦ ποταμοῦ παρα|πέμπῃ. *col. 2* καὶ μετὰ τρίτην, ὡς ἔφης, εὑρίσκεταί σου τὸ μαρτυρικὸν καὶ καθαρώτατον σῶμα ἔνθα δὴ καὶ προείρηκας καὶ θάπτεται μὲν φιλοτίμως παρὰ τῶν ἀδελφῶν, συνθάπτεται δέ σοι καὶ λίθος αὐτὸς κατὰ τὴν σὴν ἐντολήν. καὶ νῦν τοὺς οὐρανοὺς κατοικῶν καὶ τὰ ἐκεῖσε κάλλη κατανοῶν καὶ περὶ τὸν θρόνον στρεφόμενος τὸν δεσποτικὸν αἴτησαι καὶ βασιλεῖ Ῥωμαίων τῷ φιλομάρτυρι καὶ πιστῷ μαρτυρικῶν σκηνωμάτων τὴν κατοικίαν, ἱερονίκων στεφάνων τὴν εὐτυχίαν, χορῶν ἀγγέλων τὴν ξυναυλίαν, ἀΰλου δόξης καὶ τρυφῆς τὴν μέθεξιν, ἡνίκα μέλλοι κριτὴς ὁ παντεπόπτης λύειν ὀφειλὰς καὶ βραβεύειν τὴν χάριν, πάντων τῶν καλῶν τῆς αὐτοῦ βασιλείας· || ὅτι *f. 189v* αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ | ἀεὶ καὶ εἰς τοὺς αἰῶνας *col. 2* τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ ιβ'.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΘΕΟΦΑΝΟΥΣ ΤΟΥ ΟΜΟΛΟΓΗΤΟΥ.

1. Ὁ μέγας οὗτος καὶ σοφὸς Θεοφάνης, ὁ τῆς Χριστοῦ θεοφανείας διαπρύσιος κῆρυξ, χώρας μὲν ἐξέφυ τοῦ Αἰγαίου πελάγους, ὃ καὶ Παρθένιον οἱ πολλοὶ λέγουσι κόλπον, πατρὸς δὲ Ἰσακίου καὶ μητρὸς Θεοδότης, εὐγενῶν μὲν τὸ κατὰ σάρκα (καὶ γὰρ ἄρχων ὁ Ἰσάκιος τοῦ Αἰγαίου | πελάγους) εὐγενῶν δὲ καὶ τὸ κατὰ πνεῦμα, *col. 2.*

Rubro: v. 1 Ἄγουσι, v. 10 Καλέ, v. 17 Μαρτυρικῶν, v. 21 Πάντων, v. 27 Ὁ
5 μηδήμου 8 εὑρήσεταί μου 18 ἱερωνίκων 28 κήρυξ
29 et p. 222, v. 1, 3, 4 Ἰσάκιος, Ἰσακίου cod., Ἰσαάκιος, Ἰσαακίου Krumbacher.

ὃ δὴ καὶ ἀληθεστάτην εὐγένειαν καλῶς φρονοῦντες λέγουσιν. οὗτος τοίνυν τοῦ πατρὸς Ἰσακίου τὸν βίον ἀπομετρήσαντος τριέτης παρὰ τῇ μητρὶ καταλέλειπτο καὶ Ἰσάκιος ὑπὸ Λέοντος υἱοῦ Κωνσταντίνου τοῦ κακῶς τὴν βασίλειον ἀρχὴν διαζωσαμένου κατωνομάζετο, τὴν πατρικὴν κλῆσιν ἐπίθετον ὄνομα τούτῳ ποιήσαντος.||

f. 190 2. Δεκαέτης δὲ γεγονὼς μνηστεύεται παρὰ τῆς μητρὸς γαμετὴν Μεγαλὼ καλουμένην, τὸν ὄγδοον ἄρτι τῆς ἡλικίας ἐπαναβαίνουσαν χρόνον. καὶ ἣν οὕτω τὸν μετέπειτα χρόνον σωφροσύνῃ συζῶν καὶ πᾶσαν ὄρεξιν παθῶν χαλινῶν. φίλος οὖν τις ἐς τὰ μάλιστα τούτῳ τιμώμενος (Πραδίων ἡ κλῆσις αὐτῷ) τὴν ἀργυροκοπικὴν μετιών, ἀγαθὸς καὶ Θεῷ φίλος, ὑποτίθεται τούτῳ τὰ κάλλιστα, ὡς εἴη μηδὲν ὁ βίος καὶ τὰ τοῦ βίου καὶ ὡς μόνα καλὸν τὰ μέλλοντα καὶ μένοντα κτᾶσθαι, καὶ ἕτερα το[ιου]τότροπα. ἃ δὴ καὶ τῇ ἑαυτοῦ ψυχῇ καλῶς ὁ καλὸς Θεοφάνης ἐνθέμενος τῆς ἀρετῆς ἐπεμέλετο.

3. Ἄρτι δὲ τὸν ὀκτωκαιδέκατον ἀνύοντα χρόνον ἡ μήτηρ παρα-
col. 2. λαβοῦσα τοὺς γάμους τελέσειν ἠ|πείγετο. μήπω δὲ τούτων τελεσθέντων τὸν βίον ἀπέλιπε. καὶ δὴ στράτωρα τοῦτον ὁ μὴ καλῶς βασιλεύων Λέων τιμᾷ τὴν μητρικὴν ὥσπερ διὰ τούτου παραμυθούμενος αὐτῷ τελευτήν. χρόνος παρῆλθεν οὐχὶ συχνός, καὶ ὁ πενθερὸς κατεπείγει τοὺς γάμους καὶ μέντοι δὴ καὶ τελεῖ τούτους. θεία δέ τις ἐπιλάμψασα δύναμις τῇ Θεοφάνους ψυχῇ, μεθ᾽ ὃ τέλος ἔσχε τὰ τῆς τύρβης ἐκείνης τῆς γαμικῆς, ἰδιαζόντως τὴν νύμφην ὁ νυμφίος ἀπολαβὼν τὸ τοῦ κόσμου μάταιον καὶ ἄστατον προσηκόντως ἐδίδασκε καὶ ὡς οὐδὲν ἄρα τὸ ἐντεῦθέν ἐστι κέρδος, εἰ μὴ καὶ μᾶλλον βλάβη σαφής. εἶτα καὶ
f. 190ᵛ εἰκόνα τῶν συμβαινόντων ὥσπερ ποιούμενος πάντα προε||τίθει καὶ πάντα τῷ λόγῳ διήλεγχε μηδὲν ἀγαθὸν ἀποτέλεσμα τὸ σύνολον ἔχοντα. οἷς ἡ νύμφη πρὸς τὰ καλὰ τὴν ψυχὴν πτερωθεῖσα καὶ τὴν διδαχὴν ἀπεδέξατο καὶ ἑτοίμην ἑαυτὴν ἐδίδου πρὸς ἅπαν τὸ μελετώμενον τῷ ἀνδρί. πίπτει τοίνυν ἐκεῖνος ἐπὶ γῆς καὶ προσκυνεῖ τῷ Θεῷ καὶ εὐχαριστίας ἀναφέρει τούτῳ ἐν θερμοῖς τοῖς δάκρυσιν. ἔνθεν τοι καὶ εἰς ὀσμὴν ἔδραμον μύρου τοῦ θείου τῷ κάλλει τρωθέντες τῆς δόξης Χριστοῦ.

4. Ἔκτοτε γοῦν νηστείαις ἐσχόλαζον καὶ δεήσεσιν ἐν ἁγνείᾳ· τοῖς πενομένοις ἐχορήγουν τὰ πρὸς τὴν χρείαν καὶ ὅλον θεοφιλῶς τὸν βίον διήνυον. ὃ δὴ μαθὼν ὁ δύστροπος ἐκεῖνος Λέων, ὁ θὴρ
col. 2 καὶ οὐκ ἄνθρωπος, ὁ τοῦ Κωνσταν|τίνου υἱός, ἠπείλει τοῦ νέου

Rubro: v. 2 Τοῦ, v. 6 Δεκαέτης, v. 9 Τις, v. 15 Ἄρτι, v. 19 πα|Ρῆλθεν, v. 29 τοί|Νυν, v. 33 Γοῦν

13 το[ιου]τότροπα: *litterae* ιου *evanuerunt* 27 πιερωθεῖσα *Kr.*, *emendavit A. Papadopulus-Kerameus, Byzant. Zeitschrift* VIII (1899), p. 78. 33 οὖν *Kr.*

τοὺς ὀφθαλμοὺς ἐκκόψαι. προσέτι γε μὴν καὶ ὁ τούτου πενθερὸς συνέτρεχε τῷ τοῦ βασιλέως σκοπῷ καὶ διακωλύσειν ἔσπευδε τοὺς νέους τῆς ἐνθέου βουλῆς. διά τοι τοῦτο καὶ φυγὴν ἐβουλεύσαντο καὶ μέντοι δὴ καὶ συνετέλεσαν τὴν βουλήν, εἰ μὴ ταῖς οἰκοδομαῖς τῆς πόλεως Κυζίκου τὸν Θεοφάνην ὁ βασιλεὺς ἐνησχόλησεν. τηνικαῦτα γὰρ κατά τινα πάροδον γέροντί τινι παραβάλλει τῶν μεγάλων τῷ τῆς Σιγριανῆς ἐνασκουμένῳ ὄρει (Γρηγόριος ἡ κλῆσις αὐτῷ) καὶ τὰ τῆς γνώμης ἀνακοινοῦται τούτῳ. καὶ ὃς πρὸς αὐτόν· «Οὐ χρεία σοί» φησι «τούτου, νεώτερε, τό γε νῦν ἔχον· καὶ γὰρ μικρὸν ὅσον, καὶ πενθερὸς ὁ σὸς καὶ βασιλεὺς αὐτὸς τῶν τῇδε μεθίσταται, καὶ || τότε τελέσεις τό σοι παριστάμενον». καὶ ταῦτα μὲν πρὸς αὐτὸν f. 191 *ὁ διορατικὸς γέρων ἐκεῖνος, πρὸς ἑτέρους δέ τινας καὶ ὅτι καὶ διὰ Χριστὸν ὁ νεανίας οὗτος, ἔφησε, μαρτυρήσει κατὰ τὸν καιρὸν τὸν προσήκοντα. τούτων ἀκούσας πρὸς τὰ οἰκεῖα τὴν πορείαν ὁ θαυμαστὸς ἐποιεῖτο, καὶ ἐπεὶ καί τινας ἑτέρους ἀνηρεύνα γέροντας τῶν μεγάλων, τὴν ὁδὸν ἐπλανήθη καὶ διὰ πάσης ὁδεύων ἡμέρας τὴν ἔρημον δίψει συνεσχέθη δεινῷ, τοῦ ἡλίου φλέγοντος· θέρους γὰρ ἦν ἀκμή. ἔνθεν τοι καὶ ἐκλιπόντων ἤδη τῶν σὺν αὐτῷ καὶ τῇ γῇ δόντων ἑαυτούς, οὐδὲ γὰρ εἶχον δυνατῶς ὁδεύειν, ὁ μέγας οὗτος καὶ καλὸς Θεοφάνης κλίνας τὰ γόνατα θερμῶς ἐδέετο τοῦ Θεοῦ, καὶ εὐθὺς ὕδωρ ἔβλυσε κατ' ἐκεῖνον τὸν τόπον | ἡδύ τε καὶ καθαρὸν* col. 2 *καὶ οἷον ἀπὸ χιόνος ἄρτι λυθείσης ἔρχεται. οὗ καὶ μετασχόντες ἀνεκτήθησαν ἅπαντες καὶ δόξαν ἀπεδίδουν Θεῷ.*

5. Κατὰ γοῦν τὸν πρῶτον καὶ εἰκοστὸν χρόνον τῆς αὐτοῦ ἡλικίας ἡ τοῦ μεγάλου γέροντος ἐκείνου πρόρρησις εἰς ἔργον ἐξέβη. καὶ θνήσκει μὲν ὁ τούτου πενθερός, θνήσκει δὲ καὶ βασιλεὺς ὁ ἀνόσιος, καὶ εἰρήνη βαθεῖα τὴν ἐκκλησίαν κατέλαβε, τῆς Εἰρήνης ἄρτι μόνης τὰ σκῆπτρα τῆς βασιλείας ἐχούσης. ἔνθεν τοι καὶ τὸ καλὸν ζεῦγος τῆς τυραννούσης αὐτοὺς μανίας τοῦ βασιλέως ἐλευθεριάσαντες ἀμφοτέραις ἤντλουν χερσὶ τοῖς πενομένοις τὸν πλοῦτον. καὶ ἐπεὶ καλῶς εἶχεν αὐτοῖς τοῦτο καὶ θεοφιλῶς, ἐλευθερίᾳ καὶ τοὺς οἰ||κέτας τιμήσαντες, ὁ μὲν τῇ κατὰ τὸ ὄρος Σιγριανὸν f. 191v *μονῇ τοῦ Πολιχνίου λεγομένῃ πρόσεισι, κτῆμα τούτου πατρικὸν γεγενημένῃ ποτέ, ἡ δὲ τῷ ἐν Πριγκήπῳ παρθενῶνι φέρουσα δίδωσιν ἑαυτήν, Εἰρήνη ἀντὶ Μεγαλοῦς αἱρετισαμένη καλεῖσθαι, συνθήκας θέμενοι μὴ κατὰ ζωὴν ἀλλήλους τὴν παροῦσαν ἰδεῖν.*

6. Οὐκ ὀλίγος παρῆλθε χρόνος, καὶ Στρατηγίῳ μὲν τῷ κατὰ πνεῦμα πατρὶ τὴν μονὴν ἀποδίδωσι, τὴν Καλώνυμον δὲ (νῆσος δὲ

Rubro: v. 5 *Τηνικαῦτα*, v. 14 *τού|Των*, v. 24 *Γοῦν*, v. 28 *ἔν|Θεν*, v. 37 *Οὐκ*
17 *συνεσχέθει δεινῶι* cod., *δεινῶς* Kr. 18 *ἐκλειπόντων* cod., em. Kr.

*αὕτη) καταλαμβάνει καὶ μοναστήριον ἐν αὐτῇ βάθρων ἐξ αὐτῶν ἀνεγείρει (καὶ γὰρ εἶχέ τι κἀν ταύτῃ γήδιον πατρικόν), ἐν ᾧ καὶ μονάζοντας συναθροίσας ἐκ τῆς τοῦ Θεοδώρου μονῆς, ὃν **Μονό-*** col. 2 *χειρα κατωνόμαζον, τὸν ἐπι|σημότερον αὐτῶν προεστάναι τούτων πεποίηκεν, αὐτὸς ὑπήκοος ἐν παντὶ τούτῳ γενόμενος. ἐπεὶ δὲ τοῦτον ἡ πρόνοια τῶν τῇδε μετεκαλέσατο, τὸν μέγαν προστῆναι τῆς ἀδελφότητος καθικέτευον ἅπαντες. ὁ δὲ ταπεινόφρων ὢν εἴπερ τις ἄλλος τοῦτο μὲν παρῃτήσατο, πρός τι δὲ κελλίον ἑαυτὸν ἀποκλείσας καλλιγραφῶν διετέλει καὶ πᾶσαν ἄλλην ἀρετὴν μετιὼν ἓξ οὕτω διετέλεσεν ἔτη. καὶ τὴν μονὴν ἀπολιπὼν τὸ τῆς Σιγριανῆς αὖθις ὄρος καταλαμβάνει καὶ τῇ τοῦ ὁσίου πατρὸς ἡμῶν Χριστοφόρου μονῇ καλῶς ἐμφιλοχωρεῖ καὶ πόνοις ἑαυτὸν ἀσκητικοῖς ἐκδίδωσιν, οἷάπερ ἀρχὴν ποιούμενος τῶν ἀγώνων, ἀναβάσεις τε τῶν ἀρετῶν* f. 192 *πασῶν ἐν καρδίᾳ διατίθεται καὶ ὅλος || δοχεῖον γίνεται θείων ἐννοιῶν τῶν τοῦ πνεύματος.*

7. Κατ' ἐκεῖνο τοίνυν καιροῦ ἡ ἐν Νικαίᾳ τὸ δεύτερον ἑβδόμη καὶ οἰκουμενικὴ συγκροτεῖται σύνοδος. ἀθροίζεται σὺν πᾶσι καὶ οὗτος καὶ τῷ ὑπερβάλλοντι τῆς ἀρετῆς καὶ τῷ ταπεινῷ τῆς καταστολῆς πολλὴν ἑαυτῷ τὴν τιμητικὴν σχέσιν παρὰ τῆς συνόδου συνῆξε καὶ ὅλος ἦν ὑπερθαύμαστος κἀν τοῖς ἁπάντων ἔκειτο στόμασι. τῆς αἱρέσεως οὖν ἐκποδὼν γενομένης ταῖς τῶν θεοπνεύστων λόγων προτάσεσί τε καὶ ἀντιθέσεσι, τὸ ὄρος ὁ μέγας αὖθις κατέλαβε καὶ τῶν ἀσκητικῶν εἴχετο δρόμων. εἰς τοσοῦτον οὖν ἐπλατύνθη τὰ τῆς μονῆς καὶ πρὸς ἐπίδοσιν ἦλθε τῇ τε ἄλλῃ κατασκευῇ καὶ προσεπι- col. 2 *κτήσει, ναὶ δὴ καὶ τῷ πλήθει | τῶν ἀδελφῶν, ὡς πάντων τῶν τε κατὰ Βιθυνίαν καὶ τὸν Ἑλλήσποντον ἀσκητηρίων τὸ πρωτεῖον αὐτὴν ἀπενέγκασθαι. ἐφ' οἷς φθονήσας τῷ ἁγίῳ τῶν δαιμόνων ὁ ἄρχων ἐπιτίθεται τούτῳ κοιμωμένῳ ποτὲ νυκτὸς μετ' αὐτῶν καὶ κακῶς αὐτῷ διατίθεται. εἶτα καί τινος τῶν πονηρῶν πνευμάτων τὸν τῆς χειρὸς τοῦ μεγάλου δάκτυλον ἐνδακόντος (τοσοῦτον γὰρ ἔβρυξεν ἐπ' αὐτῷ τοὺς ὀδόντας), ὀδύνης οὗτος ᾔσθετο καὶ βοῆς ἐπλήρου τὸ μοναστήριον. συναχθέντων οὖν τῶν ἀδελφῶν ὁ μέγας ἐπεδείκνυ τὸν δάκτυλον τὰς ἐπεμβολὰς τῶν ὀδόντων ἐμφαίνοντα. ὃν ἁγιάσματι διαβρέξαντες οὗτοι καὶ τὸ πολὺ τῆς ὀδύνης κουφίσαντες* f. 192v *ὑγιᾶ πεποι||ήκασι, τῶν δηγμάτων ἐπὶ πολλαῖς ταῖς ἡμέραις ἐμφαι-*

Rubro: v. 5 *Ἐπεὶ*, v. 16 *Κατ'*, v. 21 *Αἱρέσεως*, v. 27 *Τῷ*, v. 32 *Συναχθέντων*

6 *προς*ῆν(αι) *cod.*, *non* *προστὴν*, *ut dixit Kr.* 17 *συμ|πᾶσι cod.* 26 *κατα βηθυνίαν — ἐλίσποντον cod.* 31 *ἔβρυξαν* (*αν in rasura*) *cod.*, *em. Kr.* 33 *ἐμβολὰς Kr.*

νομένων. πάλιν δὲ καὶ πολλάκις ὑπνοῦντα τὸν μέγαν ἐρράπιζον καὶ διεγρηγορότα πτοεῖν ἐπεχείρουν καὶ φόβοις ἐκπλήττειν· ἀλλ᾽ οὐδὲν ταῦτα πρὸς τὴν μεγάλην ἐκείνην καὶ οὐρανομήκη ψυχήν. διὸ καὶ σημείοις ἄρχεται τοῦτον στέφειν ἡ χάρις τοῦ πνεύματος καὶ τὴν κατ᾽ αὐτῶν ἐξουσίαν χαρίζεσθαι.

8. Λιμοῦ γάρ ποτε γενομένου καὶ τῷ κακῷ τούτῳ πάντων πιεζομένων ἤνοιξε μὲν πρῶτον οὗτος τὰ οἰκεῖα σπλάγχνα καλῶς, ἤνοιξε δὲ καὶ χεῖρα καὶ αὐτὸν τὸν τῆς μονῆς σιτῶνα καὶ τὰς τῶν πενήτων γαστέρας ἐνέπλησε. καὶ ἦν ἄλλος Μωυσῆς ἐν ἐρήμῳ διατρέφων λαόν. ὁ τοίνυν ταμίας τοῦ σίτου | προσιὼν τῷ μεγάλῳ «Λογίζομαι» φησί, *col. 2* «πάτερ, ὡς οὐδὲ μέχρι τοῦ ἡμίσους ἔτους ἢ τοῦ ὅλου χρόνου τοῦ σίτου ἀπόθεσις ἐξαρκέσει τῷ πλήθει τῆς ἐξόδου μεγάλως ἐκλείπουσα». πρὸς ὃν ὁ θαυμάσιος «Ἵνα τί μικρόψυχος, ὦ τέκνον, ἐφάνης» ἔφη, «μὴ πρὸς Θεὸν τὰς ἐλπίδας τιθέμενος; πιστεύω γάρ, ὡς εἰ μέτρῳ τὸν σῖτον ὑποβάλῃς, ὄψει τὴν δύναμιν τοῦ Θεοῦ». μετρεῖ τοῦτον ὁ ἀδελφὸς καὶ κατ᾽ οὐδὲν ἐλλείποντα τοῦ τεθέντος εὑρίσκει, μηνῶν τριῶν μετὰ τὴν ἀπόθεσιν παρῳχηκότων καὶ μήτε τῆς ἐν τούτοις ἐξόδου, μήτε τοῦ χορηγηθέντος τοῖς δεομένοις τὸ σύνολον λείψαντος.

9. Ἄλλοτέ ποτε πένητί τινι προσιόντι νόμισμα ἓν τῷ ἐπὶ τῆς διακο||νίας τεταγμένῳ δοῦναι τούτῳ κελεύει· τοῦ δὲ μηδὲν προσεῖ- *f. 193* ναι τῷ κιβωτίῳ τὸ σύνολον εἰπόντος ὁ μέγας, τῷ ἔργῳ προσκείμενος ἐπιμελῶς τῆς γραφῆς, «Ἄπελθε» λέγει, «δὸς τῷ πένητι τὸ αἰτούμενον». τοῦ δὲ καὶ πάλιν τὸ κιβώτιον ἀνεῴξαντος — μεγάλα σου, κύριε, τὰ θαυμάσια — καὶ νόμισμα παρ᾽ ἐλπίδας εὑρηκότος ἓν καὶ τῷ ἁγίῳ κομίσαντος μετ᾽ ἐκπλήξεως καὶ διαβεβαιουμένου μηδὲν τὸ πρότερον εὑρηκέναι, «Ὕπαγε» φησὶ πρὸς αὐτὸν ὁ μέγας, «δίδου τοῦτο τῷ πένητι καὶ μὴ προστίθει λόγους πολλούς».

10. Ἀνὴρ οὖν τῶν οἰκοδομούντων τὸ τῆς μονῆς εὐκτήριον εἷς πλήττεταί ποτε πνεύματος μάστιγι πονηροῦ. ἐπεὶ οὖν ἀκρατῶς αὐτὸν ἤλαυνε τὸ δαιμόνιον καὶ τὰς ἰ|δίας σάρκας καταδαπανᾶν *col. 2* ἐποίει, δεσμοῖς ἀρρήκτοις χεῖρας αὐτοῦ περιβαλόντες οἱ σὺν αὐτῷ καὶ πόδας ἔν τινι καθεῖρξαν οἰκίσκῳ. καὶ δὴ μιᾷ τῶν νυκτῶν τοῦ ἁγίου δεήσεις πρὸς Θεὸν ὑπὲρ αὐτοῦ ποιουμένου τὰ δεσμὰ διελύθη τῶν τε χειρῶν ἐκείνου καὶ τῶν ποδῶν καὶ ὅλως ἦν ὁ ἄνθρωπος σωφρονῶν καὶ εὐσταθῶς πορευόμενος. οἱ φυλάσσοντες οὖν τοῦτο δὴ τὸ παράδοξον θεασάμενοι, πῶς τε λυθείη τῶν δεσμῶν διηρώτων καὶ παρὰ τίνος καὶ τί γένοιτο καὶ ποῦ πορεύοιτο. κἀκεῖνος τὸν

Rubro: v. 1 *Πάλιν*, v. 6 *λι|Μοῦ*, v. 10 *τοί|Νυν*, v. 13 *Πρὸς*, v. 19 *ἄλ|Λοτέ*, v. 28 *Ἀνὴρ*, v. 32 *Νυκτῶν*

5 κατ᾽ αὐτῶν *cod.*, κατ᾽ αὐτὰ *Kr.*

τοῦτο διαπραξάμενον ὑπεδείκνυ, «Οὗτός ἐστι» λέγων «ὁ μοναχός», ὁρῶν αὐτὸν μὴ παρ' ἄλλου βλεπόμενον, «ὅς μέ» φησι «καὶ πρὸς τὴν [f. 193v] ἐκκλησίαν καλεῖ». θείαν οὖν τὸ || πρᾶγμα νομίσαντες δυναστείαν τὰ δεσμὰ περισκοποῦσι καὶ κατά τι τῆς στρωμνῆς αὐτοῦ μέρος συνηγμένα καθορῶσιν αὐτά, πρᾶγμα θαυμάσιον. ἔνθεν τοι καὶ τὴν ἐκκλησίαν τάχος κατειλήφασι σὺν αὐτῷ καὶ τῷ Θεῷ τὴν εὐχαριστίαν προσῆγον.

11. Ἐντεῦθεν ἡ πρὸς τὸν μέγαν πίστις ἐπηύξει τοῖς μαθηταῖς. καὶ γάρ ποτε τοῖς θερμοῖς ὕδασι διὰ μακροῦ τοῦ χρόνου προσβαλόντος αὐτοῦ σὺν αὐτοῖς μικρᾶς θεραπείας ἕνεκα, βατράχων ἦν πλήρης ὁ τόπος, ἐν ᾧπερ κατέλυσαν· ὧν ταῖς κραυγαῖς τὸ ἥσυχον ὑπετέμνετο τούτοις. τὶς οὖν αὐτῶν, προσήκων κατὰ γένος τῷ γέροντι, πίστιν ὥσπερ ἀναλαβὼν «Ὁ καλόγηρος» ἔφη «παύσατέ, φησι, καὶ [col. 2] μὴ κράζετε» παύουσιν οὖν ἐκεῖνοι | τῆς φυσικῆς καὶ συνήθους κραυγῆς οἱ ἀσυνήθως καὶ φύσεως ἐκτὸς τὸ ἀκούειν ἔχοντες. καὶ μεθ' ἡμέρας δύο τῷ ἁγίῳ τὸ πρᾶγμα προσαγγέλλει ὁ τὴν σιωπὴν τοῖς βατράχοις προστεταχώς· ἐκεῖνος δὲ λύει τούτοις αὐτὴν δι' αὐτοῦ, πλεῖστα τούτῳ προσεπιτιμήσας διὰ τὴν πρᾶξιν.

12. Παραβαλόντων δέ τινων πρὸς αὐτὸν ἐκεῖνος φιλάδελφος ὢν καὶ θερμὸς πρὸς δεξίωσιν ἰχθύας πέμψας κομίζει. τῶν δὲ πατέρων τις χαριέστατά φησι πρὸς τὸν ὅσιον· «Ὕσκαν βούλομαι, πάτερ, ὕσκαν φαγεῖν ἐθέλω». τοῦτο τῆς ἀγάπης ὁ φίλος ἐνωτισάμενος ἀδιστάκτως τῇ πίστει τῶν μαθητῶν ἑνὶ «Πορευθεὶς» εἶπε «χάριν τῶν [f. 194] ἀδελφῶν κόμισον ἡμῖν ἐκ τῆς θαλάσσης ὕσκαν». ὃς πο||ρευθεὶς καὶ τὰ δίκτυα τῆς θαλάσσης χαλάσας ἀγρεύει παρευθὺς τὸ ὀψάριον καὶ κομίζει τοῦτο παρὰ πᾶσαν ἐλπίδα· οἱ δὲ ἰδόντες ἐξεπλάγησαν καὶ δόξαν ἀπεδίδουν Θεῷ.

13. Ἄλλοτε πλοίου μέσον κινδυνεύοντος τῆς θαλάσσης ὁ μέγας ἄνωθεν εὐξάμενος ἤδη μέλλοντος τῷ βυθῷ παραπέμπεσθαι κατεύνασέ τε τὸν κλύδωνα καὶ σέσωκε τοὺς πλωτῆρας, ἄνδρας ὄντας τρεῖς καὶ πεντήκοντα.

Καὶ αὐτοῦ δὲ τούτου μέλλοντος ἀπὸ τῆς τοῦ Πολιχνίου μονῆς ποτε διὰ τῆς θαλάσσης πρὸς τὸ ἴδιον ἀπελθεῖν μοναστήριον — ἐν ταύτῃ γὰρ ἔτυχεν ἀπιὼν — τὸ ταύτης ἀγριαῖνον (ἦν δὲ μέγα καὶ φοβερόν) διά τινος τῶν μαθητῶν καταστέλλει πορευθέντος πρὸς [col. 2] τὸν αἰγιαλὸν καὶ ταύτῃ κατὰ τὸν τοῦ μεγάλου λόγον | ἐπιτιμήσαντος, ὡς εὐθὺς γαλήνης ὁρᾶσθαι μεστὴν τὴν ἴσα καὶ ὄρεσι τὰ κύματα

Rubro: v. 3 Πρᾶγμα, v. 9 Γάρ, v. 19 παραβαλόν|Των, v. 28 Μέσον, v. 32 Τούτου

20 θερμῶς cod., em. Kr.   29—30 κατεύνασαί τε cod.

διεγείρουσαν καὶ αὐτοὺς τὸν πλοῦν εὐόρμως ποιήσασθαι καὶ καλῶς.

14. Τοιούτοις καὶ μείζοσι τοῖς θαυμασίοις ἐνδιαπρέπων ἔργοις ὁ Θεοφάνης ἀπό γε τῆς βασιλείας Εἰρήνης τῆς εὐσεβοῦς καὶ μέχρι τῶν χρόνων Μιχαὴλ τοῦ πιστοῦ τὸν ἀσκητικὸν ἐπανελόμενος βίον ἐν τῷ πεντηκοστῷ τῆς ζωῆς αὐτοῦ χρόνῳ ἀσθενείᾳ περιπίπτει δεινῇ. σύμπτωσις δὲ αὕτη νεφρῶν ἦν καὶ λιθίωσις κύστεως, δυσχερῆ καὶ ὀδυνηρὰν αὐτῷ ποιοῦσα τὴν τοῦ ὕδατος ἔκκρισιν· λίθοι γάρ τινες τοῦ αἰδοίου πωρώδεις ἀπέπιπτον, καὶ ἡ ὀδύνη τηνικαῦτα δριμεῖα καὶ ἄλλως ἀφόρητος. ἔμεινεν οὖν ὁ τρισόλβιος || μέχρι παντὸς f. 194v τοῦ βίου ταύτῃ τῇ νόσῳ κάτοχος.

15. Τῷ δὲ πεντηκοστῷ καὶ τρίτῳ ἔτει τῆς αὐτοῦ ἡλικίας Λέων ὁ δυσσεβὴς Ἀρμένιος τῶν τῆς βασιλείας σκήπτρων ἐπιλαβόμενος, ὡς μὴ ὤφελεν, δεινῶς τὴν ἐκκλησίαν ἐτάραξε. καὶ ἐπεὶ πάντων κατέδραμε τῶν ὀρθοδόξων πατέρων καὶ τὰ τῆς αἱρέσεως ἐνέσπειρε δόγματα τοῖς ἀφελέσι καὶ πρὸς κόσμον ζῶσιν ἀνδράσι, γράφει καὶ πρὸς τὸν μέγαν τοῦτον καὶ σοφὸν Θεοφάνην, «Ἐλθὲ» λέγων «εὐξόμενος ὑπὲρ ἡμῶν, ὅτι κατὰ βαρβάρων ἀπέρχομαι». ταῦτα δεξάμενος ὁ μέγας τὰ γράμματα ἐφ' ἁμάξης τίθεται — οὐδὲ γὰρ βαδίζειν διὰ τὴν δηλωθεῖσαν νόσον ἠδύνατο — κἀν τῷ αἰγιαλῷ κατάγεται. εἶτα καὶ πλοίῳ ἐμβάλλεται | καὶ τῇ Κωνσταντίνου δίδοται. καὶ κατ' ὄψιν μὲν col. 2 οὐκ ἔρχεται τοῦ τυράννου, δέχεται δὲ μηνύματα συνεχῶς ὡς ἢ πεισθέντα τοῖς αὐτοῦ δόγμασι δηλοῦντα πολλῶν ἀγαθῶν αὐτὸν ἀπολαύσειν καὶ τὴν ἰδίαν μονήν, εἰ δ' οὖν ἀλλὰ ξύλῳ ἀγχόνης τὴν ζωὴν ἀπορρῆξαι· τούτων τῶν ἀγγελμάτων ὁ μέγας ἀκούσας «Οὔτε σου τῶν δωρεῶν» ἀντεδήλωσε, «βασιλεῦ, χρήζω τὸ σύνολον, οὔτε τῶν ἀπειλῶν λόγον τὸ παράπαν ποιοῦμαι. χαίρω γὰρ εἰς πεῖραν αὐτῶν ὑπὲρ τοῦ ἐμοῦ Χριστοῦ καθιστάμενος καὶ τῆς εἰκόνος αὐτοῦ, κἂν δέῃ με δὲ ἀποθανεῖν, οὐδαμῶς τὴν αὐτῆς προσκύνησιν ἀπαρνήσομαι».

16. Ἤκουσε τούτων ὁ δυσσεβής, μαίνεται καί τινι Ἰαννῇ καλουμένῳ καὶ μαγομάντει κατονο||μαζομένῳ πρὸς διάλογον τὸν δίκαιον f. 195 παραδίδωσιν. ἄγει τοίνυν τοῦτον ἐκεῖνος πρὸς τὴν τῶν Χριστοῦ μαρτύρων Σεργίου τέ φημι καὶ Βάκχου μονήν· καὶ ἐπεὶ τὰ μυσαρὰ τούτου προβλήματα ταῖς τῶν θεοπνεύστων τοῦ Θεοφάνους λόγων ἀντιθέσεσι διελύοντο καὶ αἱ προτεινόμεναι παρ' ἐκείνου κολάσεις τρυφαὶ τούτῳ καὶ δόξαι καὶ πλοῦτος ἡγοῦντο, καὶ ταύτας ἐπόθει

Rubro: v. 3 *Καὶ*, v. 10 ἔ|*Μεινεν*, v. 12 *Τῷ*, v. 18 *Ταῦτα*, v. 25 *Τῶν*, v. 30 *Ὁ* 9 πορώδεις *cod., em. Kr.* 22 ὡς *videtur delendum* 28 κἂν δέημαι δὲ *cod., em. E. Kurtz ap. Kr.; an* με δῇ? 31 μαγομάντη *cod., em. Kr.* 33 μονῇ *cod., em. Kr.* 36 ἡγοῦντο *cod., em. Kr.*

διὰ Χριστόν, ὁ μάγος τῷ δυσσεβεῖ προσελθὼν «Σίδηρον» ἔφη, «βασι-
λεῦ, μαλάξαι ῥᾴδιον ἢ τὸν ἄνδρα τοῦτον ἑλεῖν». τότε δὴ μετάγει
τὸν μέγαν ὁ παράνομος εἰς τὰ Ἐλευθερίου ἀνάκτορα καὶ σκοτεινῷ,
φεῦ, τοῦτον οἰκίσκῳ καθείργνυσι καὶ φρουροὺς ἐπ' αὐτῷ καθιστᾷ
col. 2 καὶ χρόνον ἐπὶ διετῆ ταλαιπωρεῖν | οὕτω καταλιμπάνει.
17. Καί ποτε τοῦ συνόντος αὐτῷ παιδὸς οἷα παρηγοροῦντος
αὐτὸν καὶ λέγοντος, ὡς ἴσως μαλαχθείη τὸ σκληρὸν τοῦ Λέοντος
διὰ τὴν ἐνοῦσάν σοι, πάτερ, ἀσθένειαν καὶ τὸν πολὺν τῆς καθείρ-
ξεως χρόνον καί σε τῇ ἰδίᾳ παραπέμψοι μονῇ, ὅπως ἐν αὐτῇ τὸν
βίον ἀλλάξῃς, ἐκεῖνος «Οὐχί, τέκνον», προφητικῶς εἶπεν, «οὐχί· οὐκ
ἴδῃς τοῦτο ποτέ· ἀλλ' εἰς νῆσον ἐκπέμπει με σκληρὰν καὶ ἀπαρα-
μύθητον, ἐν ᾗ τις ἡμᾶς ξεναγήσει πρεσβύτης, ἐν ᾗ καὶ τὸν βίον
ἀλλάξω καὶ πρὸς τὸν ποθούμενον πορεύσομαι βασιλέα Χριστόν». οὐ
πολὺ τὸ ἐν μέσῳ, καὶ ὁ Ἀρμένιος ἐν τῇ Σαμοθρᾴκῃ τὸν μέγαν ἐκ-
f. 195v πέμπει, καὶ ξενίζει τοῦτον ὁ πρε|σβύτης κατὰ τὴν πρόρρησιν, καὶ
τὸ τέλος αὐτὸν ἐν αὐτῇ κατὰ τὴν προφητείαν κατέλαβεν, ἡμέρας ἐν
αὐτῇ τρεῖς πρὸς ταῖς εἴκοσιν ἐπιζήσαντα μόνας καὶ τὴν δωδεκάτην
τοῦ Μαρτίου τὸ τούτου τέλος ἰδεῖν προειπόντα. θάπτεται τοίνυν
ἐν αὐτῇ φιλοτίμως ὁ φιλότιμος καὶ θαύματα πλεῖστα τελεῖ.
18. Λέοντος δὲ τοῦ δυσσεβοῦς τὸν βίον κακῶς ἐκμετρήσαντος
καὶ τοῦ Μιχαὴλ τὴν βασιλείαν παραλαβόντος καὶ μικρόν τι τοῦ
διωγμοῦ παυσαμένου, εἰ καὶ μὴ τέλεον, οἱ μαθηταὶ τὸν μέγαν
ἀπὸ Σαμοθρᾴκης ἀράμενοι πρῶτα μὲν εἰς τὸ τῆς μονῆς κτῆμα
τοῦτον, ὃ Ἱερεῖα λέγεται, κομίζουσιν — ἡ τῶν γενεθλίων ἦν ἡμέρα
τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν — εἶτα κατὰ τὴν ἔνδοξον καὶ | κυρίαν
col. 2 τῆς ἀναστάσεως τῇ μονῇ φέροντες τίθενται, ἐν ᾗ πολὺ συνέ-
δραμε πλῆθος καὶ πάντες, ὅσοι νοσήμασι χαλεποῖς καὶ δαίμοσι
προσεπάλαιον, θεραπείας ἐτύγχανον. τυφλοὺς ἦν ἰδεῖν βλέποντας,
χωλοὺς περιπατοῦντας, λεπροὺς καθαιρομένους μόνῃ τῇ προσψαύσει
τοῦ τάφου. ναὶ δὴ καὶ κωφοὶ καὶ ἄλαλοι τὸ λαλεῖν καὶ ἀκούειν ἐλάμ-
βανον καὶ Θεῷ [καὶ] τῷ ἁγίῳ τὴν εὐχαριστίαν ἅπαντες ἀπεδίδουν. ἐν
οἷς καὶ γύναια τῇ αἱμορροίᾳ δεινῶς πιεζόμενα τῆς μάστιγος ἀπηλλά-
γησαν. καὶ χειρόγραφον δὲ ἡμαρτημένων τῇ θήκῃ τεθὲν ἐσφραγισμέ-
νον ὑπό τινος ἄγραφον ὁ τεθεικὼς ἀποσφραγίσας εὗρεν. ἡ γὰρ ἀκέ-
νωτος πηγὴ τῶν χαρισμάτων ἅπασι τὴν ἴασιν μετεδίδου πλουσίως. ||
f. 196 19. Ἐκεῖθεν οὖν ἄραντες αὐτὸν οἱ κομίσαντες εἰς τὴν ὑπ' αὐτοῦ
κτισθεῖσαν μονὴν Ἀγρὸν ἐπιλεγομένην κατέθεντο κατὰ τὸ δεξιὸν
τοῦ ναοῦ μέρος, ἐν ᾧπερ οὗτος ᾠκοδόμησε τάφῳ, πολλῶν θαυμά-

Rubro: v. 2 Δή, v. 6 Καί, v. 14 Μέσω, v. 20 Τοῦ, v. 31 Ἐν οἷς
18 «τούτου: Man erwartet αὐτοῦ». *Kr.* 31 καὶ *inserui coll. p. 229, 24.*

των ἐκεῖσε τελεσθέντων τῇ καταθέσει τούτου. δίκαιον οὖν τούτων ἀπομνημονεῦσαί τινα, ἵν' ἐξ αὐτῶν διαγνωσθῇ καὶ τὰ ὅλα. ποῦ γὰρ ἰσχύσει καὶ λόγος λέγειν καὶ χεὶρ γράφειν τὰ καθ' ἑκάστην πραχθέντα τε καὶ πραττόμενα ξένα καὶ ὑπὲρ λόγον τοῦ μεγάλου τερατουργήματα.

20. *Γεωργοῦ τινος ἐνέπεσε τῇ χώρᾳ βροῦχος. τὸ μύρον ἐκεῖνος τῆς τοῦ ἁγίου θήκης ἔλαβε, διέρρανε τὴν χώραν καὶ τῷ ῥαντισμῷ τὸν βροῦχον ἀπέκτεινεν. ἄλλου γεωργοῦ τινος τῷ σιτῶνι σκωλήκων γένος ἐνέσκηψε, τὸν σῖτον αὐτοῦ | πάντῃ φθεῖρον καὶ λυμαινόμενον.* col. 2 *ὁ γεωργὸς τῷ σίτῳ διερράντισε τὸ μύρον, καὶ οὐ μόνον οἱ σκώληκες ἐτεθνήκεσαν, ἀλλὰ δὴ καὶ ὁ φθάσας σῖτος ποσῶς βρωθῆναι σωζόμενος ὡρᾶτο καὶ ὅλος ἀκέραιος.*

21. *Παρθένος δέ τις τῶν εὖ γεγονότων καὶ περιωνύμων ἐγκρύφιον ἔσχε σκώληκα τῇ κεφαλῇ καὶ ἄλγημα καὶ περιωδυνίαν εἰκασμῷ μηδ' ὅλως ὑποβαλλόμενα. ἐδαπάνα δὲ οὐχ ἧττον ὁ σκώληξ αὐτήν, ἢ παῖδες ἰατρῶν αὐτῆς τὴν οὐσίαν, ἦν δὲ τῆς τέχνης ἀπορία πολλὴ καὶ τῆς ὀδύνης ἐπίτασις. γυναικὸς δέ τινος ἄλλης μύρον τῆς σοροῦ τοῦ μεγάλου διακονισαμένης καὶ τοῖς μυκτῆρσιν αὐτῆς ἐμβαλούσης καὶ τοῦ ἁγίου κατ' ἐκείνην τὴν ἑσπέραν ἐπιφανέντος καὶ σφρα|γῖδα* f. 196v *τῇ κεφαλῇ πασχούσης ἐμβαλόντος καί τινος νεανίσκου συμπαρόντος αὐτῷ—ἄγγελος δὲ οὗτος ἦν—καὶ τὸν τῆς Σιγριανῆς Θεοφάνην λέγοντος εἶναι, τοῦ ὕπνου ἐκείνη διαναστᾶσα καὶ τὰς ὀδύνας κοιμισθείσας εὑροῦσα τὸν ὀλετῆρά τε σκώληκα πρὸς τὸν κόλπον κείμενον καὶ ἑαυτὴν ὑγιᾶ δι' ὅλου κατανοήσασα δόξαν ἀπεδίδου Θεῷ καὶ τῷ ἁγίῳ.*

22. *Καὶ ταῦτα μέν, πανθαύμαστε Θεόφανες, τὰ τοῦ βίου σου παράδοξα, τὰ ἆθλα, τὰ θαύματα καὶ ἡ πρὸς Θεὸν ἐκ τούτων οἰκείωσις. καὶ νῦν τῷ δεσποτικῷ παριστάμενος θρόνῳ νέμοις ταῖς εὐκτικαῖς πρὸς Θεὸν ἱκεσίαις σου καὶ βασιλεῖ τῷ ὀρθοδόξῳ καὶ τὰ πάντα χρηστῷ μακροῦ βίου εὐμάρειαν, ἰσχὺν κατ' ἐναντίων καὶ τρόπαια, χεῖρα τούτου κρατύνων κατ' αὐτῶν, τὰ στρατεύματα, ἅπαν γένος ἀπαλείφουσαν αὐτῶν καὶ ἐκτρέπουσαν· ἡμέρας αὐτὸν υἱὸν ἔργασαι καὶ φωτὸς ἀνεσπέρου, λαμπρὰν χάρισαι τούτῳ τὴν κατοικίαν, πάντων τῶν καλῶν τὴν μετάληψιν πᾶσαν καὶ βασιλείας οὐρανῶν μετουσίαν· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

Rubro: v. 6 *Γεωργοῦ*, v. 8 *Γεωργοῦ*, v. 13 *παρ|Θένος*, v. 25 *ταῦ|Τα*, v. 29 *Μακροῦ*, v. 32 *Πάντων*

12 *ὅλος* cod., *ὅλως* Kr. 17 *ἐπίτασις* cod., *ἐπίστασις* Kr. 18 *διακονισάμενης*: cf. Kr. notam. 24 *διόλου* cod.

f. 197 *Μηνὶ τῷ αὐτῷ ιγ΄.*

ΛΟΓΟΣ ΕΙΣ ΤΗΝ ΑΝΑΚΟΜΙΔΗΝ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΝΙΚΗΦΟΡΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ.

1. Καὶ πῶς ἄν τις ἡμᾶς ἀπαλλάξοι μώμου καὶ μέμψεως τὸ ἱερὸν τοῦ πανιέρου Νικηφόρου λείψανον οὕτως ἐν ὑπερορίᾳ καταλιπόντας καὶ μηδὲ βραχέα περὶ τῆς θαυμασίας ἀνακομιδῆς ἐκείνου διαλαβόντας, ἵν᾽ ὥσπερ τότε γενομένης, οὕτω καὶ νῦν διὰ τοῦ λόγου col. 2 *πρὸς μνήμην ἰούσης θυμηδίας ἐμπλήσαιμεν | καὶ χαρᾶς τὰς τῶν φιλοθέων ψυχάς. λεγέσθω τοίνυν καὶ τὰ περὶ αὐτῆς· καὶ πρὸς μνήμην ἐρχέσθω, ὀλίγα πρότερον περὶ τῆς ἀρετῆς αὐτοῦ καὶ τοῦ βίου καὶ πῶς ἦλθε πρὸς τὴν τῆς ἐκκλησίας ἀρχὴν τοῦ λόγου διαλαμβάνοντος.*

2. Οὗτος ὁ μέγας καὶ σοφὸς Νικηφόρος, ὁ τὴν κατ᾽ ἐναντίων νίκην φερωνύμως ἀράμενος, γένους ἐξ εὐγενοῦς πεφυκὼς εὐγενὴς βλαστὸς καὶ αὐτὸς ἀνεφάνη, καρπὸν ὥριμον ἐνεγκὼν ἐν καιρῷ τῷ f. 197v *προσή||κοντι. τοιούτου δὲ γένους ἐξωρμημένος πολλῷ μᾶλλον τὴν τῆς ψυχῆς λαμπροτέραν εἶχεν εὐγένειαν, ἀρεταῖς αὐτὴν παντοίαις, ναὶ δὴ καὶ σοφίᾳ λόγων κατακοσμήσας. οὕτως οὖν ἔχων καὶ οὕτω διαλάμπων καὶ βασιλείοις αὐλαῖς ἐνδιέπρεψε καὶ τῶν βασιλικῶν μυστηρίων ὑπογραφεὺς ἐχρημάτισεν. ἐφ᾽ οἷς διαλάμψας ἐπὶ μᾶλλον ὁ τὰ θεῖα σοφὸς καὶ πρὸς τὸν ὑψηλὸν τῆς Κωνσταντίνου θρόνον ψήφῳ βασιλέως (Νικηφόρος ἐκράτει τηνικαῦτα τῆς βασιλείας) καὶ τῶν τῆς ἐκκλησίας ἐκκρίτων ἀνάγεται καὶ τίθεται τῇ λυχνίᾳ τὸ φῶς καὶ λάμπει πᾶσι τοῖς ἐν τῷ κόσμῳ καὶ γίνεται ποιμὴν ἄριστος, ποιμαίνων κυρίῳ λαὸν περιούσιον καὶ πρὸς τὴν ὄντως ζωὴν ἐπανάγων διὰ τῆς χάριτος. |*

col. 2 *3. ᾽Αλλ᾽ ἐπεὶ τούτων οὕτως ἐχόντων οὐκ ἦν ἠρεμεῖν τὸν ἐξ ἀρχῆς τοῖς ἀγαθοῖς ἀντικείμενον, τί γίνεται; τοῦ βασιλεύοντος τότε Νικηφόρου, καθὼς εἴρηται, καὶ τοῦ υἱοῦ αὐτοῦ Χριστοφόρου τὸν βίον ἀπολιπόντων καὶ πρὸς Μιχαὴλ τὸν γαμβρὸν τῆς βασιλικῆς*

Rubro: v. 5 *Καὶ*, v. 17 *γέ|Νους*, v. 19 *Καὶ οὕτω*, v. 28 *᾽Αλλ᾽*
7 *μηδὲ*

6. Ἄρτι τοῦ πικροῦ Λέοντος κακῶς τὴν ζωὴν ἀπορρήξαντος col. 2 καὶ Μιχαὴλ | ἄλλου τὴν βασίλειον ἀρχὴν διαδεξαμένου καὶ μετ' αὐτὸν Θεοφίλου τοῦ υἱοῦ αὐτοῦ τῶν βασιλείων σκήπτρων ἐπιλαβομένου, καὶ αὐτοῦ δὲ τὸν βίον οὐ καλῶς καταστρέψαντος (συναπήχθη γὰρ τοῖς ἄλλοις πρὸς τὴν τῶν σεβασμίων εἰκόνων ἀθέτησιν), Μιχαὴλ ὁ υἱὸς αὐτοῦ παῖς ἔτι τυγχάνων σὺν Θεοδώρᾳ τῇ καλλίστῃ μητρὶ τῆς βασιλικῆς ἀντελάβοντο δυναστείας καὶ μέντοι δὴ καὶ κοσμοῦσι ταύτην καὶ καλῶς διευθύνουσι καὶ πολυτελῶς, ἐκ μέσου τὴν αἵρεσιν ποιησάμενοι καὶ τὴν εἰκόνα Χριστοῦ τιμᾶσθαι καὶ τῶν ἁγίων καλῶς δογματίσαντες. ἐντεῦθεν τὸν ἴδιον κόσμον ἡ ἐκκλησία πρεπόντως ἀπολαβοῦσα καὶ τὴν ἀρχαίαν καὶ καλλίστην ἐνδυσαμένη f. 199 καταστολήν, ἡλίου δίκην κα||τέλαμπε τὸ ὀρθόδοξον.

7. Ἔνθεν τοι καὶ ψήφῳ κοινῇ τὸν οὐ καλῶς ἀλλ' ἀνοσίως τὸν πατριαρχικὸν θρόνον τῆς Κωνσταντίνου διέποντα καθελόντες καὶ ἀναθέματι καθυποβαλόντες ἀντικαθιστῶσι Μεθόδιον τὸν καλόν, τῆς βασιλίσσης Θεοδώρας συνευδοκούσης ἐν τούτοις. καὶ γίνεται χαρὰ καὶ ἀγαλλίασις μεγάλη ἐν τῷ λαῷ. δέχονται δὲ καὶ ἁπανταχοῦ τῆς οἰκουμένης ἐκκλησίαι τὴν οἰκείαν εὐπρέπειαν καὶ τῷ τῶν σεπτῶν εἰκόνων κάλλει περιφανῶς ἐνσεμνύνονται.

8. Χρόνου τοιγαροῦν ἔκτοτε τετραετοῦς παρελθόντος ὁ καλὸς Μεθόδιος θείῳ πνεύματι κινηθεὶς τῇ θεοστεφεῖ πρόσεισι βασιλίσσῃ καὶ τὸ πάντιμον Νικηφόρου σῶμα πρὸς τὴν βασιλεύουσαν ἐξαιτεῖ col. 2 κομισθῆναι, ἵνα μὴ | τῇ ἐξορίᾳ καὶ εἰσέτι, φησί, κατάκριτος ὥσπερ μείνοι καὶ ἀνελεύθερος. τούτοις πειθαρχήσασα τοῖς λόγοις ἡ καλὴ βασιλὶς τάχος ἐπένευσε τὴν ἀνακομιδὴν γενέσθαι τοῦ· παντίμου σώματος ἐκείνου καὶ θαυμαστοῦ. τότε πρόθυμος ὁ ἱεράρχης σὺν ὅλῳ τῷ κλήρῳ καὶ τῷ στίφει τῶν μοναχῶν τῆς πόλεως ἀπάρας τὴν μονὴν καταλαμβάνει τοῦ πατριάρχου καὶ τῷ πανιέρῳ τούτου τάφῳ προσιὼν δάκρυσι θερμοῖς αὐτὸν ἐλιπάρει μὴ ἀνανεῦσαι πρὸς τὴν ἐπίδοσιν, ἀλλ' ἕτοιμον ἑαυτὸν καὶ εὐκίνητον παρασχεῖν τοῖς ποθοῦσι. ταῦτα πιστῶς ἐξαιτούμενος πάννυχον ὑμνῳδίαν ἐτέλεσεν, f. 199v εἶτα τῇ αὔριον καὶ τὴν μυστικὴν ἱερουργίαν τελέσας || λαμβάνει χερσὶ καθαραῖς τὸ πανέντιμον σῶμα, σῶον ὅλον συντηρηθὲν ἐν ὅλοις χρόνοις ἐννεακαίδεκα, καὶ μετατίθησιν ἐν ἑτέρᾳ σορῷ, ἣν ἱερέων οἱ πρόκριτοι μεθ' ὕμνων καὶ θυμιαμάτων καὶ φώτων ἐπωμισάμενοι τῷ προευτρεπισθέντι ποθεινῶς ἐμβάλλουσι δρόμωνι. καὶ ἐπεὶ τὸν αἰγιαλὸν κατειλήφασιν, αὐτός τε Μιχαὴλ ὁ πιστότατος

Rubro: v. 1 Ἄρτι, v. 13 Ἔνθεν, v. 20 Χρόνου, v. 24 Τούτοις, v. 37 Κατειλήφασιν

23 εἰς ἔτι

ἄναξ καὶ οἱ ἐν τέλει πάντες χαίροντες ὑπαντῶσι, χερσὶ λαμπάδας κατέχοντες, καὶ πρὸς τὴν μεγάλην τέως αὐτὸν ἐκκλησίαν ἀπάγουσιν· εἶτα τοὺς εἰκότας ὕμνους ἐπ' αὐτῷ τελέσαντες τῷ ναῷ τῶν ἀποστόλων κομίζουσι, πολλῶν κατὰ τὴν ὁδὸν πνεύμασιν ἀκαθάρτοις ἐνοχλουμένων ἅμα | τῷ τῇ σορῷ προσδραμεῖν ἰαθέντων καὶ col. 2 ἄλλων δὲ νοσήμασιν ἀπηγορευμένοις κεκρατημένων.

9. Τοῦ ἀρχιερέως τοίνυν τὴν ἱερὰν μυσταγωγίαν τελέσαντος κατετέθη σου τὸ πάντιμον καὶ ἀξιέπαινον λείψανον, θαυμαστὲ Νικηφόρε, ἐν τῇ φιλοτίμως σοι κατασκευασθείσῃ θήκῃ. τρισκαιδεκάτην δὲ ὁ Μάρτιος ἤνυε τὴν ἡμέραν, καθ' ἣν δὴ πάντως καὶ τὰ τῆς ὑπερορίας σου γέγονε. καὶ νῦν ταῖς οὐρανίαις σκηναῖς ἐμφιλοχωρῶν καὶ τῶν πόνων ἀπολαμβάνων τὰς ἀμοιβάς, τοῦ ποιμνίου τε τὴν συντήρησιν ἐκ Θεοῦ ἐξαιτῶν, μέμνησο καὶ βασιλέως ἡμῶν τοῦ πιστοῦ καὶ ὀρθοδόξου καὶ τὰ πάντα χρηστοῦ, μακρότητα τούτῳ χαριζόμενος ἡμερῶν ταῖς πρὸς τὸν Χριστόν σου δεήσεσιν, ἰσχυρὸν αὐτῷ τιθεὶς || κατὰ τῶν ἀντιπάλων καὶ κραταιὸν τὸ βασίλειον, χεῖρα f. 200 τούτου δυνατὴν ἐργαζόμενος κατ' αὐτῶν καὶ ἀπρόσμαχον, αὐτόθι δὲ ζωῆς ἀξιῶν τῆς ὄντως μακαρίας, ἡλίου φαιδροῦ τοῦ νοητοῦ καὶ θείου, | πάντων τῶν τερπνῶν τῆς μεθέξεως ὅλης καὶ βασιλείας col. 2 Θεοῦ τῆς ἀπεράντου· ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ ιδ'.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΓΡΗΓΟΡΙΟΥ ΠΑΠΑ ΤΗΣ ΠΡΕΣΒΥΤΕΡΑΣ ΡΩΜΗΣ.

1. Ὁ μέγας οὗτος καὶ θαυμαστὸς Γρηγόριος, οὗ τὸ κλέος καὶ τὸ πολὺ τῆς σοφίας πᾶσαν, ὡς εἰπεῖν, διέλαβε τὴν ὑφήλιον, πατρίδα μὲν ἔσχε τὴν πρεσβυ|τέραν Ῥώμην, μητέρα δὲ κατὰ μὲν πνεῦμα col. 2 τὴν ἐκκλησίαν, κατὰ σάρκα δὲ Σιλβίαν οὕτως ὠνομασμένην, ἀρεταῖς παντοίαις κατάκομον καὶ ψυχῆς καὶ σώματος εὐγενείᾳ περι-

Rubro: v. 7 Ἀρχιερέως, v. 14 Μακρότητα, v. 19 Πάντων, v. 25 Ὁ

f. 200v βλεπτον. ἤνθησε δὲ τὸ καλὸν τοῦτο φυτὸν ἐπὶ τῶν || χρόνων Ἰουστινιανοῦ τοῦ πιστοῦ βασιλέως.

2. Παιδευθεὶς οὖν καλῶς καὶ ἀναχθεὶς παρὰ τῆς μητρός, γνώσεώς τε πλήρης γενόμενος τὸν μὲν συρφετώδη τοῦτον βίον, ὡς ἐμποδὼν ὄντα τῆς πρὸς ἀρετὴν φερούσης ἀπώσατο, τὸν ἥσυχον δὲ καὶ φιλόκαλον ἀντησπάσατο. καὶ γὰρ τῇ μονῇ τοῦ πρωτοκλήτου τῶν ἀποστόλων Ἀνδρέου, ἥτις Κλιοσκαύρη κατονομάζεται, προσιὼν τὸ μοναχικὸν ἀμφιέννυται σχῆμα καὶ μέγας γίνεται τὴν ἀρετήν, εἶτα καὶ πολύς. καὶ μὴ θέλων τὸν ἀργὸν βίον ἀνύειν, καλλιγραφῶν, ὅτε τῆς εὐχῆς ἐσχόλαζε, διετέλει καὶ τὸ περιὸν ἐντεῦθεν τοῖς δεομένοις ἐδίδου. τοιοῦτος ὁ πατριάρχης πρὸ τοῦ θρόνου.

col. 2 3. Καὶ γὰρ πτωχός τις αὐτῷ προ|σιὼν πλούσιον ἑαυτὸν ἔλεγέ ποτε γεγενῆσθαι ναύκληρον καὶ ᾔτει λαβεῖν βίου παραμυθίαν τινὰ καὶ ἀνάκτησιν. ὁ δὲ τὸν ἐπίτροπον αὐτοῦ ἓξ δοθῆναι νομίσματα τῷ πένητι διορίζεται. δίδωσιν ἐκεῖνος αὐτῷ ταῦτα. καὶ ὁ πένης αὖθις μετ' ὀλίγον ἐπανιὼν μὴ ἐξαρκεῖν αὐτῷ τὸν ἔλεον πρὸς τὴν τοῦ βίου δυσχέρειαν ἔλεγε. λαμβάνει λοιπὸν καὶ ἄλλα τοσαῦτα. καὶ πάλιν ἐπανελθὼν ἐξαιτεῖται δοθῆναι τούτῳ καὶ ἕτερα. ὁ τοῦ δικαίου ἐπίτροπος κελεύεται δόσιν ἓξ ἑτέρων νομισμάτων ποιήσασθαι· μὴ ἔχειν ἐκεῖνος ἐβεβαίου, καὶ σκεῦος ὁ μέγας παρασχεθῆναί τι τῷ πένητι ἐγκελεύεται. καὶ δίδοται τούτῳ ἀργυροῦν τι σκεῦος, f. 201 μηδὲν ἐνδοιάσαντος τοῦ μεγάλου. καὶ ἦν οὕτω τὸ πρᾷον τῷ || ἁγίῳ καὶ ἀνεξίκακον καλῶς ἐκμελετήσαντι τὸ βλέπειν λεῖον καὶ τὸ συνάγειν ἐντεῦθεν τὸν ἔλεον· διὸ καὶ συνῆξε τοῦτον· καὶ ὅπως, ὁ λόγος ἐρεῖ. οὐκ ἄνθρωπος ὁ αἰτῶν ἦν, ἀλλά τις ἄγγελος δοκιμὴν προσάγων τῷ ἐλεήμονι, καθ' ἃ δὴ παρακατιὼν ὁ λόγος δηλώσει.

4. Τῆς ἀρετῆς γὰρ τὸν ἄνδρα γνώριμον πᾶσι καὶ μάλα δίκαιον καθεστώσης ὁ καιρὸς ἐκάλεσε καὶ πρὸς τὸν τῆς Ῥώμης αὐτὸν ἀναβιβασθῆναι θρόνον, οὐκ ἀνθρωπίνῃ, θείᾳ δὲ ψήφῳ καὶ μᾶλλον. καὶ δὴ καὶ ἀνήχθη καὶ τοσοῦτον τῆς ἀρετῆς ἐργάτης ἐγένετο, ὡς περιβόητος ἐντεῦθεν ἀναφανῆναι καὶ θείας ὀπτασίας ἀξιοθέατος. μιᾷ γὰρ τῶν ἡμερῶν τὸν ἐπὶ τῆς τραπέζης δυοκαίδεκα συγκαλέσαι col. 2 κελεύσας ἀδελφοὺς εἰς ἑστίασιν | (τοῦτο γὰρ συνήθως ἐφ' ἑκάστης εἶχε ποιῶν), ὡς ἀνεκλίθησαν οἱ δώδεκα σὺν αὐτῷ, τρισκαίδεκα συνέβη τοῦτον ἰδεῖν καὶ τὸν τρισκαιδέκατον ξένον τὴν μορφὴν καὶ θαυμάσιον· ποτὲ μὲν γὰρ ὡς νεανίσκον αὐτόν, ποτὲ δὲ ὡς γηραιόν, τῶν ἄλλων ἔσχατον καθεζόμενον. καλέσας οὖν τὸν ἐπὶ τῆς τραπέζης,

Rubro: v. 3 Παιδευθεὶς, v. 12 Πτωχός, v. 18 Καὶ, v. 25 οὐ|Κ, v. 27 ἀ|Ρετῆς, v. 32 Ἡμερῶν

23 λεία 31 ἀξιωθέατος

πῶς δώδεκα κελευσθεὶς συναγαγεῖν ἀδελφοὺς τρισκαίδεκα συνανέκλινε, διηρώτα. ὁ δὲ δυοκαίδεκα τούτους εἶναι διεβεβαίου, οὐδὲ γὰρ ἑώρα τὸν ἄγγελον οὔτ' αὐτός, οὔτε τις ἕτερος, εἰ μὴ μόνος ὁ πατριάρχης. ὅμως μετὰ τὴν τῆς τραπέζης ἀπόλυσιν τοὺς μὲν ἄλλους εἴασεν ἀπελθεῖν, αὐτὸν δὲ τοῦτον τὸν τρισκαιδέκατον προσκαλεσάμενος καὶ τὸ ἴδιον κελλίον κατα||λαβών, τίς ἄρα καὶ εἴη διεπυνθάνετο καὶ f. 201v ὅπως δὴ καὶ καλοῖτο. τοῦ δὲ «Καὶ ἵνα τί μου μαθεῖν» εἰπόντος «ἐκζητεῖς τὸ ὄνομα; τὸ δέ ἐστι θαυμαστόν· τί δὲ καὶ γνῶναι ζητεῖς, ὅστις δὴ καὶ εἰμί; ἐγὼ δὲ ἐκεῖνός εἰμι, ὃς πρὸ χρόνου τινὸς ἐν τῇ τοῦ ἀποστόλου Ἀνδρέου μονῇ τὰ δώδεκα ἔλαβον νομίσματα παρὰ σοῦ καὶ τὸ ἀργυροῦν ἐκεῖνο σκεῦος, ὅπερ Σιλβία ἡ τεκοῦσά σε μετά τινων ὀσπρίων ἀπέστειλε· καὶ ἰδοὺ ἀπό γε τῆς ἡμέρας ἐκείνης σύνειμί σοι καὶ συμπορεύομαι καὶ φυλάττω σε, σαφῶς προειδώς, ὡς ἐπὶ τὸν πατριαρχικὸν ἔμελλες ἀναβιβασθῆναι θρόνον», ὁ μακάριος Γρηγόριος πρὸς αὐτόν· «Καὶ πόθεν ᾔδεις με μέλλειν ἐπὶ τὸν θρόνον ἀναβιβασθῆναι τοῦτον;»—«Ὅτι ἄγγελος» | εἶπεν ἐκεῖνος col. 2 «κυρίου παντοκράτορος ἐγὼ καὶ παρὰ τούτου δὴ ἀπέσταλμαι δοκιμάσαι σου τὴν πρόθεσιν, εἰ ἄρα φιλανθρώπως δὴ καὶ οὐκ ἐπιδεικτικῶς τὸ ἐλεεῖν ἔχεις». ταῦτα εἰπὼν ἀπέπτη τῶν ὀφθαλμῶν αὐτοῦ, καὶ φόβος ἔσχε τὸν πατριάρχην, καὶ μεγαλύνων ἦν καὶ δοξάζων τὸν κύριον.

5. Τοσοῦτος δὲ γέγονε καὶ τοσαύτην ἐπλούτησε γνῶσιν καὶ σοφίαν λόγων καὶ σύνεσιν, ὥστε παρὰ πάντων θαυμάζεσθαί τε καὶ μεγαλύνεσθαι. καὶ γὰρ πολλὰ συγγράμματα καταλέλοιπε τῇ ῥωμαϊκῇ διαλέκτῳ συγγεγραμμένα, οὐ σοφίᾳ λόγων μόνον συντεθειμένα καὶ κάλλει λέξεων, ἀλλὰ καὶ πνεύματος ἁγίου χάριτι πάσης γραφῆς ἐπίλυσιν ἔχοντα. Πέτρος γὰρ ὁ τῆς ἐκκλησίας ἀρχιδιάκονος || ἰδεῖν f. 202 ἔλεγε περιστερὰν λευκὴν ἐν τῷ γράφειν τὸν ἅγιον τῷ στόματι αὐτοῦ προσεγγίζουσαν καὶ οἷον ἐξηγουμένην καὶ συλλαλοῦσαν πρὸς τὰ γραφόμενα.

6. Τὴν Ῥώμην οὖν ὁ μέγας καταφωτίσας τοῖς τῶν λόγων πυρσεύμασι καὶ πρὸς τὸ Σάξων ἔθνος ἀπαίρει καὶ κηρύσσει τούτοις τὸν λόγον τῆς χάριτος καὶ παιδεύει καλῶς καὶ πρὸς τὴν εἰς Χριστὸν αὐτοὺς πίστιν ἐπανάγει διὰ τοῦ βαπτίσματος, εἶτα πρὸς τὴν Ῥώμην αὖθις ἐπάνεισι, πολλὰ τελέσας ἐν αὐτῇ ξένα καὶ παράδοξα θαύματα.

7. Ἐπεὶ δὲ πλήρης ἡμερῶν γέγονας τῶν τε λυομένων καὶ τῶν τοῦ πνεύματος, ὦ τρισόλβιε πάτερ καὶ θαυμαστὲ Γρηγόριε, τὴν

Rubro: v. 4 Ὅμως, v. 7 **Καὶ** ἵνα, v. 27 **Πέτρος**, v. 31 **Τὴν**, v. 37 Ἐπεὶ

2 διηρῶτα 3 ἄγγελον *in rasura* 22 ἐπλούτισε

γῆν καταλιπὼν πρὸς τὰ οὐράνια μεταβέβηκας. καὶ νῦν ἀγγέλοις καὶ col. 2 δικαίοις συνευφραινόμενος | καὶ τὰς ὑπὲρ τοῦ κόσμου πρεσβείας ποιούμενος χάρισαι καὶ βασιλεῖ ἡμῶν τῷ ὀρθοδόξῳ καὶ τὰ πάντα χρηστῷ μεγίστας νίκας κατὰ τῶν ἐναντίων, ἰσχὺν καὶ κράτος κατὰ τῶν ἀντιπάλων, χορῶν δικαίων τὴν καλὴν κληρουχίαν, ἀύλων μονῶν τὴν τερπνὴν κατοικίαν, ἡλίου φαῦσιν τοῦ νοητοῦ καὶ θείου, πάντων τῶν καλῶν τὴν μετάληψιν ὅλην καὶ βασιλείας οὐρανῶν μετουσίαν· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

f. 202v *Μηνὶ τῷ αὐτῷ ιε΄.*

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΠΙΟΝΙΟΥ ΚΑΙ ΤΗΣ ΣΥΝΟΔΙΑΣ ΑΥΤΟΥ.

1. Μεμνῆσθαι τῶν ὑπὲρ Χριστοῦ παθόντων εἴπερ ἄλλο τι λυσιτελὲς καὶ ὠφέλιμον· ἱκανὴ γὰρ καὶ μόνη μαρτύρων μνήμη ψυχὴν διεγεῖραι πρὸς Θεοῦ ἔρωτα καὶ πρὸς ἀρετὴν ἑτοίμην παρασκευάσαι. τούτων οὖν τῶν διὰ Χριστὸν ἀθλησάντων εἷς ἐστι καὶ ὁ στερρὸς τῆς ἐκκλησίας πύργος τε καὶ θεμέλιος, Πιόνιος ὁ σοφός· ὃς τῆς col. 2 κατὰ Σμύρναν ἁγίας τοῦ Θεοῦ ἐκκλησίας | ἱερεὺς ἐχρημάτισε καὶ θύτης τῶν Χριστοῦ μυστηρίων. Δεκίου γὰρ τοῦ δυσσεβοῦς διωγμὸν κατὰ χριστιανῶν κινήσαντος χαλεπὸν καὶ διατάγματα κατὰ πᾶσαν στείλαντος τὴν ὑπὸ Ῥωμαίους ἀρχήν, ὥστε τοὺς μὴ θύειν ἐθέλοντας τοῖς εἰδώλοις μετὰ πολλὰς τὰς τιμωρίας καὶ τῷ διὰ ξίφους καθυπάγεσθαι τέλει, ἔφθασε τὸ παράνομον τοῦτο δόγμα καὶ κατ' αὐτὴν τὴν Ἀσίαν, καὶ πάντες συνελαμβάνοντο καὶ πάντες τοῖς δεινοῖς ὑπεβάλλοντο.

f. 203 2. Πιόνιος οὖν ὁ καλὸς γνοὺς || τῷ πνεύματι πρὸ μιᾶς ἡμέρας, ὅτι δὴ μέλλοι συλληφθῆναι σὺν ἅμα Σαβίνῃ τῇ μάρτυρι καὶ Ἀσκληπιάδῃ τῷ ἀθλητῇ, δεσμεῖ σὺν αὐτοῖς ἑαυτὸν ἐν ἁλύσει, καὶ ἦσαν οὕτω τοὺς κρατήσοντας ἐκδεχόμενοι. ὅτου δὲ χάριν τὰ δεσμὰ ἑαυτοῖς περιέθεντο, προϊὼν ὁ λόγος διδάξει, τῶν ἀντιθέσεων τοῦ

Rubro: v. 4 *Μεγίστας*, v. 7 *Πάντων*, v. 13 *Μεμνῆσθαι*, v. 19 *Δεκίου*, v. 26 *Πιόνιος*

μάρτυρος τοῦτο παραδηλουσῶν ἐναργῶς. τοῦ οὖν μεγάλου σαββάτου τῆς πρὸ τῆς τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν ἀναστάσεως καταλαβόντος, αἴφνης ὁ νεωκόρος Πολέμων μετὰ στρατιωτῶν ἐπιστὰς εὑρίσκει τούτους οὕτως ἔχοντας καί φησι πρὸς αὐτούς· «Οἴδατε ὑμεῖς τὰ τοῦ αὐτοκράτορος διατάγματα καὶ οὐκ ἀγνοεῖτε πάντως, ὡς θυσίας ἀναφέρεσθαι κελεύουσι τοῖς θεοῖς. ἔλθετε τοίνυν καὶ θύσατε τούτοις, καὶ | ζήσεσθε καὶ τιμῶν καὶ δόξης ἀξιωθήσεσθε». col. 2 καὶ οἱ ἅγιοι «Τὰ προστάγματα» εἶπον «τοῦ Θεοῦ ἡμῶν οἴδαμεν καὶ αὐτῷ θύομεν καὶ αὐτῷ πειθόμεθα, τῷ μόνῳ ζῶντι Θεῷ· δαίμοσι δὲ καὶ ξοάνοις οὐκ ἄν ποτε πείσης ἡμᾶς θυσίαν προσαγαγεῖν».

3. Ἄγει τούτους οὕτως εἰπόντας ἐπὶ τὴν ἀγοράν, ἔνθα δὴ καὶ τὰς ἐναγεῖς θυσίας ἐπετέλουν οἱ δείλαιοι· συντρέχει πλῆθος πολὺ Ἑλλήνων ἅμα καὶ Ἰουδαίων· πρὸς θυσίαν ὁ Πολέμων τοὺς μάρτυρας ἐξεκάλει. Πιόνιος δὲ ὁ κλεινός, ἄρας ἐν τῷ πλήθει τὴν φωνήν, «Ἄνδρες» ἔφησεν «Ἰουδαῖοι καὶ Ἕλληνες, τί μὴ τὸν ἀληθῆ Θεὸν ἐπιγινώσκοντες αὐτῷ μόνῳ τὴν καθαρὰν ὡς καθαρῷ θυσίαν προσάγετε, ἀλλὰ τοῖς βδελυκτοῖς καὶ ἀκαθάρτοις εἰδώλοις || τὴν μιαρὰν f. 203v ταύτην καὶ ἐναγῆ καὶ πλήρη καπνοῦ καὶ κνίσης καὶ πρέπουσαν αὐτοῖς, ὡς εἰπεῖν; ἢ οὐ κρίσιν ἐκδέχεσθε καὶ κολάσεις τὰς ἀθανάτους; καὶ πῶς ταῦτα οὐ συνήκατε; καὶ πῶς ἀκούσαντες οὐκ ἐμάθετε; καὶ πῶς ἰδόντες οὐκ ἐπιστεύσατε; οὐκ ἄρα, ὦ Ἰουδαῖοι, ταῖς Μωσαϊκαῖς ἐμφέρεται βίβλοις πῦρ οὐρανόθεν ποτὲ καταβὰν πάντας ἐμπρῆσαι τοὺς ἐν Σοδόμοις τε καὶ Γομόρρᾳ; αὐτὴ δὲ τῶν θερμῶν ὑδάτων ἡ φύσις ἐκ γῆς ἀναδιδομένη τί δίδωσιν ὑμῖν ἐννοεῖν; οὐκ ἀπὸ πυρὸς ὑπογαίου τὸ θερμὸν ἔχειν; πῶς οὖν διαπιστοῦντες φαίνεσθε ταῖς κολάσεσι; καὶ ὑμᾶς δέ, ὦ παῖδες Ἑλλήνων, προσερήσομαι· οὐ ταῖς τῶν φιλοσόφων ὑμῶν ἐγκύψαντες δέλτοις ποτὲ με|μαθήκατε col. 2 τοὺς μὴ καλῶς βιώσαντας Πυριφλεγέθοντι παραδοθῆναι καὶ Ταρτάρῳ καὶ ὕδατι, τὸν Σίσυφόν φημι καὶ τὸν Ἰξίονα καὶ τὸν Τάνταλον; ἵνα τί οὖν μὴ κατὰ νοῦν λαμβάνοντες ταῦτα τὸν ἀληθῆ Θεὸν ζητοῦντες εὑρίσκοιτε, ποιητὴν ὄντα καὶ δημιουργὸν οὐρανοῦ τε καὶ γῆς καὶ τῶν ἐν αὐτοῖς καὶ τὸν μονογενῆ τούτου υἱόν, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησε, καὶ τούτῳ πιστεύοντες σώζοισθε; καταμάθετε τοίνυν, τί μὲν ὑμεῖς, τί δὲ ἡμεῖς οἱ χριστιανοὶ τῇ ὀρθῇ κρίσει διαπραττόμεθα; τίνας ἡμεῖς ἠδικήσαμεν πώποτε; τίνας πεφονεύκαμεν, ὡς ὑμεῖς ἐφ' ἑκάστης

Rubro: v. 1 *Τοῦ*, v. 8 *ἅ|Γιοι*, v. 11 *Τούτους*, v. 14 *Δὲ*
8 *προστάγματα] πράγματα P.-K.* 18 *κνήσ(ης) cod., κνίσσης P.-K.* 25 *διαπιστοῦντες] δυσπιστοῦντες P.-K.* 29 *Ἰξίωνα cod.* 32 *καὶ ante τὸν μονογενῆ om. P.-K.*

f. 204 ποιεῖτε; τίνι βίαν ἐπηνέγκαμεν καὶ ἀνάγκην; οὐχ ὑμῶν ταῦτα;|| πῶς οὖν οὐκ ἄτοπα διαπραττόμενοι φαίνεσθε»;

4. Ταῦτα καὶ πλείονα τούτων εἰπὼν ὁ Πιόνιος ἐξέστησεν ἅπαντας τῷ λόγῳ καὶ σχεδὸν ἐκπλήκτους πεποίηκεν· ἀλλ' ὁ Πολέμων πολέμιος ὤν, κλείσας καὶ οὕτω τὰ ὦτα, ὡς ἀσπὶς πρὸς ἐπᾴσματα, «Τῶν μακρῶν σου τούτων λόγων ἀφέμενος, ὦ Πιόνιε», φησί, «θῦσον τοῖς θεοῖς, ἵνα μὴ κακῶς ἀποθάνῃς· τίς γὰρ οὐ καλὸν εἶναι λέγοι τὸ ζῆν καὶ τὸ φῶς ὁρᾶν τοῦτο δὴ τὸ γλυκὺ καὶ τὰς ἐπικαθειμένας ἡμῖν τοῦ ἡλίου ἀκτῖνας;» καὶ ὁ ἅγιος· «Καλὰ μὲν καὶ ταῦτα, Πολέμων, κάλλιστα δὲ τὰ μένοντα τῶν παρερχομένων καὶ τῶν φθειρομένων τὰ μὴ φθειρόμενα». ἀμηχανίᾳ γοῦν συσχεθέντος τοῦ Πολέμωνος Ἀλέξανδρός τις, τῶν παρεστώτων εἷς, πονηρὸς | col. 2 ἀνὴρ καὶ περίεργος, «Τί ταῦτα» φησί, «Πιόνιε, τί ταῦτα;» τὰς ἁλύσεις ὑποδεικνύς· «τί σοι ταῦτα βούλεται καὶ πῶς μόνος αὐτὸς περιέθου ταῦτα σαυτῷ τε καὶ τοῖς σὺν σοί»; καὶ ὁ ἅγιος· «Σοφίας ἔργον τοῦτο, πανάθλιε· ἐπεὶ γὰρ πάντας πρὸς τὰς θυσίας αὐθορμήτους ἔρχεσθαι εἶδον, τοὺς δὲ καὶ βιαζομένους, ἵνα μὴ καὶ αὐτὸς δόξω τοῖς πολλοῖς εἷς εἶναι τῶν τοῖς ξοάνοις θυόντων, οὕτω πορευόμενος ἄνετος τὰ δεσμὰ ταῦτα περιτεθῆναι τοῖς ἡμῶν τραχήλοις δέον ἔκρινα, λογιζομένων τῶν ὁρώντων αὐτὰ τῷ μὴ πεισθῆναι θυσίαν τοῖς δαίμοσι προσενεγκεῖν ἡμᾶς, μήτε μὴν συγκαταθέσθαι διαπρά-
f. 204v ξασθαι τοῦτο τούτοις ὑφ' ὑμῶν καθυ||ποβληθῆναι· ἀπρεπὲς γὰρ ἐνομίσαμεν τὸ κἂν ὅλως εἰς νοῦν λαβεῖν τινα βουληθῆναι θυσίας ἡμᾶς τοῖς εἰδώλοις προσοῖσαι».

5. Τούτων ἀκούσας ἐκεῖνος ἀχανὴς εἱστήκει καὶ ἄλαλος. τινὲς οὖν τῶν Ἑλλήνων τῷ Πολέμωνι λέγουσι· «Μὴ συγχώρει τούτοις λαλεῖν, ἵνα μὴ ἐν τῇ συζητήσει τῶν λόγων πολλοὺς ἐπιστρέψωσιν εἰς τὴν πίστιν αὐτῶν». τότε ὁ Πολέμων «Ζῶντας ὑμᾶς» ἔφη, «Πιόνιε, κατακαύσω, εἰ μή γε τοῖς θεοῖς θυσίαν προσοίσετε». καὶ μεταγαγὼν τὸν λόγον πρὸς τὴν Σαβῖναν (ἡ δὲ ἦν Ποτίλλης τινὸς οἰκέτις, ἀνόμου γυναικὸς καὶ τἄλλα δεινῆς) «Σὺ δὲ τίς εἶ καὶ τί σου» φησί «τὸ ὄνομα;» καὶ ἡ ἁγία τὸ κύριον παραιτησαμένη col. 2 «Θεοδότη καλοῦμαι καὶ χριστιανή εἰμι» | καλῶς ἀπεκρίνατο· δεδίδακτο γὰρ οὕτως ἀπολογήσασθαι παρὰ τοῦ Πιονίου, ἵνα μὴ ταύτην εἶναι γνοῦσα τὴν Σαβῖναν ἡ Ποτίλλα διακωλύσῃ τοῦ μαρτυρίου·

Rubro: v. 3 *Ταῦτα*, v. 9 *Καλά*, v. 11 ἀμη|*Χανίᾳ*, v. 15 *Σοφίας*, v. 25 ἀκού|*Σας*, v. 32 *Τὸ κύριον*

3 τούτων *om.* P.-K. 8 ἐπικαθημένας P.-K. 11 γοῦν] οὖν P.-K. 24 προσοίσειν P.-K. 30 Σαβῖνα *cod. constanter.* 32 φασὶ P.-K. ibid. Καὶ ἡ ἁγία· «Τὸ κύριον παραιτησαμένη Θεοδότη καλοῦμαι κτλ. P.-K.

καὶ γὰρ διὰ τὴν εἰς Χριστὸν πίστιν δεσμοῖς καθυποβαλοῦσα τοῖς ὄρεσιν αὐτὴν τὸ πρὶν ὑπερώρισεν, ὕστερον δὲ καὶ τῶν δεσμῶν ἀνῆκε καὶ τῆς δουλείας· ἡ δὲ συνῆν ἀπολυθεῖσα τῷ Πιονίῳ καὶ τὸν λόγον τῆς πίστεως ἐδιδάσκετο.

6. Μεταβὰς οὖν ἀπὸ τῆς εἰς αὐτὴν ἐρωτήσεως, «Σὺ δὲ τίς εἶ» λέγει πρὸς τὸν Ἀσκληπιάδην «καὶ τί σου τὸ ὄνομα»; ὁ δὲ «Καὶ χριστιανός εἰμι» φησί «καὶ Ἀσκληπιάδης καλοῦμαι καὶ τὸν Χριστὸν μόνον εἶναι Θεὸν γινώσκω καὶ βασιλέα». τούτους οὖν οὕτως εἰπόντας εἶχεν ἡ φυλακή· εἶχε δὲ πρὸ αὐτῶν καὶ Λῖνόν τινα τῆς καθο||λικῆς ἐκκλησίας Σμύρνης, καὶ Μακεδονίαν, τῆς κώμης ὡρμημένην f. 205 Καρίνης, καὶ Εὐτυχιανόν, τῆς αἱρέσεως ὄντα τῶν Φρυγῶν. ἐπεὶ δὲ τὰ παρὰ τῶν φυλάκων προσφερόμενα τούτοις εἰς διατροφὴν οἱ παρὰ τὸν Πιόνιον οὐκ ἐλάμβανον, τὴν ἐνδοτέραν καταδικάζονται φυλακήν· οἱ δὲ καὶ τοῦτο Θεοῦ προνοίᾳ γενέσθαι νενομίκασιν, ἵν' ἥσυχον ποιῶνται τὴν προσευχὴν καὶ ἀτάραχον. πολλοὶ οὖν εἰσήρχοντο πρὸς αὐτοὺς καὶ τὸν τῆς ἀληθείας ἐδιδάσκοντο λόγον, καὶ δὴ καὶ ἐθαύμαζον ἐπὶ τοῖς λαλουμένοις παρὰ τοῦ Πιονίου· ἅμα δὲ τῷ τούτους ἐξελθεῖν ἐπέστη τοῖς ἁγίοις ὁ νεωκόρος καὶ Θεόφιλος ὁ ὕπαρχος σὺν αὐτῷ καὶ πλῆθος οὐκ ὀλίγον. φησὶν οὖν πρὸς τοὺς ἁγίους ὁ νεωκόρος· «Ἰδοὺ ὁ προ|εστὼς ὑμῶν Εὐκτήμων καὶ ὁ col. 2 Λέπιδος ἔθυσαν· ἔλθετε τοίνυν καὶ ὑμεῖς καὶ θύσατε καὶ ἀπαλλάγητε τῶν μενουσῶν βασάνων ὑμᾶς». καὶ ὁ Πιόνιος «Τοὺς βληθέντας» φησίν «ἐν τῇ φυλακῇ τοῦ ἀνθυπάτου χωρὶς οὐ δίκαιον ἐξελθεῖν». καὶ ὁ ὕπαρχος «Ὁ ἀνθύπατος ἐκέλευσεν» ἔφη «πρὸς Ἔφεσον ὑμᾶς ἀπαχθῆναι». καὶ ὁ μάρτυς· «Ἐλθέτω δὴ λοιπὸν ὁ πεμφθείς, καὶ τούτῳ ἀκολουθήσομεν».

7. Τότε θυμωθεὶς ὁ ὕπαρχος ἕλκεσθαι τούτους εἰς τὴν ἀγορὰν ἐπὶ τὸν βωμὸν διωρίσατο. καθελκόμενοι οὖν «Χριστιανοί» μέγα ἐβόων «ἐσμὲν καὶ Χριστοῦ δοῦλοι· χριστιανοί ἐσμεν καὶ οὐ θύομεν δαίμοσιν». Εὐκτήμων οὖν καὶ Λέπιδος οἱ εἰδωλολατρήσαντες ἐκεῖσέ που παρόντες «Διὰ τί δὲ» πρὸς τοὺς ἁγίους εἶπον || «οὐ θύετε»; κἀ- f. 205v κεῖνοι «Ὅτι χριστιανοί ἐσμεν» ἀπεκρίναντο. πολλοὺς οὖν κινήσαντες λόγους οἱ ἀσεβεῖς, ἐπεὶ μὴ πείθειν αὐτοὺς οἷοί τε ἦσαν, τῇ φυλακῇ καὶ αὖθις αὐτοὺς παραπέμπουσι· πολλοὶ δὲ τούτους ἐκ τῶν ὄχλων ἐρράπιζον καὶ κακῶς ἐποίουν· εἷς δέ τις τὸν Πιόνιον σφοδρῶς τύψας κατὰ τῆς κεφαλῆς εὐθὺς τὰς χεῖρας παρείθη καὶ ὅλος ἔκλυτος γέγονεν.

Rubro: v. 5 Μεταβὰς, v. 8 Τούτους, v. 12 Τ… …18 Τῷ, v. 22 Τοὺς, v. 25 μάρ|Τυς, v. 30 Καὶ, v. 32 Κινήσαντες

9 Λῖνον τινὰ cod. et P.-K. 25 ὑμᾶς] ὑμ… …χριστιανοί ἐσμεν» P.-K. 36 ὅλως P.-K.

8. *Οὐ πολλαὶ διῆλθον ἡμέραι, καὶ ὁ ἀνθύπατος Κυντιλιανὸς τὴν Σμύρνην κατέλαβε καὶ κελεύσας παραστῆναι τὸν ἅγιον φησὶ πρὸς αὐτόν· «Λέγε μοι σύ, τίς εἶ καὶ ὅθεν καὶ τί σου τὸ ὄνομα καὶ ποῖον τὸ ἐπιτήδευμα»; καὶ ὁ ἅγιος· «Τῆς καθολικῆς εἰμι πρεσβύ-* col. 2 *τερος ἐκκλησίας καὶ χριστιανὸς καὶ Πιό|νιος ὀνομάζομαι». καὶ ὁ ἀνθύπατος· «Θῦσον, Πιόνιε, τῷ Διὶ καὶ ζῆσον καλῶς σὺν ἡμῖν· οὐδὲ γὰρ ἄλλως σοι τὸ εὖ εἶναι γενήσεται»· μὴ ἀνασχόμενος οὖν ὁ μάρτυς μηδὲ τοῖς ὠσὶν αὐτοῖς ἐνωτίσασθαι τὸ τοῦ Διὸς ὄνομα, ἀλλὰ πολλὰ τούτῳ λοιδορησάμενος, εὐθὺς ἀναρτᾶται τῷ ξύλῳ καὶ ξέεται δεινῶς τὰς πλευρὰς ἐπὶ τοσοῦτον, ἄχρις οὗ τὰ ἐντὸς αὐτοῦ διεφάνη. πάλιν οὖν πρὸς αὐτὸν ὁ ἀνθύπατος «Θῦσον» ἔφη, «Πιόνιε, ἵνα μὴ ζῶντά σε τῷ πυρὶ κατακαύσω». σιωπήσαντος οὖν αὐτοῦ καὶ μηδὲν ἀποκριναμένου τὸ σύνολον, ἐξηνέχθη κατ' αὐτοῦ ἡ ἀπόφασις.*

9. *Ἤχθης τοίνυν, ὦ καλὲ Πιόνιε μάρτυς, ἐπὶ τὴν πυράν, ὡς* f. 206 *ἀμνὸς ἄκακος καὶ θρέμμα Χριστοῦ, ἀποδέ||δυσαι τὰ ἱμάτια, τῷ ξύλῳ προσηλοῦσαι καὶ τῇ πυρᾷ παραδίδοσαι, ἐν ᾗ καὶ τὴν ψυχὴν ἀγαλλόμενος εἰς χεῖρας Θεοῦ παρατέθεικας. ἄνδρες δέ σου θεοφιλεῖς τὸ σεμνὸν ἀνελόμενοι σῶμα, ὅλον ἄκαυστον, ὅλον ὡς ἐν δροσώδει διακείμενον πόᾳ καὶ μηδὲ τρίχα τὸ σύνολον ἀποθέμενον, φιλοτίμως κατέθεντο. καὶ νῦν συναγελάζων τοῖς μάρτυσι καὶ Θεῷ τοὺς ἐπινικίους ἀναπέμπων ὕμνους καὶ τὰς εὐχαριστίας, αἴτησαι δοθῆναι βασιλεῖ ἡμῶν τῷ πιστῷ καὶ εἰρηνικῷ μακρότητα ζωῆς ἀπήμονος καὶ καλῶν εὐτυχίαν, ἰσχυρὸν τὸ κράτος τῆς βασιλείας κατὰ πάντων ἐχθρῶν καὶ ἀπρόσμαχον, χειρούμενον ἔθνη, χώρας |* col. 2 *αὐτῶν καὶ πόλεις, ἀλλὰ δὴ καὶ μενόντων αὐτῷ καλῶν τὴν ἀπόλαυσιν χάρισαι, ἥμερον ἀπέργασαι καὶ συμπαθῆ δίκης ἐν ἡμέρᾳ τὸν ἀδέκαστον δικαστήν, λύοντα τούτῳ σφαλμάτων τὰς εὐθύνας, πάντων ἀγαθῶν παρέχοντα τὴν δόσιν καὶ τῆς οὐρανῶν βασιλείας τὴν χάριν· ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

Rubro: v. 1 *Οὐ*, v. 4 *Τῆς*, v. 6 *Ἀνθύπατος*, v. 11 *Οὖν*, v. 15 *Τοίνυν*, v. 23 *Μακρότητα*, v. 28 *Πάντων*

2 *κατέλαβεν cod.* 8 *μὴ δὲ cod.* 9 *πολλὰ om. P.-K.* 12 *ζῶντασε cod.*

Μηνὶ τῷ αὐτῷ ις΄. f. 206v

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΜΕΝΙΓΝΟΥ.

1. Δεκίου τοῦ δυσσεβοῦς ἄρτι τῶν Ῥωμαϊκῶν ἐπειλημμένου σκήπτρων καὶ τῶν διαταγμάτων αὐτοῦ κατὰ πᾶσαν διαδοθέντων τὴν οἰκουμένην καὶ διωγμοῦ κατὰ χριστιανῶν γινομένου μεγάλου καὶ καταδρομῆς ὅτι πολλῆς, οἱ πικροὶ τούτου δορυφόροι καὶ πρόδρομοι τῇ πρὸς Ἑλλήσποντον κειμένῃ πόλει — Πάριον αὐτὴν ὀνομάζουσι — μα|νικῶς ἐπιστάντες πολλοὺς τῶν πιστῶν συλλαμβάνουσι col. 2 *καὶ δεσμοῖς ὑποβαλόντες τῇ φυλακῇ παραπέμπουσιν. ἀλλ' ὁ τῶν φοβουμένων αὐτὸν Θεὸς ὁ μεγάλα ποιῶν καὶ παράδοξα θαύματα λύει μὲν αὐτοὺς τῶν δεσμῶν, ἐξάγει τῆς φυλακῆς καὶ ἐλευθέρους ἀφίησι, τρόπον τινὰ μεγίστης προνοίας οἰκονομῶν. καὶ γὰρ τοῦτο μαθόντες οἱ φύλακες τὰς ἐσθῆτάς τε διέρρηξαν καὶ τὴν ἀγορὰν καταλαβόντες ἐβόων || καὶ πάντας διὰ τὸ πραχθὲν συνῆγον ἐφ'* f. 207 *ἑαυτοὺς καὶ τὸ πρᾶγμα διήγγελλον, ὡς ὁ Θεὸς τῶν Γαλιλαίων νυκτὸς ἐλθὼν πάντας ἔκλεψε τοὺς δι' αὐτὸν καθειργμένους.*

2. Ἄλλων οὖν ἄλλα λεγόντων θάρσους ὑποπλησθεὶς ὁ καλὸς Μένιγνος, ἅτε Θεοῦ τοῦτο γνοὺς εἶναι μεγαλούργημα, τὸν ἀνθύπατον μὴ παρόντα προσδεχόμενος ἦν, ἵν' ἐπ' αὐτῷ παρρησιάσαιτο τὴν εὐσέβειαν. τέως δὲ πάντα τὰ τῆς τέχνης ἔργα (κναφεὺς δὲ ἦν ὁ θαυμάσιος) ῥύπων ἐκκαθαίρων, τάς τε τῶν ἱερέων στολὰς καί τινα ἄλλα διαφόρων περιβλημάτων ἔπιπλα τοῖς δεσπόταις ἐδίδου, σπεύδων ὡς ἐπὶ τὸ προφανές, ὥσπερ δὴ καὶ ἦν, ἀγαθόν. ἀλλὰ τούτων οὕτω γινομένων φωνῆς ἄνωθεν ἐνεχθείσης ἀκούει, «Μένι|γνε» λεγούσης, «ἐλθὲ πρός με σὺν τάχει, καὶ χάριν εὕρῃς ἐνώπιόν col. 2 *μου μεγάλην». ταύτην ἐνωτισάμενος δὶς τὴν φωνὴν ἔμφροντις ἦν, τὸν ἄρχοντα περιμένων. ἐπεὶ οὖν ἧκεν ἐκεῖνος πλήρης ἀπηνείας, πλήρης μανίας, γέμων θυμοῦ καὶ κακίας, καὶ τὰ τῆς βίας γράμματα προετίθετο, θύειν τοῖς εἰδώλοις πάντας καταναγκάζοντα, καὶ μέντοι δὴ καὶ θυσίαι τοῖς δαίμοσιν ὑπὸ πάντων προσήγοντο καὶ τῷ λύθρῳ τούτων ὁ ἀὴρ ἐμολύνετο, μὴ φέρων ὁ Μένιγνος τὰ πραττόμενα,*

Rubro: v. 4 *Δεκίου*, v. 10 *Ἀλλ'*, v. 18 *Ἄλλα*, v. 25 *Τούτων*, v. 27 *ἐνω|τισάμενος*

10 *παραπέμπουσι* 12 *ἐξάγει [δὲ]?* 14 *ἐσθῆτας τὲ* 30 *θυεῖν*

τῷ πνεύματι ζέων καὶ τῷ κυρίῳ δουλεύων, λαβὼν ἐκεῖνα τὰ γράμματα διέρρηξέ τε κατὰ λεπτὸν καὶ ῥίψας εἰς γῆν κατεπάτησεν. οἱ f. 207v γοῦν ὑπηρέται τοῦ σατανᾶ τοῦτον κατασχόντες καὶ καταβα||λόντες εἰς ἔδαφος πολλοῖς ἔκοψαν τοῖς τε ῥαπίσμασι καὶ λακτίσμασιν, εἶτα καὶ πρὸς τὸν δικαστὴν ἕλκοντες ἤγαγον καὶ τὸ πεπραγμένον ἀπήγγειλαν· ὁ δὲ θυμοῦ καὶ μανίας μεστός, προκαθίσας ἐπὶ τοῦ βήματος, «Τί σοι τοῦτο πέπρακται, κακὴ κεφαλή;» λέγει· «πῶς εἰς τὰ τοῦ αὐτοκράτορος ἐνύβρισας δόγματα;» καὶ ὁ ἅγιος «Τῷ αὐτοκράτορι Χριστῷ πεποιθὼς» ἔφη «τὸ παράνομον ἐξεφαύλισα δόγμα». καὶ ὁ τύραννος μηδὲ καθεκτὸς ὅλος ὢν κρεμασθῆναι τοῦτον κελεύει καὶ δεινῶς τοῖς ξυστῆρσι σπαράττεσθαι. καὶ ἦν ξεόμενος οὕτω σφοδρῶς ὁ μάρτυς καθ' ὅλου τοῦ σώματος, ὡς καὶ τὴν τῶν ἐγκάτων, φεῦ, col. 2 οἰκονομίαν δήλην ἅπασι προκεῖσθαι καὶ πικρότατον | θέαμα.

3. Τότε τοίνυν ὑπερθαυμάσας τὴν αὐτοῦ καρτερίαν ὁ τύραννος, «Θῦσον» ἔλεγε, «Μένιγνε, πρὶν ἢ τοῖς αἰκισμοῖς τὴν ψυχὴν ἀπορρήξεις». καὶ ὁ ἅγιος· «Ἐμὲ θῦσαι, τύραννε, νομίζεις ποτέ; ἐμὲ τοῦ ἐμοῦ Χριστοῦ τὸ σύνολον ἀποστῆναι, παράνομε; οὐκ ἴδοις, ἀσεβέστατε, τοῦτό ποτε. ἀκμαιοτέρους ἄλλους ἐφίστα δημίους· τοὺς ξυστῆρας ὄξυνε· τοὺς ὄνυχας πρόσαγε· τὸν θυμὸν παράθηγε· τοὺς ὀδόντας διάπριε· ξέε πλευράς, τέμνε σάρκας, τὰ ὀστᾶ σύντριβε, τὰ νεῦρα διάσπα· μενῶ γὰρ καὶ οὕτως Χριστὸν ὁμολογῶν, Χριστὸν κηρύττων Θεὸν ἀληθῆ καὶ ἀθάνατον, κἂν ἐν αὐτοῖς τὸ ζῆν ἀποθήσοιμι».

4. Μαίνεται τούτοις ὁ παράνομος ἄρχων καὶ αὖθις τὰς πλευρὰς|| f. 208 τοῦ μάρτυρος ξέεσθαι κελεύει σφοδρότερον καὶ τοσοῦτον, ὡς αὐτὰ τὰ τῶν σπλάγχνων κρύφια καὶ ἅπερ ἐπιτέλλων ἥλιος οὐκ εἶδέ ποτε, φανερὰ τοῖς παροῦσι προκεῖσθαι, δακρύων ἄξιον δρᾶμα. κρεμαμένῳ τοίνυν ἔτι τῷ μάρτυρι πάλιν ὁ δεινὸς δικαστής· «Ἄρνησαί σου τὸν Χριστόν, Μένιγνε», λέγει, «καὶ θῦσον τοῖς θεοῖς καὶ ἀπαλλάγηθι τῶν κολάσεων». — «Οὐκ ἀρνήσομαι τὴν ζωὴν τῶν ἁπάντων» ὁ μάρτυς ἀντέφησεν, «οὐ θύσω τοῖς θεοῖς σού ποτε, κἂν εἰ μείζους ἄλλας καὶ δεινοτέρας ἐπαγάγῃς μοι τὰς κολάσεις».—«Καὶ τίς ἐστιν ἡ ζωὴ τῶν ἁπάντων»; ὁ τύραννος ἔφη. καὶ ὁ Μένιγνος· «Χριστὸς ὁ καὶ τὰ σύμπαντα νεύματι συστησάμενος». ὁ δὲ ἀνθύπατος μετὰ πολλῶν col. 2 λόγων προτάσεις | καὶ ἀντιθέσεις ἐπεὶ μὴ δυνατῶς εἶχε πείθειν τὸν μάρτυρα, μάχαιραν ὀξεῖαν ἐνεχθῆναι κελεύει καὶ τμηθῆναι, φεῦ, τοὺς δακτύλους αὐτοῦ τῶν χειρῶν, πρέπον εἶναι λέγων ὁ ἔχθιστος

Rubro: v. 3 Τοῦ, v. 6 θυ|Μοῦ, v. 8 Ἅγιος, v. 16 ἅ|Γιος, v. 24 Ὁ, v. 27 κρεμα|Μένῳ, v. 32 Τίς
2 κάταλεπτὸν 17 ὤξυνε 34 πόλλῶν] πολλὰς?

τοὺς τὰ βασιλικὰ διατάγματα διαρρήξαντας ἐκκοπῆναι δακτύλους. ἐκτμηθέντων οὖν αὐτῶν — τίς σου, Χριστέ μου, μὴ θαυμάσει τὴν ὑπεράπειρον δύναμιν;—γάλα διέρρευσεν ἐξ αὐτῶν ἀντὶ αἵματος, ὡς ἐκπλαγῆναι πάντας τοὺς παρεστῶτας. ἔνθεν τοι καὶ πρὸς τὸν μισόχριστον ὁ φιλόχριστος «Γνῶθι» λέγει, «βέβηλε, τὴν δύναμιν τοῦ παρ' ἐμοῦ κηρυττομένου Χριστοῦ καὶ ἐπίστρεφε εἰς τὴν ἐπίγνωσιν αὐτοῦ καὶ σώζου· οὐδέν σε γὰρ οἱ δαίμονες, οὓς τιμᾷς, || ὠφελή- *f. 208v* σουσιν, ἀλλὰ καὶ ταῖς ἀθανάτοις μᾶλλον κολάσεσι παραδώσουσιν».

ε̄. Θυμωθεὶς οὖν ἐπὶ τούτοις ὁ ἀσεβὴς καὶ πάλιν ξέεσθαι τοῦτον ἐκέλευσεν· εἶτα κατενεχθέντα τοῦ ξύλου τῇ φρουρᾷ παρεπέμψατο. τῇ δὲ ἐπαύριον, ἥτις ἦν ἡμέρα παρασκευή, ʹμηνὸς Μαρτίου ἓξ καὶ δεκάτη, προκαθίσας ὁ τύραννος εἰς τόπον, ὃς Τειχίον ἐλέγετο, παρίστησιν αὖθις τὸν μάρτυρα καί φησι πρὸς αὐτόν· «Κἂν νῦν πείθη θῦσαι, Μένιγνε, τοῖς θεοῖς καὶ τυχεῖν σωτηρίας· ἢ οὐχ ὁρᾷς, ὅτι σου καὶ πλευραὶ γεγύμνωνται τῶν σαρκῶν καὶ χεῖρες δακτύλων ἐστέρηνται». καὶ ὁ ἅγιος· «Σύ, πανάθλιε, θύειν μαθὼν τοῖς δαίμοσι θῦσον, ἐγὼ δὲ οὐκ ἄν ποτε τοῦτο ποιήσαιμι, μήτι γε τὰς | πλευρὰς *col. 2* εἰ καὶ ἔτι γυμνώσεις τῶν ὑπολειφθεισῶν σαρκῶν καὶ τὰς χεῖρας εἰς ἅπαν ἐκκόψεις, ἀλλ' εἰ καὶ τοὺς ὀφθαλμοὺς αὐτοὺς ἐξορύξεις καὶ τὴν τελευταίαν ἀπόφασιν ἐξενέγκῃς». καὶ ὁ ἀνθύπατος· «Ἰδοὺ σοι τριῶν δίδωμι διάσκεψιν ἡμερῶν· σκέψαι τοίνυν καλῶς, ἵνα μὴ κακῶς ἀποθάνῃς». καὶ ὁ ἅγιος «Ἐσκεψάμην» ἔφη, «καὶ ἰδοὺ παρῆλθον αἱ τρεῖς ἡμέραι. ἐσκεψάμην δὲ μὴ ἀρνήσασθαί μού ποτε τὸν Χριστόν, μὴ θῦσαι τοῖς ἀψύχοις εἰδώλοις· αὐτὸς γὰρ οὗτος ἐν τοῖς Εὐαγγελίοις φησί· πᾶς ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ αὐτὸν ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς». καὶ [ὁ] τύραννος· «Λοιπόν, ὦ ταλαίπωρε, ὁ Θεός σου πατέρα ἔχει;»—«Ναί», εἶπεν || ὁ ἅγιος, «οὐ κατὰ τὴν ἀνθρω- *f. 209* πίνην ἀκολουθίαν, ἀλλὰ κατὰ τὴν θεϊκὴν καὶ ἀνώλεθρον φύσιν. διὰ τοῦ υἱοῦ γὰρ ὁ Θεὸς καὶ πατήρ, τοῦ λόγου αὐτοῦ φημι, τὴν σύμπασαν κτίσιν ἐδημιούργησε καὶ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παρήγαγε καὶ αὐτὸν τοῦτον ἑκόντα πρὸς ἡμᾶς ἐξαπέστειλεν, ἵν' ἀποσπάσοι με τῆς πολυθέου πλάνης, ἐπίγνωσιν δὲ χαρίσοιτο παντὶ τῷ τῶν ἀνθρώπων γένει, κἂν ὑμεῖς, μὴ συνιέναι θελήσαντες, τῇ πλάνῃ τῶν εἰδώλων κατεδουλώθητε. καὶ τί χρὴ ταῦτα πρὸς ἀσύνετον λέγειν ψυχήν; οὐκ ἀποστήσομαι τοῦ Χριστοῦ μου, μὴ γένοιτο. οὐ θύσω ξοάνοις, οὐ προδώσω μου τὴν εὐγένειαν».

Rubro: v. 9 Ἐπὶ, v. 11 Ἥτις, v. 11 Καὶ, v. 20 Ἀνθύπατος, v. 22 Ἐσκεψάμην
11—12 ἑξ|καιδεκάτη 27 ὁ inserui
25—27 πᾶς ὅστις — οὐρανοῖς: cf. Matth. 10, 32.

6. Τότε ὁ ἀνθύπατος ἀπεφήνατο κατ' αὐτοῦ, «Μένιγνον» εἰπών, (col. 2) «τὸν ἀπειθῆ καὶ σκληρόν, ὃν | καὶ θεοὶ καὶ ἄνθρωποι μεμισήκασι, ξίφει τὴν κεφαλὴν ἀποτμηθῆναι κελεύω». ὁ δὲ τὴν ἀπόφασιν ταύτην ἐνωτισάμενος, χαίρων εὔχεται, «Δόξα σοι» λέγων, «Χριστέ, τῷ καλέσαντί με πρὸς τὸ τοῦ μαρτυρίου στάδιον καὶ τελειώσαντι τὴν ἐπιθυμίαν μου, δόξα σοι τῷ χρήζοντι τῆς τῶν ἀνθρώπων ἀληθοῦς σωτηρίας». καὶ ταῦτα μὲν οὗτος. ἡ δέ γε τοῦ μάρτυρος σύζυγος ὡς ἤκουσε περὶ τούτου καὶ ὅτι μέλλοι πρὸς Χριστὸν ἐκδημεῖν, τί μὲν οὐκ εἶπε θρηνοῦσα, τί δὲ οὐκ ἔπραξε τοῦτον καταλαβοῦσα; τρίχας ἔτιλλε, γοερὰς ἠφίει φωνάς, τὸν εὐεργέτην ἀνακαλοῦσα τὸν ἄνδρα, τὸ φῶς τῶν αὐτῆς ὀφθαλμῶν. ἐκεῖνος δὲ παρὰ τῶν στρα- (f. 209v) τιωτῶν ἀπαγόμενος πρὸς τὸν τόπον τῆς || τελειώσεως ἀπερίσπαστον ἐποιεῖτο καὶ ἀτάραχον τὴν πορείαν. ὡς δὲ τοῦτον κατέλαβε, λόγον ἀπέτεινε διδασκαλίας τῶν συνειλεγμένων τῷ πλήθει, ⟨λόγον διδασκαλίας⟩ ἀφιστῶντα μὲν αὐτοὺς τῆς τῶν εἰδώλων πλάνης, μεθιστῶντα δὲ πρὸς τὴν θεοσεβείας ἐπίγνωσιν καὶ τοὺς μὲν θεοὺς τῶν Ἑλλήνων δαίμονας ἀπατεῶνας εἶναι παριστῶντα καὶ ψυχοφθόρους, Θεὸν δὲ τὸν Χριστὸν ἀληθῆ διδάσκοντα καὶ σωτῆρα ψυχῶν. ταῦτα καὶ ἕτερα πλείονα τούτων εἰπὼν τοῖς ὁμοπίστοις μὲν καὶ Θεῷ φίλοις τὴν γυναῖκα παρέθετο, τὴν ψυχὴν δὲ τῷ Χριστῷ τῇ τοῦ ξίφους πληγῇ, περιστερᾶς ἐν εἴδει τοῖς ἀξίοις ὀφθεῖσαν, τέμνουσάν τε (col. 2) φαιδρῶς | τὸν ἀέρα καὶ πρὸς τὸν ποθούμενον διαβαίνουσαν· οἵτινες δὴ καὶ σὺν βοῇ τὸ θαῦμα διαπρυσίως ἐκήρυττον, ὡς εἰς ἀκοὰς αὐτὸ πεσεῖν τοῦ τυράννου καὶ φθόνον ἀνάψαι τούτῳ καὶ τὸ λείψανον αὐτοῦ ἄταφον μεῖναι παρακελεύσασθαι, φυλάκων ἐπιστάντων αὐτῷ· οἵτινες ἑσπέρας πυρὰν μεγάλην ἀνάψαντες ἐφρούρουν παρακαθήμενοι.

7. Τινὲς δὲ τῶν πιστῶν τὸν τόπον καταλαβόντες μετά γε τῆς τοῦ μάρτυρος γυναικός, τοῦ Θεοῦ ἀορασίᾳ πατάξαντος τοὺς φυλάσσοντας, αἴρουσί τε τὸ λείψανον καὶ πρὸς τὸν ὑποδειχθέντα τούτοις κομίζουσι τόπον. ἐν ᾧ καὶ τὸν κόπον διαναπαύσαντες ὕπνου μετεῖ- (f. 210) χον. φαίνεται γοῦν ἑνὶ τούτων ὁ μάρτυς, τὴν κεφαλὴν || διακελευόμενος αὐτοῦ τὸ τάχος δραμόντι λαβεῖν, ὑπὸ τὴν ἐκεῖσε πέτραν κειμένην. ἄπεισιν οὖν ἐκεῖνος, τοῖς ἀδελφοῖς πρότερον τὸ ὅραμα διαγγείλας. καὶ τοῦ ἀέρος ζοφώδους ὄντος καὶ ἀσελήνου διαυγὴς ἀστὴρ τῶν οὐρανῶν κατιὼν ἐπέστησε τὸν ἄνδρα τῇ κεφαλῇ, ἐν αὐτῇ που φαιδρὸς καταχθείς· τούτῳ γοῦν ἐπιστὰς ἐκεῖνος τῷ φωτὶ τὴν πάντιμον κεφαλὴν ἐκείνην λαμβάνει καὶ κομίζει τοῖς ἀδελφοῖς·

Rubro: v. 1 *Τότε*, v. 3 *Ὁ δέ*, v. 7 *Ἡ δέ*, v. 27 τι|*Νές*, v. 32 φαί|*Νεται*
14—15 λόγον διδασκαλίας *delenda puto* 32 γ' οὖν

τῶν δὲ χωρεῖν βουλομένων ἐπὶ τὰ πρόσω, φωνὴ τοῦ μαρτυρικοῦ σώματος ἐξακούεται, «Αὕτη μου» λέγουσα τρανῶς «ἡ κατάπαυσις· ὧδε κατοικήσω, ὅτι ᾑρετισάμην αὐτήν».

8. Ἐκεῖσε γοῦν, ὦ παγγέραστε μάρτυς, ὀρύξαντες οἱ φιλόθεοι φιλοτίμως σου τὸ σῶμα κατέθεντο. καὶ νῦν ἀγγέλοις συνευφραινόμενος, δικαίοις συναγαλλόμενος καὶ μάρτυσι συγχορεύων αἴτησαι τῷ φιλοχρίστῳ καὶ φιλομάρτυρι ἡμῶν βασιλεῖ μακροῦ βίου εὐμάρειαν, ἰσχύος Θεοῦ τὴν ἀντίληψιν, χωρῶν ἐθνῶν τὴν κατάλυσιν, ἀΰλου δόξης τὴν μέθεξιν, ἡμέρας ἀνεσπέρου τὴν ἔλλαμψιν, λειμώνων θείων [τὴν] ἀπόλαυσιν, πάντων τῶν καλῶν τὴν μετάληψιν καὶ βασιλείας οὐρανῶν τὴν ἐπίδοσιν· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ ιζ΄. f. 210v

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΑΛΕΞΙΟΥ ΤΟΥ ΑΝΘΡΩΠΟΥ ΤΟΥ ΘΕΟΥ.

1. Ἡ περιώνυμος καὶ πρεσβυτέρα Ῥώμη πολλοὺς μὲν καὶ ἄλλους ἐπιφανεῖς ἔσχεν ἄνδρας καὶ περιδόξους κατὰ διαφόρους χρόνους, ἕνα δὲ καὶ τοῦτον, οὗπερ ὁ λόγος μνήμην ποιήσασθαι βούλεται, καθ' οὓς ἐβασίλευον Ὁνώριος καὶ Ἀρκάδιος. καὶ τίς οὗτος; Εὐφημιανὸς ὁ καλός, ὃς οὐκ ἐκ μόνου τοῦ εἶναι καλὸς περιώνυμος, ἀλλὰ δὴ καὶ μᾶλλον ἀπὸ τοῦ παιδός ἐστί τε καὶ γνω|ρίζεται· καὶ ὅπως, ὁ λόγος δηλώσει. col. 2

2. Ὁ σοφὸς οὗτος Εὐφημιανὸς καὶ γυναικὶ συνῆπτο σεμνῇ τὸν τρόπον καὶ τὸ ἦθος χρηστῇ, πιστῇ καὶ φοβουμένῃ τὸν κύριον. Ἀγλαῒς ἐκαλεῖτο. ἦν δὲ καὶ πλούτῳ πολὺς καὶ βίῳ λαμπρός. αὕτη γοῦν ἡ καλὴ ξυνωρίς, ἐν εὐθηνίᾳ τῶν ἄλλων οὖσα, παιδὸς ἐχρημάτιξεν ἄμοιρος· δέεται γοῦν τοῦ Θεοῦ τῶν γυναικῶν ἡ καλλίστη κοιλίας αὐτῇ δοθῆναι καρπόν, καὶ μέντοι δὴ καὶ ἔλαβε, καθ' ὃν τρόπον καὶ ἡ Ἄν||να τὸν Σαμουήλ, καὶ ἔτεκεν υἱὸν καὶ ἐκάλεσε τὸ f. 211

Rubro: v. 4 **Γοῦν**, v. 7 **Μακροῦ**, v. 10 **Πάντων**, v. 17 **Ἡ**, v. 24 **Οὗτως**, v. 27 **Γοὺν**

10 τὴν *inserui* 18 καταδιαφόρους 22 ἔστι τὲ

ὄνομα αὐτοῦ Ἀλέξιον· θέλημα γὰρ τῶν φοβουμένων αὐτὸν ποιεῖ κύριος καὶ τῆς δεήσεως αὐτῶν εἰσακούει καὶ σώζει αὐτούς.

3. Ἦν οὖν ὁ παῖς τοῖς τῶν γεννητόρων κόλποις ἐμφιλοχωρῶν καὶ ἥδιστον αὐτοῖς καὶ τερπνὸν γινόμενος θέαμα καὶ πλῆρες, ὡς εἰπεῖν, ἀνεκφράστου χαρᾶς. καιροῦ δὲ καλέσαντος εἰς γραμμάτων παίδευσιν παραδίδοται καὶ γίνεται δεξιὸς πρὸς τὴν τούτων ἐκπόνησιν οὕτως, ὡς ἐν ὀλίγῳ πᾶσαν αὐτὴν διελθεῖν, καὶ μέντοι δὴ καὶ ῥητορικῆς εἰς ἄκρον ἱκέσθαι καὶ τὴν ἐκκλησιαστικὴν πᾶσαν ἐφ᾽ ἑαυτῷ συναγαγεῖν ἱστορίαν. ἄρτι δὲ μέτρον εἰς ἡλικίας φθάσαντι [col. 2] καὶ γυναῖκα τῶν εὐγενείᾳ περιβλέ|πτων καὶ πλούτῳ θερμῶς οἱ τεκόντες συνάπτουσι, λείψανον τῷ βίῳ καταλιπε[ῖν ἐ]θέλοντες· τοῦτο γὰρ [αὐτοῖς?] ὁ σκοπός, εἰ καὶ π[ρὸς τ]ὴν ὑψηλοτέραν διαμονὴν αὐτὸν ὁ Θεὸς συνετήρησε. τῶν γάμων οὖν τελεσθέντων καὶ τοῦ νυμφίου προσιόντος ὡς ἔθος ἐν τῇ παστάδι τῇ νύμφῃ, ἐπεὶ καὶ χώρα γέγονεν ἀδείας, μηδενὸς συνόντος αὐτοῖς, ὁ Ἀλέξιος τὸν χρυσοῦν αὐτοῦ δακτύλιον καί τι ἕτερον μνήμης ἐμπύρευμα τῇ νύμφῃ γνησιώτατα δίδωσι, φυλάττεσθαι παρὰ ταύτης εἰπὼν ἄχρις ἂν ἡ τούτων ζήτησις γένοιτο, καὶ ἅμα τὸν θάλαμον ἐκβὰς τὸν κοιτῶνα τούτου κατέλαβε καί τινα τῶν προσόντων λαβών, τὴν [f. 211v] Ῥώμην τὸ τάχος || καταλιπὼν καὶ πρὸς τὸ Καπετώλιον πορευθείς, πλοίου τε ἐπιβάς, ὡς ἂν εἴποι τις, εἰς τοῦτο παρεσ[κ]ευασμένου, τὴν τῆς Σ[υρ]ίας ἐκπλεύσας κατέλαβε Λαοδίκειαν.

4. Ἐκ ταύτης δὲ συνοδεύσας τισὶν ὁδοιπόροις τὴν τῆς Μεσοποταμίας Ἔδεσαν βλέπει, ἐν ᾗ τὸ ἀχειροποίητον ἐκτύπωμα τῆς δεσποτικῆς τυγχάνει μορφῆς, ὅπερ Αὐγάρῳ πέπομφεν αὐτὸς ἡμῶν ὁ δεσπότης Χριστός· ὅπου δὴ καὶ πᾶν εἴ τι τῶν κοσμικῶν ὁ καλὸς Ἀλέξιος ἐπεφέρετο τοῖς πτωχοῖς παρασχών, αὐτά τε ἅπερ ἐνεδέδυτο μαλακὰ ἱμάτια διαδοὺς καὶ τρίχινα ἐπενδυσάμενος τῷ τῆς δεσποίνης ἡμῶν καὶ Θεοτόκου ναῷ προθύμως ἐνέμενε, τῷ νάρθηκι | [col. 2] τούτου προσκαρτερῶν καὶ τὰς εὐχὰς ἐκεῖσε νύκτωρ Θεῷ καὶ μεθ᾽ ἡμέραν ἀποδιδούς.

5. Τῶν γοῦν γεννητόρων αὐτοῦ τὴν ἀθρόαν ἀποδυρομένων τοῦ φιλτάτου στέρησιν, πολλήν τε περὶ τούτου ποιουμένων τὴν ζήτησιν (ἐπάτασσε γὰρ αὐτῶν τὴν καρδίαν ἡ λύπη καὶ μηδὲ ζῆν ὅλως ἠβούλοντο), ναὶ δὴ καὶ τοῦ κηδεστοῦ καὶ τῆς νύμφης καὶ τῶν προσηκόντων αὐτοῖς τοῖς ὁμοίοις ὑποβεβλημένων κακοῖς, πολλοὶ πρὸς

Rubro: v. 5 Δέ, v. 9 Ἄρτι, v. 13 Γάμων, v. 32 Γεννητόρων

11—12 et 21—22 *litterae uncis inclusae in codice evanuerunt.* 21 πλοῖόν τὲ 27 αὐτά τὲ 28 τρύχινα 33 τοῦ φιλτάτου [τέκνου]? ibid. πολλῆς τὲ 34 μὴ δὲ

ἀναζήτησιν τοῦ Ἀλεξίου ἐξῄεσαν, ὁδοὺς ἀνερευνῶντες, πόλεις, χώρας, καταγώγια μοναστῶν, καταγώγια κοσμικῶν, ὄρη, κοιλάδας, βουνοὺς καὶ νάπας. ὡς οὖν οὐδαμοῦ ὁ Ἀλέξιος, οὐδαμοῦ ὁ ζητούμενος, καὶ τὴν Ἔδεσαν οἱ ζητοῦντες || καταλαμβάνουσι καὶ μέντοι f. 212 καὶ παρὰ τῷ ναῷ τῆς Θεομήτορος ἐντυγχάνουσι τούτῳ, γνωρίσαντι μὴ γνωρίσαντες, καί τινας ὀβολοὺς ὡς προσαίτῃ παρέχουσιν, ἐφ' οἷς ἐκεῖνος εὐχαριστῶν Θεῷ διετέλει τῆς μεγάλης ταύτης χάριν οἰκονομίας, ὅτι γε καὶ παρὰ τῶν ἰδίων δούλων ἐλεημοσύνην ἔλαβεν. ἀλλ' οἱ μὲν κενοὶ πρὸς τὴν Ῥώμην ἀπέπλευσαν καὶ τοῖς γεννήτορσι τούτου μηδ' εἰς ἀκοὴν λαβεῖν τι περὶ τοῦ παιδὸς ἀπήγγειλαν· ἐκεῖνοι δὲ τῇ ἀμέτρῳ λύπῃ βεβαρημένοι τυγχάνοντες καὶ τοῖς λόγοις τούτοις ἔτι σφοδρότερον κινηθέντες πρὸς θρήνους καὶ δάκρυα, τὸν φίλτατον μὲν ἡ μήτηρ, ὁ πατὴρ δὲ τὸν μονογενῆ οἰκτρῶς ἀνεκαλοῦντο καὶ γοερῶς, δεήσεις τε συχνὰς ἀνέφερον | εἰς Θεὸν ὀφθῆναι col. 2 τούτοις τὸν ποθεινὸν ἢ καὶ γνωσθῆναι, ὅποι ποτ' ἂν γῆς ἐστι καὶ οἵαν ἐκτήσατο τὴν διαγωγήν.

6. Ἤκουσε τῆς αὐτῶν δεήσεως κύριος ἐκ ναοῦ ἁγίου αὐτοῦ καὶ δείκνυσι τούτοις τὸν ποθητόν, καὶ ὅπως ἐνδόξως καὶ μεθ' οἵας τῆς χάριτος, προϊὼν ὁ λόγος δηλώσει. χρόνων ἑπτακαίδεκα παρεληλυθότων, ἐν οἷς τῷ νάρθηκι τοῦ ναοῦ τῆς Θεομήτορος ἐγκαρτερῶν ὁ Ἀλέξιος εἰς ὕψος ἀρετῆς ἀνήχθη καὶ Θεῷ εὐάρεστος γέγονεν, ὄναρ ἐφίσταται τῷ παραμένοντι τῷ ναῷ ἡ πανύμνητος Παρθένος καὶ Θεοτόκος, «Εἰσάγαγε» λέγουσα «τὸν ἄνθρωπον τοῦ Θεοῦ πρὸς τὰ ἐντὸς τοῦ ναοῦ· καὶ γὰρ ἄξιος ὁ τοιοῦτος καὶ τῆς οὐρανῶν ἐστι βασιλείας, ὅτιπερ ὡς ὀσμὴ μύρων ἡ προσευχὴ αὐτοῦ πρὸς || Θεὸν f. 212v ἀνέβη καὶ ἐν αὐτῷ τὸ πνεῦμα τὸ ἅγιον ἀναπέπαυται». τοῦ δὲ μετὰ τοὺς ὕμνους τὸν ἄνθρωπον ἐπιζητοῦντος τοῦ Θεοῦ καὶ ὅστις εἴη μηδαμῶς γινώσκοντος καὶ θερμῶς δεομένου τῆς Θεομήτορος, αὖθις ἡ παντάνασσα τῷ ἀνθρώπῳ φαίνεται, «Ὁ πτωχὸς γάρ ἐστι» λέγουσα, «ὁ πτωχὸς οὗτος ὁ προσκαθήμενος τῇ θύρᾳ τοῦ ναοῦ, αὐτὸς οὗτος ὁ ἄνθρωπός ἐστι τοῦ Θεοῦ». τότε τῆς χειρὸς αὐτοῦ λαβόμενος ἐκεῖνος ἔνδον εἰσήγαγε τοῦ ναοῦ.

7. Γίνεται τοῦτο διάδηλον, καὶ τὴν ἀνθρωπίνην φεύγων ὁ μέγας δόξαν ἀφίσταται λάθρα τῆς πόλεως καὶ τὴν τῆς Συρίας Λαοδίκειαν βλέπει, κἀκεῖσε πλοίου τὸ τάχος ἐπιβὰς ἀντὶ τοῦ εἰς Ταρσὸν τῆς Κιλικίας ἐκπλεῦσαι (πρὸς ταύτην γὰρ ὁ ἔκπλους ἐγί|νετο) τὴν col. 2 Ῥώμην ἀνέμων ἀντιπνοίαις νεύμασι θείοις καταλαμβάνει· καὶ

Rubro: v. 3 Ὡς, v. 17 Τῆς, v. 19 Ἑπτακαίδεκα, v. 27 Ὕμνους, v. 31 Χειρὸς
3—4 ὁ ζητούμενος [εὑρίσκετο]? 10 μηδ' εἰς — λαβεῖν τί 14 δεήσεις τὲ
15 ὁποιπότὰν γ(ῆ)ς 24 οὐρανῶν ἐστὶ 31 ἄνος ἐξὶ

πρῶτα μὲν ἠχθέσθη τῷ πεπραγμένῳ, μὴ βουλόμενος τοῦτο γενέσθαι, μηδ' εἰς νοῦν αὐτῷ ἀναβῆναι. εἶτα «Ζῇ κύριος» εἶπεν, «οὐκ ἀποστήσομαι τῆς πατρικῆς ἑστίας, ἀλλ' ἐν αὐτῇ βιώσω μὴ γινωσκόμενος ἄχρις οὗ τὸ τέλος με καταλάβῃ τοῦ βίου».

8. Οὕτως εἰπὼν καὶ δὴ καὶ πρὸς αὐτὴν ἀπιὼν συναντᾷ τῷ πατρὶ μετὰ τῆς προσηκούσης δορυφορίας ἄρτι τῶν βασιλείων ἐπανιόντι καί φησι πρὸς αὐτόν· «Κυρίου δοῦλε καὶ ἄνθρωπε τοῦ Θεοῦ, ποίησον δὴ μετὰ τοῦ πένητος ἔλεος καὶ πρὸς τὸν σὸν οἶκον εἰσάγαγέ με, ξένον ὄντα καὶ ἄπολιν, καὶ τῶν τῆς σῆς τραπέζης μοι μεταδίδου ψιχίων, ἵν' εὐλογήσαι σου τοὺς χρόνους Θεὸς καὶ τὴν f. 213 βασι||λείαν σοι δώῃ τῶν οὐρανῶν». ἤκουσεν ὁ καλὸς ἐκεῖνος ἀνὴρ καὶ θερμὸς περὶ τὴν ὑποδοχὴν τοῦ ξένου γίνεται, τὸν φίλτατον λαβὼν ἐπὶ νοῦν, ἑτοιμάζει τε τούτῳ διαγωγὴν ἐν ᾧπερ εἰσιὼν τόπῳ καὶ ἐξιὼν ἔμελλε τοῦτον ὁρᾶν, ἑνὶ τῶν οἰκετῶν παραγγείλας πλείστην τοῦ ξένου ποιεῖσθαι τὴν ἐπιμέλειαν, ναὶ δὴ καὶ ἐλευθερίαν αὐτῷ τῆς δουλείας μισθὸν ὑποσχόμενος. καὶ ταῦτα μὲν ὁ φιλόξενος οὗτος, ἐφ' ἑκάστης χορηγῶν τῷ πένητι τὰ πρὸς χρείαν ἀνελλιπῶς. ἡ δέ γε φιλόπτωχος μήτηρ, τὸν φίλτατον ἐπὶ νοῦν ἅμα τῇ νύμφῃ λαμβάνουσα, θρήνους ὁσημέραι θρήνοις συνῆπτε καὶ κωκυτὸν ἔστιν ὅτε διήγειρε μέγαν καὶ τὸν υἱὸν ἀνεκαλεῖτο καὶ ὄψιν ἐκείνου col. 2 κατιδεῖν καὶ θανεῖν ἐπε|θύμει.

9. Χρόνοι παρῆλθον δέκα πρὸς τοῖς ἑπτά, ἐν οἷς ἦν ὁ ἀθλητὴς (οὕτω γὰρ αὐτὸν χρὴ καλεῖν) τὴν κάμινον φέρων τῶν πειρασμῶν καὶ τὴν ἐντεῦθεν φλόγα σοφῶς ὁ σοφὸς ὑπομένων. ὁ τοίνυν ἔχθιστος δαίμων καὶ τοῦ ἀνθρωπίνου γένους πολέμιος, τὸν γενναῖον ἄτρεπτον ὁρῶν καὶ ἀσάλευτον μένοντα ταῖς δειναῖς αὐτοῦ καὶ πανούργοις ἐπεμβολαῖς, τί ποιεῖ; τῶν οἰκετῶν ἐξεγείρει τοὺς ἄφρονας· καὶ τούτων οἱ μὲν ἐρράπιζον τὸν δεσπότην, οἱ δὲ τῆς κεφαλῆς αὐτοῦ κατέχεον ὕδωρ, δι' οὗ τὰ τῆς τραπέζης ἐξεκάθαιρον σκεύη· ἔστιν ὅτε καὶ ὕβρεσι τοῦτον ἔπλυνον, οἷς ὁ τοῦ Θεοῦ ἄνθρωπος μάλα συνετῶς καὶ γενναίως ἐνεκαρτέρει, ἐπιβουλὰς εἶναι ταῦτα|| f. 213v γνοὺς καὶ τρόπους τοῦ δαίμονος.

10. Χρόνοις οὖν ἐν ἑπτὰ πρὸς τοῖς δέκα τούτοις ἐνταλαιπωρῶν κατὰ τὴν πατρικὴν ὁ γεννάδας οἰκίαν, ἐπεὶ τοῦ σώματος ἐκδημεῖν ἔμελλε καὶ πρὸς τὸν ποθούμενον ἀναβαίνειν Χριστόν, φησὶ πρὸς τὸν ὑπηρετούμενον αὐτῷ· «Φέρε, τέκνον, χάρτην καὶ μέλαν, ἵνα διάθωμαι». τὸ τάχος οὖν ἐκείνου διακομισαμένου ταῦτα, γράφει ὁ

Rubro: v. 11 Ἤκουσεν, v. 18 Φιλόπτωχος, v. 22 παρῆλ|θον, v. 24 ἔ|χθιστος, v. 33 Ἐν

2 μήδ' εἴς 7 καὶ φησὶ 13 ἑτοιμάζει τὲ 29 ἐξεκάθαρον

πάντιμος εἰς ἀναγνωρισμὸν πάντα τὰ ἐκ παιδὸς αὐτοῦ καὶ μέχρι τῆς τῶν γάμων φυγῆς, οἷά τε καὶ ὅσα τῇ νύμφῃ λελάληκε μυστικῶς καὶ ὅσα παρέσχετο ταύτῃ μνήμης ἕνεκα τούτου. μιᾷ γοῦν τῶν ἡμερῶν (ἡ κυρία δὲ ἦν τῆς Χριστοῦ τοῦ σωτῆρος ἡμῶν ἀναστάσεως) μετὰ τὴν ἱερὰν καὶ θείαν μυσταγωγίαν, τοῦ εὐσεβοῦς | ἐπι- col. 2 σκόπου παρόντος Μαρκιανοῦ καὶ τῶν βασιλευόντων, φωνή τις ἄνωθεν κατὰ τὸ θυσιαστήριον ἐξηκούσθη, «Δεῦτε» λέγουσα «πρός με πάντες οἱ κοπιῶντες ὁμοῦ καὶ πεφορτισμένοι, καὶ ἐγὼ ἀναπαύσω ὑμᾶς». ἔνθεν τοι καὶ λαμβάνει φόβος ἅπαντας καὶ τρόμος πολύς, ὡς πεσόντας ἐπὶ πρόσωπον κράζειν τὸ «Κύριε ἐλέησον». γίνεται οὖν καὶ ἑτέρα φωνὴ ἐπὶ τὸ αὐτό, «Ζητήσατε» φάσκουσα «τὸν ἄνθρωπον τοῦ Θεοῦ· ὁ δέ ἐστι παρὰ τῷ οἴκῳ Εὐφημιανοῦ». ταύτης πάλιν ἀκούσαντες τῆς φωνῆς ἐξεπλάγησαν καὶ πρὸς τὸν Εὐφημιανὸν «Ἵνα τί» διεγκαλοῦντες ἔλεγον «ἀπέκρυψας ἡμῖν τὸν ἄνθρωπον τοῦ Θεοῦ καὶ οὐκ ἐφανέρωσας;» καὶ ὃς ἔκπληκτος ὅλος γενόμενος «Ζῇ κύριος» ἔφησεν «ὁ Θεός μου, πάντῃ τὸν λόγον ἀγνοῶ || τοῦτον». ὅμως τὸ τάχος τὸν τοῦ οἴκου μετακαλεσάμενος ἐπιμελη- f. 214 τήν· «Ἆρά γε, ὦ παῖ, σύνοιδάς τινα τῶν τῆς οἰκίας, βίον τρέχοντα καλὸν καί τινος ἠξιωμένον χάριτος;» καὶ ὃς «Οὐχί, δέσποτα», λέγει, «οὐδαμῶς εἰς γνῶσιν ἧκέ μοι τοιοῦτος ἐκ τούτων ποτέ».

11. Τότε δὴ τότε, μηδὲ τὸ παράπαν τὸν τοῦ παιδὸς λόγον παραδεξάμενοι (καὶ γὰρ ἔπειθεν αὐτοὺς ἡ φωνὴ μὴ ἀληθεύειν αὐτόν), σύνδρομοι τὸν οἶκον Εὐφημιανοῦ κατειλήφασιν. ὁ γοῦν ὑπηρετούμενος τῷ Ἀλεξίῳ παῖς σύντρομος τῷ Εὐφημιανῷ προσιὼν «Μή τί γε, κύριέ μου», φησίν, «οὗτός ἐστιν ὁ ζητούμενος, οὗτος ὁ ἄνθρωπος τοῦ Θεοῦ, ᾧ ἐξυπηρετεῖν προστέταγμαι; μέγιστα γὰρ εἶδον αὐτὸν ἐγὼ κατορθοῦντα καλά». — «Καὶ τί | ταῦτα;» φησὶν ὁ col. 2 Εὐφημιανός. καὶ ὁ παῖς· «Ἑκάστης κυριακῆς ἑώρων» ἔφη «τῶν θείων αὐτὸν μυστηρίων μεταλαμβάνοντα, δύο τε οὐγκιῶν ἄρτου καὶ τοσούτου ὕδατος καὶ οὐδενὸς ἑτέρου διὰ πάσης τῆς ἑβδομάδος· ἀλλὰ καὶ τὴν ἅπασαν σχεδὸν νύκτα ἄυπνον διατελοῦντα καὶ προσευχόμενον. καὶ τῶν παίδων δέ τινας θλίβοντας αὐτὸν ἔβλεπον ποτὲ μὲν πυγμαῖς, ποτὲ δὲ ὕβρεσι καὶ ἄλλοις τισὶ λυπηροῖς· τὸν δὲ μηδαμῶς ἀχθόμενον ἐπὶ τούτοις, ἀλλ' ἐν χαρᾷ καὶ θυμηδίᾳ ταῦτα πάντα καταδεχόμενον».

12. Τότε τοίνυν ὁ Εὐφημιανὸς σπουδῇ πρὸς αὐτὸν ἀπιὼν εὗρε

Rubro: v. 3 Γοῦν, v. 9 Ἔνθεν, v. 21 Δή, v. 27 Ταῦτα, v. 36 Ὁ

2 οἵα τὲ 5 θεῖαν 11 ἐπι | τοαὐτὸ 18 σύνοιδας τινὰ 21 μὴδὲ 23 σύντρομοι?

7—9 Δεῦτε — ὑμᾶς: Matth. 11, 28.

f. 214v τελειωθέντα καὶ τὸ πρόσωπον ἡλίου δίκην ἐκλάμπον ἔχοντα || καὶ χάρτην ἰσχυρῶς κατέχοντα τῇ χειρί. αὐτίκα γοῦν τοῖς βασιλεῦσι πορευθεὶς ἀπαγγέλλει τὸ πρᾶγμα· διηγεῖται δὲ καὶ ὅσα παρὰ τοῦ ὑπηρετουμένου τῷ μεγάλῳ μάθοι καὶ ὅτι τετελείωται καὶ χάρτην φέρει συνεσφιγμένως ἐν τῇ χειρί. τότε τοίνυν πρὸς αὐτὸν ἀπιόντες σὺν ἀρχιερεῖ καὶ συγκλήτῳ καὶ κλήρῳ παντὶ καὶ τὸ λαμπρὸν ἐκείνου θεασάμενοι πρόσωπον, δέησιν ἐπανατείνουσι τούτῳ δοθῆναι τούτοις τὸν χάρτην, ἵν' ἐντεῦθεν γνωσθῇ, τίς ἄρα καὶ εἴη καὶ ὅθεν καὶ τίνα τὰ γεγραμμένα. νεύει πρὸς τὴν αἴτησιν αὐτῶν ὁ καλὸς 'Αλέξιος καὶ δίδωσι τὸν χάρτην αὐτοῖς. καὶ δὴ καὶ ἐπιόντες εὑρίσκουσι col. 2 τὸν σοφὸν αὐτὸν 'Αλέξιον εἶναι | καὶ τῷ ὄντι ἄνθρωπον τοῦ Θεοῦ, τὸν Εὐφημιανοῦ φίλτατον καὶ ποθεινότατον παῖδα. καὶ ἅμα δρόμῳ τοῦτον καταλαβὼν ὁ πατὴρ καὶ χερσὶ περιφὺς καὶ ὄμματα τοῖς ἐκείνου περιθεὶς ὄμμασι καὶ χείλεσι χείλη, περιεπλέκετο θερμῶς, περιεπτύσσετο ποθεινῶς, κατεφίλει τὸν υἱὸν πατρικῶς, δάκρυσι τοῦτον κατέβρεχεν, «Οἴμοι» λέγων, «τέκνον ποθούμενον, τέκνον πατρὸς οὐρανίου, τί μὴ σαυτόν μοι ζῶντα δῆλον πεποίηκας, ἵν' εἶχον καὶ φωνῆς αὐτῆς ἀπολαῦσαί σου τῆς ἡδίστης καὶ συνομιλίας καὶ χάριτος· τί τοσοῦτον ἐπὶ χρόνον ἠνέσχου τῇ πατρικῇ προσταλαιπωρεῖν ἑστίᾳ καὶ μηδὲ κἂν πρὸς αὐτὸ τὸ τέλος γνώριμον ἡμῖν σαυτὸν καταστῆσαι;» καὶ ταῦτα μὲν οὗτος καὶ ἕτερα πλείονα.

f. 215 13. Ἡ δέ γε μήτηρ ||—καὶ τί γὰρ ἡ μήτηρ;—τὸ πλῆθος διατεμοῦσα, τὴν κόμην σπαράξασα, τὸν ποθητὸν υἱὸν ὡς εἶχε δρόμου καταλαβοῦσα, πυκνὰ τοῦτον ἠσπάζετο καὶ θερμὰ τῶν ὀφθαλμῶν ἀπέσταζε δάκρυα, «Ὦ περιπόθητον τέκνον καὶ περιώδυνον» λέγουσα, «ὦ σπλάγχνων δαπάνη μητρικῶν, ὦ κέντρον αὐτῆς μου μέσης ἁπτόμενον τῆς καρδίας, τί μὴ πρὸ καιροῦ φανερὸν ἡμῖν ἀπειργάσω σαυτόν, ἵν' εἴχομεν ἐπὶ ζῶντι τέκνῳ καὶ θρηνῆσαι καὶ εὐφρανθῆναι ἐπί τε τῇ μακρᾷ στερήσει σου καὶ τῇ θεοσόφῳ εὑρήσει; οἴμοι, τέκνον ποθούμενον, οἴμοι σπλάγχνον ἐμόν, νῦν μου δὴ καὶ τὰς ἐλπίδας ἀφείλου· ἔτρεφον γάρ με καὶ παρηγόρουν ποσῶς, ὡς εὑρήσω σε, τὸ φῶς τῶν ἐμῶν ὀφθαλμῶν, ὡς ἴδω σε ποθητῶς, ὡς ἀπο- col. 2 λαύσω | τοῦ κάλλους· νῦν δὲ τί πρότερον θρηνήσω; τί πικρῶς κλαύσομαι; ὅτι σε κατέχω μὴ βλέποντα βλέπουσα, μὴ λαλοῦντα λαλοῦσα, μὴ δάκρυα καθορῶντα μητρικῶν παρειῶν ἀποστάζοντα, ἢ ὅτι καὶ μακρὸν ἐπὶ χρόνον συνόντα μοι τὸν διψώμενον οὐκ ἔδωκεν ἡ τύχη γνῶναι, ἀλλὰ καὶ πειρασμούς, φεῦ, ὑπέστης ὁ δεσπότης ὑπὸ τῶν δούλων».

Rubro: v. 5 Πρός, v. 9 Τήν, v. 22 Καί
20 μὴ δὲ

14. *Ταῦτα καὶ ἕτερα τοιαῦτα τῆς μητρὸς γοερῶς ἀνακλαυσαμένης, ἡ νύμφη μέλαιναν στολὴν ἐνδυσαμένη «Φῶς ἐμῶν» ἔλεγεν «ὀφθαλμῶν, καρδίας ἐμῆς στηριγμός, ποῦ σοι δὴ καὶ ὁ τοσοῦτος ἐξανάλωτο χρόνος; πῶς δὲ καὶ καταλαβὼν ἡμᾶς ἥσυχον οὕτω καὶ ταλαίπωρον διήνεγκας τὴν διαγωγήν; ποῦ σοι ἄρα τὰ γαμικὰ* || [f. 215v] *περιβλήματα; ποῦ τὸ τερπνὸν ἐκεῖνο καὶ καλὸν πρόσωπον; ποῦ ἡ ἡδυτέρα καὶ μέλιτος ἐκείνη προσλαλιά; οἴμοι, τί γένωμαι, τί πράξαιμι δειλαία πάντων ἐγώ, ὅτιπερ ὃν ἐν χερσὶν εἶχον, οὐκ ἔγνων; οἴμοι, θάνατε, τί με ζῶσαν δρᾶσθαι κατέλιπες; τίς ἄρα μοι ἐλπίς; τίς ἄρα κόσμος; μὴ ἐπιφαύσῃς, ἥλιε, ζώσῃ μοι τὸ πρωΐ· τί γὰρ ἐμοὶ καὶ τῷ σῷ φωτί, τῶν ἐμῶν ἐστερημένῃ πολυπαθῶς ὀφθαλμῶν;» καὶ ταῦτα μὲν οἱ προσήκοντες· ἔκπληκτος δὲ καὶ ἔκθαμβος ὁ λαὸς ἦν, δάκρυα συχνὰ τῶν ὀμμάτων ἀποσταλάζων.*

15. *Καὶ τότε δὴ τὸ βασιλικὸν ἐκέλευσε κράτος ἐπὶ μέσου τὴν κλίνην τεθῆναι τῆς πόλεως καὶ τὰ εἰωθότα τελεσθῆναι καλῶς ἐπὶ τῷ νεκρῷ.* | [col. 2] *πάντες οὖν συνέδραμον ἐκεῖσε τὸ τάχος καὶ τούτων μᾶλλον οἱ νοσήμασιν ἄλλοις καὶ δαιμόνων μάστιξι τυραννούμενοι. καὶ ἦν ἰδεῖν τοὺς μὲν αὐτῶν ἐλευθερουμένους, τοὺς δὲ καὶ τῶν χρονίων νοσημάτων ἐξιωμένους καὶ πᾶσαν ἄλλην θεραπευομένην ἀσθένειαν. ταῦτα καὶ βασιλεῖς αὐτοὶ θεασάμενοι τὴν κλίνην ἐβάστασαν καὶ ἀρχιερεὺς αὐτὸς ὑπῆλθεν αὐτὴν μάλα χαριέντως καὶ ποθεινῶς, εὐλογίαν ὡς ἂν ἐκ ταύτης τρυγήσωσι. πλήθους οὖν συνδεδραμηκότος πολλοῦ καὶ θλίβοντος τοὺς περὶ τοὺς βασιλεῖς καὶ αὐτὸν δὲ τὸν πατριάρχην, οὗτοι χρυσίον τῇ πλατείᾳ διασπαρῆναι προσέταξαν, ἵν' ἐν τούτῳ τοῦ πλήθους ἀσχοληθέντος ἄδειαν ἕξουσιν οὗτοι* || [f. 216] *διανύσαι καλῶς τὴν πορείαν.*

16. *Βίᾳ δ' οὖν, ὅμως δὲ τὴν προκειμένην ἀνύσαντες, τὸν τοῦ μάρτυρος Βονιφατίου ναὸν κατειλήφασιν, ἐν ᾧ καὶ φιλοτίμως, ὦ καλὲ καὶ θαυμαστὲ Ἀλέξιε, κατετέθη σου τὸ πάντιμον σκῆνος, πολλῶν κἀν τούτῳ τελεσθέντων καὶ μεγάλων θαυμάτων, ἑπτακαιδεκάτην τρέχοντος τοῦ Μαρτίου μηνός. καὶ νῦν σὺν τάγμασιν ἀγγέλων τῷ δεσποτικῷ παριστάμενος θρόνῳ καὶ τὰς ὑπὲρ τοῦ κόσμου πρεσβείας ποιούμενος, αἴτησαι δοθῆναι καὶ βασιλεῖ ἡμῶν τῷ πρᾴῳ καὶ φιλοχρίστῳ καὶ πᾶσι διαπρέποντι τοῖς καλοῖς μενόντων καλῶν τὴν ἀΐδιον χάριν, ἵλεων Θεὸν τοῖς βίῳ πεπραγμένοις, ὅπως χορῶν ἀγγέλων τὴν* | [col. 2] *λαμπρὰν ξυναυλίαν, ἀύλων μονῶν τὴν φαιδρὰν*

Rubro: v. 1 ἕ|*Τερα*, v. 17 *Πάντες*, v. 20 *Ταῦτα*, v. 22 *Συνδεδραμηκότος*, v. 28 *Καὶ*, v. 34 *Μενόντων*

2 μέλαινα   7 δειλαῖα   31 συντάγμασιν   35 ὅπως *recentiore manu in rasura: an* ὅλως?

κατοικίαν, ἡλίου θείου τὰς φαιδρὰς λαμπηδόνας, λειμώνων θείων τὰς τερπνὰς ἀπολαύσεις, πάντων ἀγαθῶν τὴν μετάληψιν ὅλην καὶ βασιλείας Θεοῦ τὴν κληρουχίαν· ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

f. 216ᵛ *Μηνὶ τῷ αὐτῷ ιη΄.*

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΑΒΒΑ ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΛΟΥ.

1. Καὶ Παύλου τοῦ ἁπλοῦ καὶ λεγομένου καὶ γενομένου προτιθέμενος εἰς διήγησιν ὁ θαυμάσιος βίος πολλοῖς ὑπόδειγμα σωτηρίας γενήσεται· πολὺ γὰρ τὸ ὠφέλιμον ἔχει καὶ τὸ παράδοξον, δείκνυσί τε καὶ τῆς ἀπείρου σοφίας τοῦ Θεοῦ τὰς ἐξ ἄλλων ἄλλας οἰκονομίας· ἀρκτέον οὖν οὕτω τοῦ διηγήματος. ὁ καλὸς οὗτος καὶ col. 2 *περίφημος Παῦλος, ὁ κατὰ Παῦλον τὸν | μέγαν καὶ βιοὺς καὶ πολιτευσάμενος, τὸν ἁπλοῦν ἀρχῆθεν ἔζησε βίον καὶ τῆς γῆς κατὰ τὴν ἐντολὴν ἐργάτης ἐδείκνυτο κἀντεῦθεν εἶχε τὰς πρὸς τὸ ζῆν ἀφορμάς. καὶ αὕτη μὲν τῆς διηγήσεως ἡ ἀρχή· οὐδὲ γὰρ ὁ λόγος ἡμῖν ἕτερόν τι περὶ αὐτοῦ παραδέδωκεν.*

2. Ἐπανιὼν οὖν ποτε τῆς ἐργασίας πρὸς τὴν οἰκίαν (οἷα σου, διάβολε, τὰ τεχνάσματα) μοιχεύουσαν καταλαμβάνει τὴν γαμετὴν f. 217 *καὶ ἅμα μηδὲν πρὸς τοῦτο || διαταραχθεὶς οὑτωσί πώς φησι πρὸς αὐτούς, ἵν' ἐκείνου τῶν ἀπλάστων λόγων ἐπιμνησθῶ· «Καλόν, καλὸν ἀληθῶς· οὐ μελήσει μοι». καὶ μηδενὶ μηδὲν εἰρηκὼς ἄνεισι πρὸς τὸν μακαρίτην Ἀντώνιον, πλείστας μονὰς διελθών, τὴν ἔρημον τότε οἴκησίν τε καὶ δίαιταν ἔχοντα· ὅπερ δίδωσι νοεῖν ἐξ Αἰγύπτου τὸν Παῦλον ὁρμᾶσθαι. καὶ τὴν θύραν τῆς αὐτοῦ κέλλης πατάξας ἐντυγχάνει τούτῳ πρὸς αὐτὸν ἐξιόντι· κἀκείνου «Τί ἄρα τὸ ζητούμενον» εἰπόντος «ἐστίν», ὁ Παῦλος «Μοναχόν με γενέσθαι» φησίν, «εἰ θέλοι Θεός». καὶ ὁ μέγας, ἐτῶν ἑξήκοντά που καὶ πρὸς ἄνθρωπος ὤν, ὧδε «Παῦλε», φησί, «μονάσαι σε μηδαμῶς δυνατόν. ἀλλά σοι προσήκει βίον ἐργατικὸν ἔν τινι ζῆσαι κώμῃ καὶ τῷ Θεῷ* col. 2 *χάριν | τούτων εὐχαριστεῖν· ὑπομεῖναι γὰρ σὺ τὰς ὧδε θλίψεις οὐμενοῦν δυνήσῃ ποτέ». καὶ ὁ Παῦλος· «Καὶ ὑπομενῶ καὶ εἴ τι ἂν*

Rubro: v. 2 *Πάντων*, v. 8 *Καὶ Παύλου*, v. 12 *Καὶ*, v. 18 *ἐ|Πανιὼν*
13 βιοῦς 18 ποτὲ 20 μὴδὲν—πως φὴ(σι) 29 μονάσαί σε 32 *οὐμενοῦν*

ὑποθῇ μοι, προθύμως ποιῶ». καὶ ὁ Ἀντώνιος «Καὶ εἴ γε μονάσαι βούλει» πρὸς τὸν Παῦλόν φησι, «κοινοβίῳ σε μᾶλλον δεῖ προσελθεῖν, ἵν᾽ ὑπὸ τῶν ἀδελφῶν πολλῶν ὄντων εἰς ἔθη μοναδικὰ κατὰ μικρὸν ἀναχθῇς· γέρων γάρ, ὡς ὁρᾷς, εἶ, καὶ οὗτοί σου τῆς ἀσθενείας ἀνάσχονται· καὶ γὰρ ἀπορῶ ἐγὼ τροφῆς ὧδε· διὰ πέντε ὅλων ἡμερῶν τὸν ἄρτον ἐσθίω, ὕδατι διαβρέχων αὐτόν».

3. Τούτοις οὖν καὶ τοῖς ὁμοίοις μὴ πεῖσαι τὸν Παῦλον δυνηθεὶς ἀποστῆναι, τὴν θύραν κλείσας ἀπῆλθεν· ὁ δὲ Παῦλος, τὸ σκεῦος ὄντως τῆς ἐκλογῆς, παρέμεινεν || ἐγκαρτερῶν ἐκεῖσε. ἡμέραι παρῆλ- *f. 217v* θον τρεῖς, καὶ τῇ τετάρτῃ χρείας καλούσης ἔξεισιν ὁ Ἀντώνιος καὶ τὸν Παῦλον ἰδὼν «Ἄπελθε» φησὶ πρὸς αὐτόν, «γέρων, τί μου τὸ πνεῦμα λυπεῖς; οὐ δυνατόν σοι μεῖναι τοῖς ὧδε». κἀκείνου ἔτι πρὸς αὐτὸν παραμένειν εἰπόντος καὶ μὴ ἀφίστασθαι, περισκοπήσας ὁ Ἀντώνιος, ἐπεὶ μὴ ἴδοι τὰ πρὸς τροφὴν κομιζόμενον, μήτε μὴν μηδενὸς μεταλαβόντα βρωτοῦ ταῖς παρελθούσαις ἡμέραις, δέχεται τοῦτον καί φησι πρὸς αὐτόν, πεῖραν ἐπάγων αὐτῷ· «Στῆθι, γέρων, ὧδε καὶ πρόσευξαι, μέχρις ἂν εἰσελθὼν κομίσω σοι θαλλοὺς φοινίκων εἰς ἐργασίαν».

4. Ἡμέραι παρῆλθον ἕξ· ἀμετακίνητος ὁ | γέρων δι᾽ ὅλου κατ᾽ *col. 2* ἐκεῖνον τὸν τόπον ἵστατο προσευχόμενος, τῷ τῆς ἡμέρας φλεγόμενος καύσωνι. τῆς δὲ ἑβδόμης καταλαβούσης ἐξιὼν ὁ Ἀντώνιος θαλλοὺς αὐτῷ κομίζει φοινίκων καὶ πλέξαι λέγει σειράν, «Ὡς βλέπεις ἐμέ». πλέκει ταύτην ὁ γέρων ὀργυιῶν πεντεκαίδεκα μέχρις ὥρας ἐνάτης. ἑτέραν αὐτῷ πεῖραν ὁ μέγας ἐπάγων «Κακῶς» ἔφη «τὴν σειρὰν ἔπλεξας. ἀναλύσας πλέξον καλῶς». πρόθυμος ὁ γέρων καὶ περὶ τοῦτο γίνεται καὶ τὸ προστεταγμένον ποιεῖ· κατενύγη τοῦτο θεασάμενος ὁ Ἀντώνιος καὶ περὶ δυσμὰς ἡλίου ἑβδόμην ἤδη τὴν ἡμέραν ἀσίτῳ διατελοῦντι τῷ γέροντί φησι πρὸς αὐτόν· «Θέλεις ἄρτου μετασχεῖν ἡμᾶς, Παῦλε;» || ὁ δὲ «Ὡς δοκεῖ σοι» εἶπεν *f. 218* «γενέσθω». κἀκεῖνος ἀγασθεὶς ἐπὶ τούτῳ παξαμάτια τῇ τραπέζῃ παρατίθησι τέσσαρα καὶ τούτων ἓν μὲν ἑαυτῷ διαβρέχει, τρία δὲ δοκιμὴν εἰσάγων τῷ Παύλῳ. ψάλλει μετὰ τὴν παράθεσιν δωδεκάκις ψαλμὸν ὁ Ἀντώνιος καὶ δωδεκάκις προσεύχεται· καρτερεῖ τούτοις ὁ γέρων καὶ συνεύχεται τούτῳ, πάντα προθύμως ἀνύων πρὸς τὸ μὴ βούλεσθαι μοιχαλίδι συνοικεῖν γυναικί. καταλαβούσης οὖν τῆς ἑσπέρας «Εὖξαι, Παῦλε», φησὶν ὁ Ἀντώνιος, «καὶ ὕπνωσον τάχος». ποιεῖ τοῦτο τὸ τῆς ὑπακοῆς τέκνον ὁ Παῦλος, καὶ περὶ μέσας

Rubro: v. 1 Ἀν|**Τ**ώνιος, v. 7 **Τ**ούτοις, v. 9 **Ἡ**μέραι, v. 19 **Ἕ**ξ, v. 21 **Κ**αταλαβούσης, v. 25 **Ὁ**, v. 35 **Οὖ**ν

1 ὑπόθη 2 Παῦλον φησὶ 4 ἀναχθεὶς 28 γέροντι φησὶ

νύκτας τοῦ ὕπνου τοῦτον ὁ Ἀντώνιος ἐξεγείρει καὶ πρὸς δοξολο-
col. 2 *γίαν ἵσταται καὶ παρέτεινε τὴν εὐχὴν ἄχρις ἐνάτης | ὥρας ἡμερινῆς.*
εἶτα τῇ τραπέζῃ προσῆλθον ἐπὶ τῷ φαγεῖν· ἑσπέρα δὲ ἦν ἤδη
βαθεῖα. μετασχόντος οὖν τοῦ Ἀντωνίου τροφῆς (ἓν δὲ ἦν ἐκεῖνο
τὸ διάβροχον παξαμάτιον), ὁ γέρων σχολαιότερον ἐσθίων ἔτι τὸ ἓν
καὶ οὗτος ἔτρωγε παξαμάτιον. φαγόντος οὖν αὐτὸ λέγει πρὸς αὐτὸν
ὁ Ἀντώνιος· «Φάγε, Παῦλε, καὶ ἕτερον». καὶ οὗτος· «Εἰ σύ, πάτερ,
φάγῃς, φαγοῦμαι κἀγώ». καὶ ὁ Ἀντώνιος· «Ἐμοὶ μοναχῷ τυγχά-
νοντι τὸ ἓν ἐξαρκεῖ». καὶ ὁ Παῦλος· «Κἀγὼ μοναχὸς ἐθέλων γενέ-
σθαι ἀρκοῦμαι τῷ ἑνί».

5. Καὶ ἁπλῶς, ἵνα μὴ τὰ πολλὰ λέγω, μιμητὴς Ἀντωνίου κατὰ
πάντα γενέσθαι διὰ σπουδῆς ὁ Παῦλος ἐτίθετο· μιᾷ γὰρ τῶν ἡμε-
f. 218ᵛ *ρῶν || τῆς ἐρήμου μετὰ τρίτην ἐπανιόντι τῷ Παύλῳ (πρὸς αὐτὴν*
γὰρ ἐν τοσούτῳ διατρίβειν ἐπέμφθη) καί τινων ἀδελφῶν τῇ μονῇ
παραβαλόντων ὁ μέγας Ἀντώνιος «Διακόνησον» ἔφη αὐτῷ «τοῖς
ἀδελφοῖς σιωπῶν καὶ μηδενὸς γενόμενος ἄχρις οὗ τῆς μονῆς ἀπά-
ρωσι». ποιεῖ τοῦτο καὶ διακονεῖ τοῖς ἀδελφοῖς ἐφ' ὅλαις τρισὶ σιω-
πῶν ἑβδομάσι, μηδενὸς τὸ παράπαν γευσάμενος. ἐκείνων τοίνυν
τῶν μοναχῶν τῆς σιωπῆς τὴν αἰτίαν ἐρωτησάντων καὶ τοῦ Παύλου
μηδὲν ἀποκριναμένου, φησὶ πρὸς αὐτὸν ὁ Ἀντώνιος· «Λάλησον,
Παῦλε, τοῖς ἀδελφοῖς, ἵνα μή σου καταγνῶσι κουφότητα». τότε
λαλεῖν ὁ Παῦλος ἤρξατο καὶ συμψάλλειν αὐτοῖς. |

col. 2 *6. Στάμνου δὲ μέλιτος ἐνεχθείσης τῷ Ἀντωνίῳ ποτὲ παρά*
τινος, συντρίψαι ταύτην ἐκεῖνος τῷ Παύλῳ φησί· γίνεται τοῦτο·
καὶ συναγαγεῖν τὸ μέλι κελεύει πάλιν· ποιεῖ καὶ τοῦτο ὁ πατρὶ τὰ
πάντα ὑπήκοος. καὶ ἀντλεῖν ὕδωρ δι' ὅλης κελεύεται τῆς ἡμέρας·
πράττει καὶ τοῦτο. καὶ τὸ ἱμάτιον αὐτοῦ παραλῦσαι προστάττεται
καὶ συρράψαι πάλιν αὐτό· τελεῖ καὶ τοῦτο· καὶ ὅλος ἦν ὑπακοῆς
υἱὸς ὁ μακάριος. ἀλλ' ὁ μέγας Ἄντώνιος ἔτι τῇ πείρᾳ πεῖραν καὶ
τῇ δοκιμῇ δοκιμὴν προστιθέμενος «Εἰ οὕτω» φησὶ πρὸς αὐτὸν
«ἐφ' ἑκάστης, Παῦλε, δύνασαι ποιεῖν, μένε μετ' ἐμοῦ· εἰ δ' οὖν,
ἀλλὰ πορεύου τάχος ἐξ ἐμοῦ». καὶ ὁ Παῦλος· «Εἴ με, πάτερ, πλεῖόν
f. 219 *τι διδάξεις, ἀγνοῶ· ἐπεὶ ταῦτα, ἅπερ || εἶδον, ποιῶ». τῆς ἐπιούσης*
οὖν καλέσας αὐτὸν ὁ μέγας Ἀντώνιος, «Ἰδοὺ γέγονας» εἶπε «μο-
ναχός· λοιπὸν ἀσκῆσαί σε δεῖ κατὰ μόνας». καὶ ἅμα δίδωσιν αὐτῷ
κελλίον, ἵνα πάντως καὶ πεῖραν λάβῃ δαιμόνων· ἐν ᾧπερ οἰκήσας
ὁ ἄπλαστος τὴν γνώμην καὶ ἁπλούστατος Παῦλος χάριν εἴληφε

Rubro: v. 4 *Οὖν*, v. 8 *Καί*, v. 12 *Μιᾷ*, v. 18 *Ἐκείνων*, v. 23 *Στάμνου*, v. 32 *Καί*

29 *τῇ πεῖρα*

κατ' αὐτῶν καὶ πολλὴν ἐξουσίαν· καὶ νοσημάτων δὲ παντοίων θεραπευτὴς ἐχρημάτισεν.

7. Μιᾷ τοίνυν τῶν ἡμερῶν νεανίας τις δαιμονίᾳ μάστιγι πληγεὶς χαλεπῶς ἠνέχθη πρὸς τὸν Ἀντώνιον· ὁ δὲ μὴ εἶναι τὴν ἴασιν ἔργον αὐτοῦ πρὸς τοὺς ἀγαγόντας εἰπών, ἀλλὰ Παύλου τοῦ ἁπλοῦ, πρὸς ἐκεῖνον σὺν αὐτοῖς ἐπορεύθη καὶ τὴν ἴασιν ἐκείνῳ τοῦ πάσχοντος ἐπιτρέπει· τοῦ δὲ | μᾶλλον αὐτῷ προσήκειν τὸ τοιοῦτον col. 2 εἰπόντος ἔργον ὁ Ἀντώνιος πρὸς ἕτερόν τι σχολάζειν εἰπὼν ἐκεῖσέ τε τὸν νέον καταλιπὼν ὑπέστρεψεν. ὁ τοίνυν ἄκακος γέρων δέεται τοῦ Θεοῦ συντονωτάτῃ δεήσει τὸ πονηρὸν ἀπελαθῆναι πνεῦμα τοῦ νεανίσκου· ἀλλ' ὁ δαίμων κελευόμενος τὴν ἐξέλευσιν οὐκ ἐπείθετο φρυαττόμενος, ἀλλ' ὕβρεσι μᾶλλον τὸν καλόγηρον ἔπλυνε. τότε δὴ τῇ μηλωτῇ τὸν πάσχοντα τύπτοντος αὐτοῦ καὶ λέγοντος «Ὁ μέγας σοι κελεύει καὶ σοφὸς Ἀντώνιος, ἔξελθε τοῦ ἀνθρώπου, πονηρότατον πνεῦμα», ὁ δαίμων καὶ αὖθις ἀναιδῶς «Τί ἡμῖν» ἔλεγε «καὶ ὑμῖν τοῖς μοναχοῖς; τί τυραννικῶς ἡμῖν ἐπεμβαίνετε; τί κοινὸν ἔχετε με||θ' ἡμῶν;» καὶ ὁ Παῦλος «Εἰ μή μοι πείθῃ, κακότεχνε», f. 219ᵛ πρὸς τὸν δαίμονα λέγει, «πορεύομαι ἰδοὺ καὶ λέγω πάλιν κατὰ σοῦ τῷ Χριστῷ· καὶ οὐαί σοι, ταλαίπωρε· παραδοθήσῃ γὰρ πυρὶ τῷ ἡτοιμασμένῳ σοι». ὡς οὖν ἀπειθὴς ὁ δαίμων πρὸς τὴν ἔξοδον ἦν, ὁ κάλλιστος Παῦλος ἐπὶ πέτραν ἀναβὰς ὑψηλήν, ἄρτι τοῦ ἡλίου φλογῶδες καθ' ὥραν θέρους ἡμέρᾳ μέσῃ τὸ κέντρον ἐνστήσαντος, καὶ ὄμματα καὶ χεῖρας εἰς Θεὸν ἀνατείνας δέεται τούτου θερμῶς. καὶ τῆς εὐχῆς τελουμένης ὁ δαίμων μέγα κεκραγὼς «Ἐξέρχομαι» λέγει, «ἐξέρχομαι, Παῦλε, οὐκέτι σοι προσεγγίσω». καὶ αὐτίκα τὸν νέον σπαράξας καὶ τῇ γῇ προσκαταβαλὼν ἐξῆλθε καὶ δράκοντος ἐν εἴδει κατὰ γῆς ἕρπων ὁ δό|λιος ὡς πρὸς τὴν Ἐρυθρὰν ὥρμησε col. 2 θάλασσαν. καὶ οὗτος μὲν οὕτως· ὁ δέ γε νέος σωφρονῶν ἐδείκνυτο καὶ ὑγιὴς τοῖς κομίσασιν ἀπεδίδοτο.

8. Ταῦτά σου, Παῦλε, τὰ διὰ Θεὸν ἀγωνίσματα, ταῦτα δὴ καὶ τὰ ἔπαθλα. διὸ καὶ πρὸς βαθὺ κατήντησας γῆρας καὶ οὕτω τὰ τῇδε καταλιπὼν πρὸς ὃν ἠγάπησας Θεὸν ἐξεδήμησας· καὶ νῦν τοὺς οὐρανοὺς κατοικῶν καὶ ταῖς τῶν πατέρων χορείαις συνευφραινόμενος χάρισαι καὶ βασιλεῖ ἡμῶν τῷ θεοστεφεῖ καὶ τὰ πάντα καλῷ, τῷ πρᾴῳ κατὰ τὸν Δαυὶδ καὶ ἡσύχῳ, τῷ ἀπλάστῳ κατὰ σὲ καὶ ἀκάκῳ μακρόβιον τὸν τῆς ζωῆς καὶ ἀτάραχον χρόνον, ἰσχὺν Θεοῦ κατὰ τῶν ἀντιπάλων ἐθνῶν καὶ κράτος, χάριτος θείας ἐπὶ τούτοις τὴν συμμαχίαν, Ἀγαρηνῶν τὴν κατά||λυσιν φύλου, ἡμέρας τῆς f. 220

Rubro: v. 3 Ἡμερῶν, v. 9 Ἄκακος, v. 30 Ταῦτα, v. 36 Μακρόβιον

2 ἐχρημάτισε 3 τίς 8 ἐκεῖσε τὲ 25 οὐκ ἔτι 31 γῆρας

μελλούσης τὴν βασιλείαν, λαμπρότητος Θεοῦ τὴν ἀείφωτον χύσιν, col. 2 πάντων ἁγίων τὴν φαιδρὰν ξυναυλίαν καὶ βασιλείας οὐ|ρανῶν κληρουχίαν, ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ ιθ'.

ΜΑΡΤΥΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΤΟΥ ΧΡΙΣΤΟΥ ΜΑΡΤΥΡΩΝ ΧΡΥΣΑΝΘΟΥ ΚΑΙ ΔΑΡΕΙΑΣ.

1. Τὰ κατὰ τὸν χρυσοῖς ὡς εἰπεῖν ἐστεμμένον τοῖς μαρτυρικοῖς ἄνθεσι Χρύσανθον καὶ τὴν ἐν γυναιξὶ καλλίστην Δαρείαν παραλιπεῖν οὐκ οἶμαι τῶν ἐπαινουμένων εἶναι, πολλοῖς ὠφελείας τυγχά- col. 2 νοντα | πρόξενα· διὸ καὶ διηγητέον εἰς δύναμιν ταῦτα καὶ προθετέον.

2. Χρύσανθος ὁ καλός, ἵνα συντόμως εἴπω, Πολέμωνος υἱὸς συγκλητικοῦ τινος Ἀλεξανδρέως γνωρίζεται, ἐξ ἀγριελαίου φὺς καλλιέλαιον· οὐκ ὀρθὸς γὰρ ὁ Πολέμων περὶ τὴν πίστιν· ἀναχθέντα || f. 220v δ' οὖν ὅμως τὸν Χρύσανθον καὶ τὴν παίδων ἡλικίαν ἐκβεβηκότα λαβὼν ὁ πατὴρ τὴν Ῥώμην καταλαμβάνει· Νουμεριανὸς ἐβασίλευε τότε· ὃς ἀσμενέστατα τὸν Πολέμωνα καὶ ᾗ προσῆκεν ὑποδεξάμενος τιμαῖς τε λαμπρύνει καὶ τῇ καθέδρᾳ τῶν μεγιστάνων δοξάζει. παραδίδοται τοιγαροῦν τότε τοῖς παιδευταῖς τῶν λόγων ὁ Χρύσανθος καὶ γίνεται πτηνόν, τὸ τοῦ λόγου, πρὸς τὴν τῶν μαθημάτων κατάληψιν· συνδραμοῦσα γὰρ εὐφυΐα σπουδῇ πᾶσαν ἐπελθεῖν αὐτὸν τὴν ἔξωθεν γραφὴν παρεσκεύασεν. ὡς οὖν ἀρκούντως εἶχεν ἐν αὐτοῖς ὁ Χρύσανθος καὶ τὴν τῶν Εὐαγγελίων Χριστοῦ καλῶς μετῆλθεν ἀνάγνωσιν, ἐξ ὧν δὴ τὸ κάλλιστον νᾶμα τῆς ἀληθοῦς col. 2 γνώσεως | ἀρυσάμενος, ἤδη πρὸς μέτρον πεφθακὼς ἡλικίας χριστιανῷ τινι γίνεται γνώριμος (Καρποφόρος οὗτος κατωνομάζετο), πρός τι σπήλαιον διὰ τὴν τοῦ διωγμοῦ κρυπτομένῳ βαρύτητα· παρ' οὗ τὰς θείας γραφὰς ἐντὸς ὀλίγων ἡμερῶν ἀκριβῶς διδαχθεὶς βαπτίζεται καὶ Χριστὸν Θεὸν ἀληθῆ κηρύττει καὶ καταγγέλλει.

Rubro: v. 2 *Πάντων*, v. 8 *Τά*, v. 12 *Χρύσανθος*, v. 15 *Δ' οὖν*, v. 19 *Τοιγαροῦν*, v. 22 *Ὡς*

13 *τινὸς* 14 *καλιέλαιον* 18 *τιμαῖς τὲ* 19 *τοίγαρὸνν* 26 *τινὶ*

3. Χρόνος οὐ πολὺς ἐν τῷ μέσῳ, καὶ τῷ πατρὶ καθίσταται δῆλον, ὡς εἴη Χρύσανθος χριστιανός· ἔνθεν τοι καὶ πρὸς λόγους ἔρχεται τούτῳ καὶ ἐπεὶ μάθοι Πολέμων καὶ στόματος ἐξ ἐκείνου δὴ τοῦ καλοῦ χριστιανόν τε εἶναι καὶ μὴ ἂν ἀρνήσεσθαι πώποτε τὸν Χριστόν, πρῶτα μὲν κολακείαις, εἶτα δὲ καὶ ἀπειλαῖς χαυνῶσαι τοῦτον ἐπιχειρεῖ τῆς ἐνστάσεως. ὡς οὖν || οὐδαμῶς τὸ χρυσοῦν καὶ *f. 221* τερπνὸν ἄνθος ὁ Χρύσανθος ἥττων ἐδείκνυτο τοῦ σκοποῦ, ζοφώδει τινὶ φρουρᾷ παραπέμπεται καὶ θλίψεσιν ὑποβάλλεται πλείσταις· ἀλλὰ καὶ οὕτως ἄτρεπτος ἔμενε καὶ ταῖς πατρικαῖς ἐπινοίαις ἀνάλωτος.

4. Τί οὖν ἐκεῖνος; πάντων ἀπογνοὺς τῶν ὅσα πρὸς πειθὼ τοῦ Χρυσάνθου, πρᾶγμά τι διανοεῖται τῆς ἰδίας κακονοίας ἄξιον· κόρας τινὰς εὐειδεῖς ἐφ' ἑνὶ τῶν οἰκημάτων συναγαγὼν ἐν μέσαις αὐταῖς τὸν Χρύσανθον κατεστήσατο, πολλὰ παραινέσας ὥστε μὴ ἐκφυγεῖν αὐτὸν τῆς αὐτῶν συμπλοκῆς, ἵν' ἐντεῦθεν πρὸς τὸν οἰκεῖον σκοπὸν μεταθήσουσι, τοῦ εἶναι χριστιανὸν ἀποσχόμενον. γέγονε ταῦτα, καὶ τὰ ψυχοφθόρα βέλη τῶν δυσσεβῶν ἐκείνων γυναικῶν τῷ τῆς πίστεως θυρεῷ | σοφῶς ὁ Χρύσανθος ἀπεκρούσατο· καὶ γὰρ ὅλως *col. 2* ταῖς εὐχαῖς αὐτοῦ δὴ τοῦ συνετοῦ προσκειμένου καὶ ταῖς πρὸς θεὸν παρακλήσεσιν, ὕπνος βαθὺς τὰς κόρας ὁσάκις αὐτῷ προσβάλλοιεν εἶχεν, κἀντεῦθεν ἀνενόχλητος ἔμενεν· ὅπερ μαθὼν ὁ Πολέμων ἠνιᾶτο σφόδρα καὶ οὐκ εἶχεν ὅτι καὶ διαπράξοιτο. τῶν προσφιλῶν οὖν αὐτῷ τις καὶ συνήθων εὐήθειαν τῶν γυναικῶν ὥσπερ κατεγνωκὼς ἄλλην δή τινα πιθανὴν εἰσαχθῆναι πρὸς αὐτὸν ἔφη καὶ λόγῳ δεινὴν καὶ εἴδει καλήν, ἥτις λόγοις ἐπαγωγοῖς πείσει τοῦτον καὶ ταύτῃ μὲν συνελθεῖν, ἀλλὰ καὶ τὸ σοὶ θυμῆρες ποιῆσαι. «Καὶ ποῦ ἄρα» Πολέμων εἶπε, «καὶ ποῦ τοιοῦτον εὑρεθήσεται γύναιον;» — «Ἔστι τις» εἶπεν ἐκεῖνος «παρθένος, || μία τῶν τῇ *f. 221v* Ἀθηνᾷ τεταγμένων, κάλλει μὲν τῶν ἄλλων κατὰ πολὺ διαλάμπουσα, λόγῳ δὲ δυνατὴ καὶ ὑπέρογκος, ὡραία τε γάμου καὶ τῶν εὖ γεγονότων. ταύτην ζητήσωμεν, ταύτῃ γνωρίσωμεν τὰ περὶ τούτου καλῶς, ἵν' ἀποσπάσασα τοῦτον τῆς ἀπάτης συναφθῇ πρεπόντως αὐτῷ».

5. Γέγονε ταῦτα, καὶ πρὸς τὸν Χρύσανθον ἡ Δαρεία κόσμοις πολυτελέσι καλλωπισθεῖσα εἴσεισιν ἐπιτερπῶς ἅμα καὶ θρυπτικῶς, εἶτα καὶ λόγοις περινενοημένοις ἀπεπειρᾶτο τῆς αὐτοῦ σωφροσύνης. τοῦ δὲ τοὺς θείους λόγους ἀντιτιθέντος καὶ τὸν θάνατον προτι-

Rubro: v. 1 *Οὐ*, v. 11 *Πάντων*, v. 16 *Γέγονε*, v. 22 *Προσφιλῶν*, v. 34 γέγο|*Νε*
4 χριστιανὸν τὲ 7 ζοφώδη 23 αὐτῶ τίς 30 ὡραία τὲ
34 δαρεία

θέντος εἰς μέσον, τὴν ἐξανάστασίν τε καὶ τὴν κρίσιν καὶ τὰ τοῖς col. 2 *δικαίοις μὲν ἀποκείμενα καλά, | τοῖς ἁμαρτωλοῖς δὲ πονηρά, καὶ ὅτι χρή σε, φήσαντα, τὸν ἔρωτα πρὸς Θεὸν μεταθεῖναι, κατανυγεῖσά φησι πρὸς αὐτόν· «Οὐκ ἔρωτος χάριν ἥκω σοι, Χρύσανθε, δακρύων δέ σου τῶν πατρικῶν ἕνεκα καὶ τοῦ πρὸς τὴν τῶν θεῶν σε λατρείαν ἐπαναγαγεῖν». καὶ ὁ Χρύσανθος· «Καὶ τίσι λόγοις με δικαίοις πείσεις τοῦτο διαπράξασθαι;» καὶ ἡ Δαρεία «Χρήσιμον πάντως» ἔφη «τοῖς ἀνθρώποις τὸ τιμᾶν τοὺς θεοὺς καὶ μηδὲν πρὸς ὀργὴν αὐτῶν διαπράττεσθαι».—«Καὶ ποίαν τιμὴν» ὁ Χρύσανθος εἶπεν «αὐτοῖς προσάγεσθαι χρή;» κἀκείνη «Ταύτην» ἔφη, «δι' ἧς καὶ αὐτοὶ τῶν θεραπευτῶν γενήσονται φύλακες».—«Καὶ ὄντως οἱ παρὰ κυνῶν* f. 222 *φυλαττόμενοι, μήπως ὑπὸ κλεπτῶν κλαπῶσι || νυκτερινῶν», ὁ Χρύσανθος εἶπεν, «ἐφ' ᾧ καὶ σιδήρῳ καὶ μολύβδῳ περισφίγγονταί τε καὶ ἀσφαλίζονται, ἀνθρώπους φυλάξαι δυνήσονται». καὶ ἡ Δαρεία «Εἰκόνες ἐκείνων εἰσὶ ταῦτα· ἀλλὰ καὶ πῶς τὰς λατρείας αὐτοῖς τὸ τῶν ἀνθρώπων πλῆθος προσάγειν εἶχε, μὴ ταύτας πρότερον στήσαντες; καὶ γὰρ ἐκ τούτων ὁ θεραπευτὴς ἐκεῖνον κατανοεῖ, ᾧτινι τῇ διανοίᾳ λατρεύει».*

6. *«Καὶ τίνος τέως αἱ εἰκόνες», ὁ Χρύσανθος εἶπεν, «ἴδωμεν· Κρόνου ἂν εἴποις καὶ Διός, Ἑρμοῦ τε καὶ Ἡρακλέος καὶ τοῦ Ἀπόλλωνος καὶ τῶν ἄλλων, ὅσους ὁ Ἑλληνικὸς ὕθλος ἐπιφημίζει θεούς· καὶ τίς καὶ ποία τούτοις ἡ ἁγιότης, ὁπότε διελέγχονται παρὰ τῶν* col. 2 *ὑμετέρων γραφῶν τε καὶ ποιητῶν μυρία δεινὰ | πεπραχότες, ἵνα μὴ τὰ καθ'ἕκαστον λέγω, ἅτινα ξένα πάντως καὶ ἀλλότρια θείας οὐσίας καὶ ἀνωλέθρου· καὶ γὰρ ἀλληγοροῦντες ὑμεῖς τὰς τῶν θεῶν ὑμῶν κλήσεις ἀέρα λέγετε καὶ πῦρ, γῆν τε καὶ θάλασσαν καὶ τὰ τούτοις ὅμοια· καὶ πάντως ἐκείνων ἐκτυπώματα χρὴ γίνεσθαι τῶν μὴ παρεῖναι δυναμένων ποτέ· τῆς γῆς δὲ καὶ τοῦ πυρὸς καὶ τῆς θαλάσσης ἐνώπιον ἡμῶν κειμένων ἀείποτε, ναὶ δὴ καὶ τοῦ ἀέρος ἡπλωμένου καλῶς οὕτω κατὰ τὴν τοῦ ποιήσαντος πρόσταξιν, τίνος χάριν εἰκόνας αὐτῶν ἀνθρωπομόρφους ὑμεῖς ἀναπλάττετε; καὶ διὰ τί μᾶλλον εἰκόνες θρησκεύονται τούτων καὶ μὴ αὐτὰ παρόντα τὰ* f. 222v *πράγματα; μή τις τῶν βασιλέων ἢ τῶν ἀρχόντων ἀ||νέξεται παρὼν ἑαυτὸν μὲν καταφρονεῖσθαι, τιμᾶσθαι δὲ τὴν εἰκόνα τούτου; λοιπὸν οὐκ εἰσὶ στοιχείων εἰκόνες, φθαρτῶν δὲ καὶ νεκρῶν ἀνθρώπων· ἢ γὰρ ἂν αὐτὰ τὰ στοιχεῖα βλέποντες ἐτιμᾶτε, ἄλλως τε δὲ καὶ εἴ γε τῷ λόγῳ δώσομεν μὴ ἀνθρώπους ὑμᾶς ἀσεβεῖς, ἀλλὰ τὰ στοιχεῖα*

Rubro: v. 4 *Οὐκ*, v. 9 *Καί*, v. 15 *Εἰκόνες*, v. 19 *Τίνος*

3—4 *κατανυγεῖσα φησί* 14 *δαρεῖα* 20 *ἑρμοῦ τέ* ib. ϛ (= *καί*) ante *τοῦ Ἀπόλλωνος* evanidum 23 *γραφῶν τέ* 26 *λέγεται — γῆν τέ* 31—32 *διατί*

τιμᾶν, ἵνα τί τὸν ταῦτα παραγαγόντα καταλιπόντες αὐτοῖς τὴν τιμὴν ἀπονέμετε, ὁμοδούλοις ἡμῖν οὖσι καὶ ὑφ' ἑνὶ καὶ τῷ αὐτῷ τεταγμένοις δεσπότῃ; τίς γὰρ τῶν σεβομένων αὐτὰ λατρείᾳ μόνῃ τὴν ἐξ αὐτῶν ὠφέλειαν ἐκαρπώσατο, μὴ τὰ τῆς τέχνης πρότερον ἐκ Θεοῦ τοῦ παντοδυνάμου δοθείσης διαπραξάμενος; τίς δὲ μὴ λατρείαν αὐτοῖς προσάγων, τὰ δὲ τῆς γεωργίας καὶ τῆς | ἀληθείας col. 2 ἐπιδεικνύμενος οὐ Θεοῦ νεύμασιν ἀπορρήτοις τῶν ἐκ τούτων μεταλαμβάνει καλῶν; ὄντως ἐσφαλμένος ὑμῖν ὁ σκοπὸς καὶ ἀναπολόγητος· κελεύσει γὰρ τοῦ ποιήσαντος ἡ γῆ τῇ τοῦ ἡλίου συλλαμβάνεται θέρμῃ, καὶ τῇ τοῦ ἀέρος ποιότητι τὰ βλαστήματα τρέφεται καὶ τῇ τῶν καιρῶν εὐκρασίᾳ φαιδρύνεται, καθ' ἃ δὴ κἂν τοῖς ἄλλοις τῶν στοιχείων ἔστιν εἰπεῖν. διὸ δὴ καὶ αὐτὸς ὁ ποιητὴς αὐτῶν καὶ πρύτανις ἄξιός ἐστι μόνος τῆς τοιαύτης θεραπείας καὶ προσκυνήσεως».

7. Ταῦτα τοῦ Χρυσάνθου καὶ ἕτερα πλεῖστα εἰπόντος ἐπίστευσεν ἡ Δαρεία, τὴν ἀκρίβειαν καταπλαγεῖσα τῶν λόγων. ἔνθεν τοι καὶ λόγους πρὸς ἀλλήλους ἔθεντο καὶ τὰ τῆς συζυγίας ἀσπά||σασθαι f. 223 καὶ τὰ τῆς παρθενίας φυλάξαι. ὡς οὖν ἐντεῦθεν τὴν ἐλευθερίαν τῆς τοῦ πατρὸς ἔλαβεν ἐξουσίας, βαπτίζει τε διά τινος τὴν Δαρείαν καὶ πάσας αὐτὴν τὰς θείας ἐκδιδάσκει γραφάς. καὶ ἦσαν οὕτω τὸν λόγον ἄμφω τῆς ἀληθείας κηρύττοντες καὶ πολλοὺς νέους τε καὶ παρθένους ἀπὸ τῆς τῶν εἰδώλων πλάνης πρὸς τὴν πίστιν ἐνάγοντες τοῦ Χριστοῦ.

8. Τῶν οὖν προσηκόντων αὐτοῖς τοῖς μετατιθεμένοις πρὸς τὴν ἐπίγνωσιν τῷ ἐπάρχῳ προσιόντων Κελερίνῳ καὶ τὸ πρᾶγμα διεγκαλούντων, συλληφθῆναι τὸν Χρύσανθον ἐκεῖνος προσέταξε καὶ Κλαυδίῳ τῷ τριβούνῳ παραδοθῆναι. γίνεται τοῦτο, καὶ ἐπεὶ μὴ πειθόμενον αὐτὸν εἶχεν ὁ Κλαύδιος, κελεύει, καὶ βουνεύροις δεσμεῖται Χρύσανθος καθύγροις κακούργῳ | σκοπῷ· καὶ τίνι τούτῳ; ὅπως col. 2 ξηρανθέντες ἄχρι τῶν ὀστῶν αὐτῶν ὑπεισέλθωσιν. ἀλλὰ Θεὸς ὁ τῶν οἰκείων θεραπόντων κηδόμενος λύει τοῦτον εὐθὺς καὶ ἄνετον δείκνυσιν. εἰς ξύλον ἐμβάλλεται καὶ τρίτῳ κεντήματι τοὺς πόδας ἐκτείνεται. λύεται καὶ τούτου τοῦ μηχανήματος καὶ βοὸς ἐν ὑγρῷ δέρματι βάλλεται καὶ τῷ ἡλίῳ δίδοται· ἀλλ' οὐδαμῶς ἡ δορὰ τῇ τοῦ ἡλίου κατεψύγη θερμότητι, οὔτε μὴν λύμην τινὰ παρ' αὐτῆς ὁ ἄνθρωπος ὑπέστη τοῦ Θεοῦ. μαίνονται καὶ κλοιὸν αὐτῷ περιθέντες οἱ στρατιῶται σκοτεινῷ κατακλείουσι τόπῳ. λέλυτο τοιγαροῦν τὰ δεσμά, καὶ τὸν οἶκον φῶς περιέλαμψε. μηνύεται ταῦτα τῷ τρι-

Rubro: v. 15 ταῦ|Τα, v. 24 Οὖν, v. 27 Τοῦτο, v. 36 Μαίνονται, v. 38 Ταῦτα
13 πρύτανης 16 δαρεῖα 19 βαπτίζει τὲ — δαρεῖαν 21 νέους τὲ

f. 223v *βούνῳ Κλαυδίῳ· ἄγεται πρὸς || αὐτὸν ὁ ἅγιος καὶ γοητείας κρίνεται καὶ πρὸς τὸν Κλαύδιον «Εἶ γέ σοι» φησὶν «ὑπῆρχε λογισμὸς ἀγαθός, ἔγνως, οἵᾳ δυνάμει τερατουργεῖται ταῦτα καὶ οὐκ ἂν ὡς ἀναίσθητος ἧς». τότε τύπτεται ῥάβδοις ἀπηνῶς ἠκανθωμέναις ὁ καλὸς καὶ σοφώτατος Χρύσανθος, καὶ οὐ πληγὰς ῥάβδων ἠκανθωμένων αἱ καταφοραὶ ἀπετέλουν, ἀλλά τινων μαλακῶν..., μηδὲν τὸ καθόλου τὸ τοῦ μάρτυρος λυμηνάμεναι σῶμα.*

9. Θαυμάζει τοῦτο Κλαύδιος καὶ δύναμιν ἀληθοῦς Θεοῦ τὸ πρᾶγμα διαγινώσκει· πιστεύει πανοικὶ καὶ σὺν αὐτοῖς στρατιώταις καὶ «Μέγας ὁ Θεὸς» βοᾷ «τῶν χριστιανῶν». Χρύσανθος οὖν ὁ καλὸς
col. 2 *βαπτισθῆναι τούτους παρασκευάζει, αὐτόν τε Κλαύδιον | καὶ Ἱλαρίαν τὴν αὐτοῦ γαμετήν, Ἰάσωνά τε καὶ Μαῦρον τοὺς τούτων υἱούς, αὐτούς τε στρατιώτας καὶ πάντας τοὺς σὺν αὐτοῖς. καὶ ἦσαν οὕτως εὐχαριστοῦντες Θεῷ καὶ πάντα παθεῖν ὑπὲρ αὐτοῦ προθυμότατοι. μανθάνει ταῦτα Νουμεριανός· ὀργῆς ἀκατασχέτου πληροῦται· λίθον προσδεθῆναι τῷ τραχήλῳ κελεύει τοῦ Κλαυδίου κἀν τῇ θαλάσσῃ τοῦτον ἀπορριφῆναι, τοὺς δέ γε στρατιώτας σὺν τοῖς υἱοῖς τοῦ Κλαυδίου μὴ πειθομένους ξίφει παραδοθῆναι. γέγονε τοῦτο· καὶ Ἱλαρία ἡ γυνὴ τοῦ τριβούνου τῶν υἱῶν αὐτῆς συναγαγοῦσα τὰ σώματα δυσὶ σοροῖς ἐγκατέθετο· κἀν τούτοις σχολάζουσα*
f. 224 *καὶ φῶτα καθ' ἑκάστην ἀνάπτουσα παρά τινων συλλαμ||βάνεται· διὸ καὶ εὐχῆς αἰτεῖ καιρὸν καὶ μέντοι δὴ καὶ λαμβάνει παρὰ τῶν συλλαβόντων· καὶ κλίνασα πρὸς εὐχὴν ἑαυτὴν τῷ κυρίῳ τὸ πνεῦμα παρέθετο. συμπαθεῖς οἱ κατασχόντες αὐτὴν στρατιῶται γίνονται καὶ τὰς σὺν αὐτῇ δύο παιδίσκας καταλιπόντες ἀπῆλθον. θάπτουσιν ἐκεῖναι ταύτην καὶ ναὸν ἄνωθεν αὐτῆς οἰκοδομοῦσι βραχύτατον, οὗ πέρι κύκλῳ τοὺς ἁγίους κατέθεντο· αὐτῆς γὰρ ὁ τόπος ἦν.*

10. Νουμεριανὸς οὖν ἐκέλευσε ταῦτα μαθὼν ἐν φρουρᾷ τὸν Χρύσανθον βαρυτάτῃ φυλάττεσθαι, ἥτις βορβόρου πλήρης ἦν καὶ δυσωδίας μεστή, Δαρείαν δὲ πορνείῳ παραδοθῆναι· ἀλλ' ὁ κύριος ἐβοήθει· καὶ γὰρ φῶς οἷον ἄρρητον τὸν Χρύσανθον περιέλαμπε |
col. 2 *καὶ ὀσμή τις μύρων περιεκύκλου· τὴν δὲ γε Δαρείαν λέων πεφευγὼς ἀπὸ τοῦ σταδίου κἀν τῷ πορνείῳ γενόμενος φυλάττων ἐτύγχανεν. ἑνὶ γοῦν τινι τῶν ἀκολάστων εἰσιόντι πρὸς αὐτὴν ἐφορμᾷ καὶ τῇ γῇ τοῦτον καταβαλὼν τοῖς ποσὶν ἐφάλλεται καὶ βλέπει πρὸς τὴν Δαρείαν, τί κελεύσειεν αὐτῷ περὶ τοῦ ἀνδρὸς ἐκδεχόμενος. ἐκείνη*

Rubro: v. 4 *Τύπτεται·* v. 8 *Θαυμάζει,* v. 15 *Μανθάνει,* v. 19 *Καί,* v. 24 *συμπα|Θεῖς,* v. 28 *νουμερι|Ανός*

6 *post μαλακῶν substantivum omissum esse puto.* 11 *αὐτόν τὲ* 13 *αὐτοὺς τὲ στρατιώτας* 17 *κὰν* 27 *περικύκλω* 30, 32, 36 *δαρεῖαν*

δὲ πρὸς αὐτὸν «Μηδέν», εἶπεν, «ὦ λέον, ἐν ὀνόματι Χριστοῦ τὸν ἄνθρωπον ἀδικήσῃς, ἀλλ' ἄνες αὐτῷ λόγον ἀκοῦσαί τινα παρ' ἐμοῦ». καταλιμπάνει τοῦτον ὁ θὴρ καὶ πρὸς τῇ εἰσόδῳ δραμὼν ἀνεκλίθη, μή πως ἕτερος εἰσελθεῖν δυνηθῇ. λέγει οὖν ἡ Δαρεία πρὸς τὸν ἀκόλαστον· «Τοῦ λέοντος ἡ ἀγριότης,|| ἄνθρωπε, τὸν f. 224v *Θεὸν εὐλαβήθη, καὶ δή σε καταλιπὼν ἄθικτον ὑπεχώρησε· καὶ σὺ λογικὸς ὢν πράττειν οὐκ ἐρυθριᾷς τὰ τῶν ἀλόγων δεινότερα». κἀκείνου τὴν ἐξέλευσιν αἰτουμένου καὶ τὴν εἰς Χριστὸν πίστιν παρέχοντος, ἡ Δαρεία τῷ θηρὶ τὴν ἔξοδον τῷ ἀνδρὶ ἀκώλυτον ἐπιτρέπει ποιήσασθαι. γίνεται τοῦτο, καὶ κῆρυξ τῆς Χριστοῦ δυνάμεως ὁ ἄνθρωπος γίνεται. τινῶν οὖν πορευθέντων ἐφ' ᾧ τὸν θῆρα κατασχεῖν, ἐκεῖνος πάντας αὐτοὺς συλλαβόμενος πρὸ τῶν ποδῶν τῆς ἁγίας ὑφήπλωσε, ῥυσθῆναι δεομένους αὐτῆς. πρὸς οὓς ἡ Δαρεία γλυκείᾳ τινὶ τῇ φωνῇ καὶ ἀταράχῳ τῷ λόγῳ «Πιστεύοντες» εἶπεν «εἰς Χριστὸν ἀβλαβεῖς, ὦ οὗτοι, πορεύσεσθε· εἰ δ' οὖν, ἀλλ' οἱ θεοὶ ἀντιλήψονται | ὑμῶν». πιστεύουσιν ἐκεῖνοι καὶ βοῶντες ἐξεπο-* col. 2 *ρεύοντο· «Πιστεύσατε, δῆμος Ῥωμαίων, μὴ ἕτερον εἶναι Θεόν, εἰ μὴ τὸν Χριστὸν μόνον, ὃν Δαρεία κηρύττει».*

11. Μανθάνει ταῦτα ὁ ὕπαρχος καὶ πῦρ ἀναφθῆναι πρὸς τῇ θύρᾳ κελεύει· φοβεῖται τὸ θηρίον καὶ τῇ ἁγίᾳ προστρέχει· ἀκούει παρ' αὐτῆς· «Ἔξελθε μηδὲν δεδιός». καὶ κλίνας τὴν κεφαλὴν καὶ τὴν προσήκουσαν αὐτῇ προσκύνησιν ἀπονείμας ἀβλαβὴς ὁ λέων ἐξῆλθε καὶ πρὸς νομὰς ἐχώρησε τὰς ἰδίας. μηνύεται ταῦτα τῷ βασιλεῖ, καὶ κελεύει Νουμεριανὸς βασάνων πολυτρόπων τοὺς ἁγίους ἰδέαις ὑποβληθῆναι, θῦσαι μὴ βουλομένους. ἀναρτᾷ τούτους Κελερῖνος ἐπὶ τοῦ ξύλου, δεσμοῖς ὑποβάλλει, πῦρ ὑφά||πτει κάτωθεν· καὶ f. 225 *τί γίνεται; πίπτει τὸ ξύλον, λύεται τὰ δεσμὰ καὶ τὸ πῦρ σβέννυται. ἀπαγγέλλει ταῦτα Κελερῖνος τῷ βασιλεῖ, καὶ μὴ θείαν δύναμιν ἐκεῖνος κρίνας τὸ πρᾶγμα, γοητείαν δέ τινα καὶ μαγείαν ὁ πλήρης μανίας καὶ γοητείας, βόθρον ὀρυγῆναι προστάττει κἀν τούτῳ βληθέντας τοὺς μάρτυρας λίθοις καταχωσθῆναι τῇ γῇ. γέγονε τοῦτο, καὶ τὸ μακάριον οὕτως οἱ Χριστοῦ θεράποντες ἀπηνέγκαντο τέλος, ἐννεακαιδεκάτην τοῦ Μαρτίου τρέχοντος, πολλῶν ἐν ἐκείνῳ τῷ τόπῳ τελεσθέντων θαυμάτων.*

12. Τοῦ ἐπιόντος οὖν ἔτους πλήθους συνδεδραμηκότος ἐν τῷ τόπῳ πολλοῦ πρὸς μνημόσυνον τῶν ἁγίων καί τινι σπηλαίῳ πλησίον τοῦ μαρτυρικοῦ τάφου τυγχά|νοντι τὴν θείαν τελοῦντος μυστα- col. 2

Rubro: v. 4 *Λέγει*, v. 10 *τοῦ|Το*, v. 19 *Ταῦτα*, v. 23 *Μηνύεται*, v. 35 *Τοῦ*
2 *ἀκοῦσαι τινὰ* 4, 9, 13, 18 *δαρεῖα* 20 *φοβεῖτε* 30 *κἂν*
36 *καί τινι: κἂν τινι?* 36 *σπιλαίῳ*

γωγίαν, Νουμεριανὸς ὁ δυσσεβὴς περὶ τούτου μαθὼν ἀποφραγῆναι μὲν κελεύει τὸ σπήλαιον, ἄνωθεν δὲ διορυγῆναι καὶ κατὰ τῶν συνειλεγμένων ἐπαφεθῆναι. μετασχόντες οὖν τῶν ἁγιασμάτων πάντες οὕτω τὸ μαρτυρικὸν ἐδέξαντο τέλος. ἐν οἷς ἦν Διόδωρος ὁ πρεσβύτερος, Μαριανὸς ὁ διάκονος καὶ πλῆθος ἄλλο κληρικῶν τε καὶ λαϊκῶν οὐκ ὀλίγον, ὧν τὰ ὀνόματα καλῶς ἡ βίβλος φέρει τῶν ζώντων.

13. Ταῦτά σου, Χρύσανθε, τὰ διὰ Θεὸν ἀγωνίσματα καὶ παλαίσματα· καὶ νῦν σὺν τῇ κατὰ πνεῦμα συζύγῳ σου καὶ σοφωτάτῃ Δαρείᾳ καὶ τοῖς ἄλλοις συνάθλοις ταῖς οὐρανίαις σκηναῖς ἐμφιλο- f. 225v *χωροῦντες νέμοιτε ταῖς πρὸς Χριστὸν ὑμῶν εὐκτικαῖς || ἱκεσίαις καὶ βασιλεῖ ἡμῶν τῷ πρᾴῳ καὶ θεοστεφεῖ καὶ τὰ πάντα καλῷ μονῶν ὑμῶν τὴν καλὴν κατοικίαν, ἵλεων καὶ συμπαθῆ τὸν ἀδέκαστον καὶ μέγαν κριτήν, χώρας δικαίων τὴν ἡδυτάτην τέρψιν, ἀΰλου δόξης* col. 2 *τὴν φαι|δρὰν μετουσίαν, ἡλίου θείου τὴν χάριν καὶ τὴν λάμψιν, πάντων τῶν καλῶν τὴν μέθεξιν πλουσίως καὶ βασιλείας οὐρανῶν κληρουχίαν· ὅτι αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.*

Μηνὶ τῷ αὐτῷ κ'.

ΜΑΡΤΥΡΙΟΝ ΤΗΣ ΑΓΙΑΣ ΦΩΤΕΙΝΗΣ ΤΗΣ ΣΑΜΑΡΕΙΤΙΔΟΣ ΚΑΙ ΤΩΝ ΣΥΝ ΑΥΤΗι.

1. Μακαριστοὶ μὲν τῷ ὄντι καὶ πάντες οἳ τὰς τοῦ ἐμοῦ Χριστοῦ col. 2 *διατριβὰς ἐν τῷ βίῳ κατεῖδον καὶ τὰ περιφανῆ τούτου | καὶ ξένα τεράστια· μακαριστότεροι δὲ πολλῷ μᾶλλον οἱ καὶ προσομιλήσαντες καὶ κατακόρως τῆς γλυκείας ἐκείνου καὶ μεγάλης ἐπαπολαύσαντες* f. 226 *διδαχῆς, οὐκ ἄνδρες μόνον, ἀλλὰ || δὴ καὶ γυναῖκες· οὐδὲ γὰρ ἀποκέκλεισται πάντως αὐταῖς ἡ τοῦ καλοῦ κτῆσις καὶ ἡ ἀπόλαυσις, ἐπεὶ καὶ ζῶντι Χριστῷ κατὰ τὸ ἀνθρώπινον καὶ συνείποντο καὶ τῆς ἐκείνου διδασκαλίας τοῖς ἀποστόλοις κοινῇ συναπέλαυον, ναὶ δὴ καὶ πρῶται μετὰ τὴν ἀνάστασιν τοῦτον κατεῖδον καὶ πρῶται κατεμήνυσαν ταύτην.*

Rubro: v. 3 *Τῶν*, v. 8 *Ταῦτά*, v. 12 *Μονῶν*, v. 16 *Πάντων*, v. 22 *Μακαριστοὶ* 29 *συναπήλαυον*

2. Τῶν οὖν κατὰ τὰς αὐτοῦ διατριβὰς ἐντυχουσῶν αὐτῷ γυναικῶν καὶ τοῦ καλοῦ νάματος τῆς ἐκείνου μετασχουσῶν διδαχῆς μία τίς ἐστι καὶ ἡ προτεθεῖσα νῦν ἡμῖν εἰς διήγησιν, ἡ περικαλλής φημι καὶ φωτεπώνυμος Φωτεινή, ἥτις παρ᾽ αὐτὸ δὴ τὸ φρέαρ τοῦ Ἰακὼβ τὸ μέγα φῶς κατιδοῦσα Χριστόν, ὡς ἡ τοῦ Εὐαγγελίου φωνὴ διέξεισιν ἐναργῶς, καὶ τὴν ψυχὴν ἐλλαμφθεῖσα, | τὸν πρότερόν col. 2 *τε μεταβαλοῦσα βίον τοσοῦτον εἰς ὕψος ἀρετῶν ἀνηνέχθη καὶ ὅλη τῷ πόθῳ συνεδέθη τῷ πρὸς αὐτόν, ὡς καὶ τὸ ὑπὲρ αὐτοῦ μαρτύριον καλῶς καὶ προθύμως τελέσαι· καὶ ὅπως, ὁ λόγος σαφῶς παραστήσει.*

3. Ἄρτι τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τὸ πάθος καὶ τὴν ἀνάστασιν εἰς οὐρανοὺς ἀνεληλυθότος καὶ τοῦ παναγίου πνεύματος τοῖς ἀποστόλοις ἐπιφοιτήσαντος καὶ τούτων τὴν σύμπασαν διαλαχόντων τῷ τοῦ λόγου κηρύγματι, καὶ ἡ θαυμαστὴ Φωτεινὴ κῆρυξ τοῦ μεγάλου θαύματος τοῖς ἀνθρώποις ἐγίνετο. κατὰ γὰρ τοὺς χρόνους Νέρωνος τοῦ δυσσεβοῦς, ἡνίκα καὶ οἱ μέγιστοι τῶν ἀποστόλων ἐν Ῥώμῃ τὸν τοῦ μαρτυρίου τετελέκασι δρόμον, || Πέτρος φημὶ καὶ Παῦλος, ἡ μακαρῖτις αὕτη σὺν Ἰωσῇ f. 226v *τῷ ταύτης υἱῷ καὶ τὰς ἄλλας μὲν διαδραμοῦσα πόλεις, ἀλλὰ καὶ μέχρις αὐτῆς Καρταγένης φθάσασα τὸ τοῦ Χριστοῦ σαφῶς ἐκήρυττεν Εὐαγγέλιον, συνεπομένας ἔχουσα καὶ τὰς φερωνύμους τῶν ἀδελφῶν αὐτῆς Φωτώ, Φωτίδα, Παρασκευὴν καὶ Κυριακὴν καί τινα ἕτερον Ἀνατόλιον καλούμενον, χρηστὸν ἄνδρα καὶ τὰ θεῖα σοφόν. τότε τοίνυν Βίκτωρ ὁ τῆς Φωτεινῆς δοκιμώτατος ἐν πολέμοις καὶ πρῶτος υἱός, ἐν τῇ τῶν Ἀβάρων εὐδοκιμηκὼς συμβολῇ καὶ τούτους κατὰ κράτος ἡττήσας, στρατηλάτης ὑπὸ Νέρωνος ζώννυται κἂν τῇ Γαλλίᾳ πέμπεται, διατάγματα λαβὼν βασιλικὰ τοὺς ὅσοι τὰ χρι|στιανῶν πρεσβεύοντες εἶεν αἰκισμοῖς παραδίδοσθαι σφοδροτάτοις,* col. 2 *εἶτα μὴ πειθομένους μεταθέσθαι τῆς γνώμης καὶ τῇ διὰ ξίφους ὑπάγεσθαι καταδίκῃ.*

4. Τούτων οὖν αὐτῷ τῶν διαταγμάτων ἐγχειρισθέντων οὗτος οὐ μόνον οὐ πρὸς τιμωρίας ἐχώρει τῶν εἰς Χριστὸν πιστευόντων, ἀλλὰ καὶ θεραπείαν ἅπασαν ἐπῆγεν αὐτοῖς καὶ λόγοις ὑπεστήριζε πρὸς τὴν αὐτοῦ βεβαίαν καὶ ἀληθεστάτην θρησκείαν, πᾶσαν εἰς αὐτοὺς ἐνδεικνύμενος τὴν δέουσαν τιμὴν καὶ τὴν χάριν· οἷς δῆτα καὶ τὸν δοῦκα Σεβαστιανὸν μεθ᾽ ἑτέρων οὐκ ὀλίγων ἄλλων πρὸς τὴν εἰς Χριστὸν πίστιν μετάγει καὶ θρέμματα τούτου ποιεῖ λογικά.

Rubro: v. 1 *Τῶν*, v. 11 *με|Γάλου*, v. 16 *Γὰρ*, v. 24 *Βίκτωρ*, v. 31 *Τούτων*
3 *περικαλλὴς φημὶ* 15 *κήρυξ* 18 *μακαρίτις* 22 *φωτῶ*
23 *ἕτερον: ἑταῖρον?* 25 *συμβολὴ* 26 *κἂν*

5 *ἡ τοῦ Εὐαγγελίου φωνή:* Io. 4, 5—42.

f. 227 τί οὖν τὸ ἐντεῦθεν; μανθάνει ταῦτα βασιλεύς· τῷ || αὐτοῦ τούτους
παρίστησι βήματι· ἐρωτᾷ, τίνες τε εἶεν καὶ ὅθεν καὶ τί τὸ σέβας
αὐτοῖς, τὸν Σεβαστιανὸν μόνον ἅτε γνώριμον διὰ τιμῆς ἄγων καὶ
λόγους προσάγων ἐπαγωγοὺς εἰς ἀπώλειαν. ἀλλ' ἐπεὶ μάθοι παρ'
ἀμφοτέρων καὶ χριστιανοὺς αὐτοὺς εἶναι καὶ ἀμεταθέτως πρὸς τὴν
εἰς Χριστὸν ἔχειν ἀγάπην καὶ μὴ ἄν, εἴ τι καὶ γένοιτο, μεταπεισθῆ-
ναι τούτους, πρῶτα μὲν κελεύει, καὶ συντρίβονται, φεῦ, τὰς χεῖρας
οἱ μάρτυρες, εἶτα καὶ πελέκει ταύτας τῶν ὤμων αὐτῶν ἀποτέ-
μνονται.

5. Καὶ ταῦτα μὲν ὁ πονηρὸς βασιλεύς· ὁ ἀγαθὸς δὲ καὶ μέ-
γιστος οὐκ ἠμέλησε περὶ τὴν τῶν οἰκείων δούλων ἀντίληψιν, ἀλλ'
ὁμοῦ τῇ φυλακῇ παρεδόθησαν σὺν Ἰωσῇ τῷ τοῦ Βίκτωρος ἀδελφῷ,
col. 2 καὶ θεία δύναμις ὑγιεῖς | αὐτοὺς ἀπέδειξεν ὡς τὸ πρότερον. ἡ τοίνυν
θαυμαστὴ Φωτεινὴ τῷ παλατίῳ διατρίβειν παρὰ βασιλέως ἐγκε-
λευσθεῖσα (ᾐδεῖτο γὰρ αὐτὴν ὁ παράνομος) τὴν τούτου παῖδα Δο-
μνίναν καὶ τὰς ὑπηρετουμένας αὐτῇ λόγοις θείοις παιδεύσασα, διδά-
ξασά τε καὶ κατηχήσασα τῷ ἁγίῳ βαπτίσματι τετελείωκεν. ἅπερ
γνοὺς ὁ βασιλεύς, ὡς οἱ τῇ φυλακῇ παραδοθέντες ὑγιεῖς γεγόνασι
καὶ ἀκέραιοι καὶ ὡς αἱ τοῦ παλατίου γυναῖκες ταῖς τῆς Φωτεινῆς
μετεπείσθησαν διδαχαῖς καὶ πρὸς τὴν τῶν χριστιανῶν ἐξέκλιναν
πίστιν, καμίνῳ τοὺς ἁγίους ἀπορριφῆναι προσέταξεν· ἀλλὰ κἂν
ταύτῃ Θεὸς ἐν μέσῳ τῶν ἰδίων θεραπευτῶν εὕρηται, καὶ ψυχρο-
f. 227v τέρου τοῦ πυρὸς καὶ χιόνος ἀποφανέντος || ἀβλαβεῖς οἱ ἀθληταὶ
διεσώθησαν.

6. Μαίνεται πρὸς ταῦτα δεινῶς ὁ δεινὸς βασιλεὺς καὶ φάρμακα
πρὸς πόσιν δοθῆναι τοῖς μάρτυσιν ἐγκελεύεται· δίδονται τούτοις
παρὰ τοῦ φαρμακοῦ. καὶ τί γίνεται; μεγάλη σου, Χριστὲ βασιλεῦ, ἡ
παντοδύναμος χείρ· ἀσινεῖς διαμένουσι, καὶ πολλοὶ τῶν δρώντων
πρὸς τὴν τοῦ Χριστοῦ μετάγονται πίστιν, ἀλλὰ καὶ αὐτὸς οὗτος ὁ
τὰ φάρμακα κερασάμενος· ὃς πολλὰς πρότερον διὰ Χριστὸν ὑπο-
μείνας κολάσεις, ἐπεὶ μὴ πεισθῆναι πρὸς ἄρνησιν ἐλθεῖν ἠνέσχετο
τοῦ Χριστοῦ, ξίφει τὴν κεφαλὴν ἀποτέμνεται.

7. Τότε δὴ οὖν, τότε θυμοῦ γεμισθεὶς ὁ παράνομος βασιλεὺς
μόλυβδον πυρὶ λυθέντα κελεύει καὶ τῷ στόματι τῆς Φωτεινῆς
col. 2 ἐγχεθῆναι, κατα|φλέξειν ἐντεῦθεν καὶ τὰ μυστήρια τῆς γαστρὸς
αὐτῆς ἀπειλῶν ὁ ἀνόσιος, ναὶ δὴ καὶ τοῖς ὠσὶ τῶν συναθλούντων
ἐνιέναι τὸ ζέον τοῦ μολύβδου προστάττει. γίνεται τοῦτο, καὶ ὡσεὶ

Rubro: v. 1 Τὸ, v. 4 Ἀλλ', v. 14 Θαυμαστὴ, v. 25 Ταῦτα, v. 32 Δὴ, v. 37 Γίνεται

2 τίνες τὲ 28 ἀσηνεῖς

ὕδωρ ἐξεχύθη καὶ διεσκορπίσθη πᾶς ὁ καταχεθεὶς αὐτῶν μόλυβδος, καὶ ἀβλαβεῖς οἱ ἅγιοι διαμεμενήκασιν. μὴ συνεὶς οὖν ὁ παράφορος ἐκεῖνος καὶ τῶν δαιμόνων θεραπευτὴς τὴν ταῦτα διενεργοῦσαν δύναμιν καὶ σιδηροῖς ὄνυξι, φεῦ, τὰς σάρκας αὐτῶν ἀφειδῶς καταξαίνει, ναὶ δὴ καὶ τέφραν τοῖς μυκτῆρσιν αὐτῶν μετ' ὄξους ἀνακραθεῖσαν ἐγχέει καὶ σιδήρῳ τοὺς ὀφθαλμοὺς ἐξορύττει καὶ φρουρᾷ ζοφώδει τούτους ἐγκατακλείει, πλήρει μὲν ὄφεων ἰοβόλων, πλήρει
δὲ καὶ ἄλλων || ἑρπόντων θανατηφόρων ζώων. καὶ ὅρα μοι τοῦ f. 228
Θεοῦ τὰ παράδοξα· στερροὺς μὲν ἀποδεικνύει τοὺς μάρτυρας ταῖς τῶν σφοδροτάτων ἐπαγωγαῖς κολάσεων καὶ καρτερικούς, κοιμίζει δὲ καὶ τὰ παντοδαπὰ γένη τῶν ἑρπετῶν καὶ ἀβλαβεῖς αὐτῶν αὐτοὺς διασώζει, φῶς τε μέγα ποιεῖ περιλάμψαι τὴν φυλακὴν καὶ εὐωδίαν ἡδύ τι καὶ χάριεν παρασκευάζει πνεῦσαι· ναὶ δὴ καὶ αὐτὸς οὗτος ὁ στεφοδότης καὶ τοῦ φωτὸς χορηγὸς παραγίνεται σὺν πλήθει στρατιᾶς οὐρανίου, Πέτρον ἔχων καὶ Παῦλον τοὺς μαθητὰς συνεπομένους αὐτῷ, καὶ ἅμα τε ἐνίσχυσε τοὺς ἁγίους καὶ «Εἰρήνη ὑμῖν» εἶπε καὶ ἀπῆλθεν ἀπ' αὐτῶν. οἱ δὲ «Δόξα σοι, κύριε ὁ Θεὸς
ἡμῶν», εἶπον, «ὅτι τοὺς εἰς σὲ πεποιθότας | οὐ παρεῖδες ἀθερα- col. 2
πεύτους, ὅτι τὴν ἡμῶν οὐδαμῶς ἀπέστησας προσευχὴν οὐδὲ τὸ μέγα σου καὶ θαυμαστὸν καὶ ὑπέρμετρον ἔλεος». ταῦτα προσευξάμενοι τῇ φυλακῇ προσκαρτεροῦντες ἦσαν καὶ ταῖς εὐχαῖς πᾶσαν κάκωσιν, πᾶσαν θλίψιν, πάντα πειρασμὸν ὑπομένοντες.

8. Τρεῖς ἐξ ἐκείνου χρόνοι παρῆλθον, καὶ μαθὼν ὁ παράνομος Νέρων ἔτι ζῆν αὐτοὺς καὶ τῆς αὐτῆς ἔχεσθαι γνώμης καὶ μηδεμίαν ὅλως μεταβολὴν αὐτοὺς δέξασθαι, ἐξάγει τῆς φυλακῆς καὶ σταυροῖ τούτους κατὰ κεφαλῆς καὶ βουνεύροις αἰκίζει τρισὶν ἐφ' ὅλαις ἡμέραις. ἄγγελος δὲ φωτὸς τούτοις ἐπιφανεὶς λύει τε τῶν δεσμῶν καὶ
τοὺς αὐτῶν εἰς ἅπαν θερα||πεύει μώλωπας. μαίνεται τούτοις ὁ f. 228v
δυσσεβὴς βασιλεὺς καὶ τὴν καλὴν παραστησάμενος Φωτεινήν, τὴν τῆς σαρκὸς ἀποδέρει δορὰν καὶ ἐν ξηρῷ καταχώννυσι φρέατι, Φωτεινὸν δὲ καὶ Χριστόδουλον καὶ Σεβαστιανὸν ὁμοίως ἐκδαρῆναι προστάξας, τέμνει τε καὶ τὰ τούτων, οἴμοι, ὁ καὶ θηρίων αὐτῶν ἀγριώτερος μόρια καὶ παλαιῷ τούτους ἐγκαθείργνυσι βαλανείῳ· ὡσαύτως καὶ τὰς ἁγίας γυναῖκας πρότερον ἐκδαρῆναι κελεύσας, οὕτω καὶ τοὺς αὐτῶν, φεῦ, ἐκτέμνει μαστούς· τὴν δέ γε θαυμαστὴν Φωτίδα μεθ' ὃ τῆς δορᾶς ἀπεγύμνωσε δένδρεσι προσδεθῆναι δυσὶ χεῖρας ἅμα καὶ πόδας βίᾳ κλιθεῖσιν ὑφ' ἓν προσέταξεν ὁ κατάρατος,

Rubro: v. 2 συ|Νεὶς, v. 17 Οἱ, v. 23 Ἐξ, v. 28 Τούτοις

7 ζοφώδη 12 φῶς τὲ 24 μὴ(δὲ)μίαν 27 λύει τὲ 32 τέμνει τὲ
34 ὡσαῦτως 36 μεθὸ

col. 2 εἶτα πρὸς τὰς ἰδίας ὁρμὰς ἀφεθῆναι τὰ | δένδρα καὶ οὕτω διασπασθῆναι τὴν μάρτυρα· τοὺς δὲ λοιποὺς τῶν ἁγίων τῇ τοῦ ξίφους ἐκτομῇ καθυπάγει. καὶ τούτων οὕτω προβάντων αὐτοὶ μὲν εἰς χεῖρας ἀγγέλων παρέθεντο τὰς ψυχάς.

9. Σὺ δέ, καλλίνικε μάρτυς καὶ φωτεινὴ Φωτεινή, πλείστας ἐγκαρτερήσασα τῷ ξηρῷ φρέατι τὰς ἡμέρας, τὸ πνεῦμα καὶ αὐτὴ χερσὶ παρέθου Θεοῦ, ὃν τεθέασαι, ᾧ προσωμίλησας, παρ' οὗ πρὸς τὴν καλὴν πορείαν ἐξεπαιδεύθης· καὶ νῦν τῷ τούτου θρόνῳ παρισταμένη σὺν τοῖς συνάθλοις σου καὶ τῶν ἀπορρήτων ἐκείνων καλῶν ἀπολαύουσα, αἴτησαι σὺν αὐτοῖς δοθῆναι καὶ βασιλεῖ ἡμῶν · τῷ εἰρηνικῷ καὶ φιλοθέῳ καὶ Χριστοῦ μαθητῇ μακρὰν τὴν ζωὴν καὶ f. 229 ἄλυπον καὶ πλήρη καλῶν, ἰσχὺν κατ' ἐχθρῶν καὶ κράτος || ἀπρόσμαχον, χειρὸς θείας τὴν δυναστείαν καὶ τὴν ἀντίληψιν, αἰωνίων τε μονῶν σὺν ἁγίοις τὴν κατοικίαν, ἡλίου τοῦ ἀνεσπέρου τὴν ἔλλαμψιν, πάντων ἀγαθῶν τὴν μέθεξιν καὶ βασιλείας Θεοῦ τὴν ἀπόλαυσιν· ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ κα'.

ΜΑΡΤΥΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΜΑΡΤΥΡΩΝ ΤΡΟΦΙΜΟΥ ΚΑΙ ΘΑΛΛΟΥ, ΜΑΡΤΥΡΗΣΑΝΤΩΝ ΕΝ ΛΑΟΔΙΚΕΙΑι.

1. Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν δυσσεβῶν τὰ τῆς Ῥωμαϊκῆς ἐπικρατείας ὡς οὐκ ὤφελε διιθυνόντων σκῆπτρα καὶ col. 2 Ἀσκληπιοδότου τῆς Λαοδικείας ἡγεμονεύοντος, δι|ωγμὸς μέγας κατὰ χριστιανῶν ἐκινεῖτο· καθ' ὃν δὴ χρόνον Τρόφιμος καὶ Θαλλὸς οἱ καλλίνικοι, τῆς Στρατονικείας ἐξωρμημένοι, πρὸς τὸ μαρτύριον ἦλθον. κατασχεθέντες γὰρ ὑπὸ τῶν ἐπὶ τούτῳ τεταγμένων τοῦ f. 229v ἄρχοντος ὑπηρετῶν τῷ βήματι τούτου προσήχθησαν· || καὶ ἐπείπερ ὅθεν τε εἶεν καὶ ὅπως καλοῖντο καὶ τί τὸ σέβας διερωτῶν ἐκεῖνος ἐμάνθανεν, ὅτιπερ ἐκ Στρατονικείας μὲν ἐξώρμηνται, Τρόφιμός τε καὶ Θαλλὸς κατονομάζονται καὶ χριστιανοὶ τὴν θρησκείαν εἰσὶ

Rubro: v. 5 *Μάρτυς*, v. 11 *Μακρὰν*, v. 15 *Πάντων*, v. 21 *Διοκλητιανοῦ*, v. 26 *Κατασχεθέντες*

7 *προσομίλησας* 13 *αἰονίων τὲ* 28 *ὅθεν τὲ* 30 *κατωνομάζονται*

καὶ τὸν Χριστὸν Θεὸν ὁμολογοῦσι καὶ τῶν ὅλων δημιουργόν, φησὶ πρὸς αὐτούς· «Καὶ ἵνα τί μὴ πείθεσθε τοῖς τῶν βασιλέων προστάγμασι καὶ θεοῖς θυσίαν προσάγετε»; — «Ὅτιπερ» εἶπον οὗτοι «χριστιανοί, καθὰ δὴ προείπομεν, ἐσμὲν καὶ θυσίαν εἰδώλοις ἀψύχοις οὔποτε προσενέγκωμεν». τότε θυμωθεὶς ὁ κατάρατος λίθοις αὐτοὺς ἐκέλευσε βάλλεσθαι καὶ οὕτω τῆς παρούσης ἀπαλλαγῆναι ζωῆς. γίνεται τοῦτο, καὶ οὐχ ἥψαντο αὐτῶν οἱ | λίθοι τὸ σύνολον, col. 2 ἀλλ' ἀβλαβεῖς Θεοῦ νεύμασιν ἀπορρήτοις διεφυλάχθησαν· διὸ καὶ τῇ φυλακῇ παρεδόθησαν.

2. Ἡμέραι παρῆλθον οὐχὶ συχναί, καὶ Πρόκλος ὁ κομενταρήσιος τῷ ἡγεμόνι προσιὼν ἀναφέρει τὰ περὶ τούτων· καὶ ὃς ἅμα τῷ βήματι τούτους παραστησάμενος «Πῶς» ἔφη τοῖς ὑπηρέταις «πρὸ πολλῶν τῶν ἡμερῶν καταλευσθῆναι τοὺς ἀνοσίους τούτους προστεταχότος μου παρ' οὐδὲν ἔθεσθε τὰ κεκελευσμένα»; καὶ ὁ κομενταρήσιος· «Πάντα γέγονε κατὰ τὴν σὴν κέλευσιν, κύριε, πλὴν οὐδαμῶς αὐτῶν οἱ λίθοι καθήψαντο, ἀλλ' ὥσπερ πρός τι χαλκοῦν βαλλόμενοι τεῖχος ἐξεκυλίοντο, μηδὲ τὴν τυχοῦσαν τούτοις πληγὴν ἐμποιήσαντες· || διὸ καὶ τῇ φυλακῇ τούτους ἐπὶ μικρὸν παραδόντες f. 230 τῷ ταῖς φροντίσι σε τῶν δημοσιακῶν ἐνασχολεῖσθαι πραγμάτων, τὰ νῦν σου τούτους τῷ βήματι παρεστήσαμεν, ἵν' ὃ κελεύεις προστάξῃς ἐπὶ τούτοις, καὶ γένηται».

3. Τότε τοίνυν ὁ μισόχριστος τύραννος χαλεπῶς ἀναρτηθέντας ξέεσθαι τούτους ἐκέλευσεν ἐπὶ τοσοῦτον, ὥστε τῇ τῶν ὡρῶν παρατάσει καὶ τῇ σφοδρότητι τῶν ξυστήρων ἀπογυμνωθῆναι τῶν σαρκῶν τὰ ὀστᾶ καὶ θέαμα προκεῖσθαι τοῖς βλέπουσιν αὐτοὺς ἐλεεινὸν ὁμοῦ καὶ δακρύων ἄξιον. ἀλλὰ καὶ οὕτω πάσχουσιν ὁ τύραννος πρὸς αὐτοὺς «Θύσατε» φησὶ «τοῖς θεοῖς, μὴ ἀνθιστάμενοι τῷ τοῦ Καίσαρος νόμῳ, καὶ ἀπαλλά|γητε τῶν κολάσεων». ὡς οὖν οἱ καλ- col. 2 λίνικοι μάρτυρες ὕβρεσιν ἔβαλλον αὐτόν τε καὶ βασιλεῖς αὐτοῦ καὶ θεούς, σταυρωθῆναι καταδικάζονται. πλῆθος οὖν ἠκολούθει τούτοις ἀπαγομένοις ἐπὶ τὸ σταυρωθῆναι ἀνδρῶν ἅμα καὶ γυναικῶν· οὐδὲ τὸ δοῦλον αὐτὸ γένος ἀπελιμπάνετο. καὶ ἦν σύμμικτος ὀδυρμός, πάντων ἀνιωμένων ἐπὶ τῷ παρανόμῳ τούτῳ προστάγματι. καὶ γὰρ ἦν ὁρᾶν τὰ πρόσωπα τῶν ἁγίων ἡλίου δίκην ἐκλάμποντα· διὸ καὶ ἐμεγάλυνε τὸ πλῆθος τὸν κύριον.

4. Τὸν τόπον οὖν καταλαβόντες εἰς προσευχὴν ἑαυτοὺς ἔστησαν οἱ τρισόλβιοι, τὸν ἀγαπητὸν παῖδα Θεοῦ τὸν κύριον ἡμῶν Ἰησοῦν

Rubro: v. 5 Θυμωθείς, v. 10 Ἡμέραι, v. 14 Καί, v. 22 τοί|Νυν, v. 28 Ὡς, v. 36 Καταλαβόντες

17 μήδὲ   29 αὐτόν τὲ

f. 230ᵛ Χριστὸν εἰς βοήθειαν αὐτῶν ἐκ‖καλούμενοι. ὁ τοίνυν σπεκουλάτωρ, θείας χάριτος ἀψαμένης αὐτοῦ τῆς ψυχῆς, δάκρυα προΐει τῶν ὀφθαλμῶν, «Κύριε ὁ Θεός» εἰπών, «ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν, μὴ στήσαις μοι τὴν ἁμαρτίαν ταύτην, ὅτιπερ φόβῳ τοῦ ἄρχοντος καὶ τῶν βασιλέων τὰ κελευόμενα ποιῶ». τῶν δημίων οὖν σταυρῷ τούτων ἕκαστον ἀναρτησάντων ἐπῆρε τὸ πλῆθος φωνήν, «Ἀνοσία» λέγοντες, «παράνομος, ἀσεβὴς ἡ κρίσις· τί γὰρ ἐναντίον πέπρακται τοῖς δικαίοις»; εἶτα καὶ φωνῇ καθάπερ μιᾷ «Δόξα σοι, Χριστέ», μέγα ἀνέκραγον, «ὅτι σου κἂν τοῖς καιροῖς τούτοις ἡ δύναμις ἐπὶ τοῖς ἁγίοις σου τούτοις ἐδείχθη».

col. 2 5. Τότε δὴ τότε στάσις ἐγένετο καὶ θόρυβος ἤρ|θη πολύς. γυνὴ δέ τις Ἰουδαία, Σαμάρα λεγομένη, προσιοῦσα προσεκύνει τοὺς μάρτυρας καὶ ἀσπασμοῖς ἐτίμα, «Μακαρία» λέγουσα «καὶ μήτηρ καὶ πόλις ἡ ὑμᾶς τεκοῦσα καὶ θρεψαμένη· οὐ πρότερον γὰρ ἐγνωρίσθη τινῶν ἐξ ἄλλων προτερημάτων ἐπίσημος, ὡς νῦν ἐξ ὑμῶν». πολλοὶ οὖν καὶ ἕτεροι τὰς ἐκχύσεις τῶν αἱμάτων αὐτῶν ὑπεδέχοντο πίστει· ἃ δὴ καὶ γέγονε τούτοις νοσημάτων παντοίων ἰάματα. οἱ τοίνυν τοῦ Χριστοῦ μάρτυρες ἐπὶ ὥρας ἱκανὰς διενεγκόντες τὴν σταύρωσιν, εἰς οὐρανοὺς ἑαυτοὺς ἀνατείναντες, παρέθεντο χερσὶν ἀγγέλων τὰ πνεύματα. τῶν πιστῶν δὲ τὸ πλῆθος φιλοτίμως αὐτοὺς κηδεύ-*f. 231* σαντες ταφῇ παρέθεντο, τῆς ‖ καθολικῆς ἐκκλησίας οἱ ἐξάρχοντες ἔνθα συμφέρον ἔκριναν, τῇ ἰδίᾳ τούτους πατρίδι παραπέμψαι βουλόμενοι.

6. Ἡ τοίνυν τοῦ δυσσεβοῦς ἡγεμόνος γυνὴ (ἡ εὐσεβὴς ἦν Εὐσεβία) δρομαία τῇ τῶν μαρτύρων προσιοῦσα σορῷ σινδόνας κομίζει καὶ μύρα καὶ τοῖς συνειλεγμένοις «Σήμερον, ὦ ἄνδρες», εἶπε, «τεθέαμαι καθ' ὕπνους ἐγὼ σὺν ἀγγέλοις τούτους δὴ τοὺς ἄνδρας ἀπεσταλμένους παρὰ Θεοῦ κατὰ τοῦ ἡγεμόνος, ὡς ἂν αὐτὸν τιμωρήσαιντο ὧν ἕνεκεν εἰς αὐτοὺς διεπράξατο· διὸ καὶ πρόσειμι τούτοις τῆς αὐτῶν βοηθείας δεομένη τυχεῖν· πιστεύω γάρ, ὡς ἀληθῶς Θεοῦ δοῦλοι τυγχάνουσι, δυνάμενοί με τῶν κολάσεων ἐξελέσθαι». καὶ ταῦτα μὲν ἡ γυνή, καλῶς ποιήσασα καὶ πιστεύσασα *col. 2* τῷ | Χριστῷ. Ζώσιμος δέ τις καὶ Ἀρτεμίσιος, ἄνδρες εὐλαβεῖς, τῆς Στρατονικείας ἐξωρμημένοι, τὰ τῶν μαρτύρων μετά γε χρόνον τινὰ συγκομισάμενοι λείψανα τῇ πατρίδι τούτων ἀπέθεντο, φύλακας ἀκριβεῖς, φρουροὺς ἀσφαλεῖς, ἰατροὺς ἀμίσθους καὶ ψυχῶν καὶ σωμάτων.

Rubro: v. 1 Σπεκουλάτωρ, v. 5 δη|Μίων, v. 11 Τότε δή, v. 16 ἕ|Τεροι, v. 18 Χριστοῦ, v. 23 τοί|Νυν, v. 32 Καὶ

9 κᾶν 12 ἰουδαῖα 32 ἀρτεμήσιος

3—4 ὁ ἐν — ἐφορῶν: Psalm. 112 (113), 5. 4 μὴ — ταύτην: cf. Act. ap. 7, 60.

7. Ἑορτῆς οὖν μετὰ ταῦτα γενεθλιακῆς τελουμένης τῶν βασιλέων, ὀργὴ τοῦ Θεοῦ κατέλαβε τὸν ἡγεμόνα, καὶ ἦν ἐταζόμενος μάστιξιν ἀοράτοις καὶ πρὸς τοὺς αὐτοῦ θεοὺς ἐξυβρίζων καὶ ἀσθένειαν καταγινώσκων αὐτῶν καὶ πυρίναις, ὡς ἔλεγε, ῥάβδοις δεινῶς αἰκιζόμενος. ἐξ οὗ δὴ πολλοὶ μὲν ἄλλοι πρὸς τὴν πίστιν ἐνήγοντο τοῦ Χριστοῦ, αὐτὸς δὲ ταῖς ἀοράτοις ταύταις βασάνοις μέσος
ἐναπο||ληφθεὶς ἀπέρρηξεν ἐν κακῷ τὴν ψυχήν. καὶ ταῦτα μὲν ἐπὶ f. 231v
τούτοις.

8. Ὑμεῖς δέ, ὦ πανθαύμαστοι μάρτυρες, τῶν μεγάλων τούτων καμάτων τὰς ἀντιδόσεις πλουσίας ἀπολαμβάνοντες καὶ περὶ τὸν ποθούμενον Χριστὸν συγχορεύοντες αἰτήσασθε καὶ βασιλεῖ ἡμῶν τῷ πράῳ καὶ ἡσύχῳ καὶ φιλομάρτυρι μέγιστα κατὰ τῶν ἀντιπάλων
τὰ τρόπαια, | ἰσχύος Θεοῦ τὴν ἀντίληψιν, χειρὸς αὐτοῦ θείας τὴν col. 2
συμμαχίαν, ἀύλου τε δόξης τὴν μετουσίαν, ἡμέρας μακρᾶς τὴν φαῦσιν καὶ τὴν δόξαν, λειμώνων θείων τὴν τέρψιν καὶ τὴν χάριν, πάντων τῶν καλῶν εὐπρεπεστάτην δόσιν καὶ βασιλείας Θεοῦ τὴν εὐκληρίαν· ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ κβ΄.

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΚΑΛΛΙΟΠΙΟΥ.

1. Μαξιμιανοῦ τοῦ τυράννου κακῶς τὴν βασι|λείαν διέποντος col. 2
καὶ διατάγματα πανταχοῦ θεομισῆ προτιθέντος, ἀρνεῖσθαι τὸν
Χριστὸν || καὶ θυσίας προσάγειν τοῖς ἐναγέσι δαίμοσι διακελευόμενα, f. 232
πάντες ὅσοι τῆς εὐσεβείας ἀντεποιοῦντο καὶ τὸν εἰς Χριστὸν πόθον ἀμετάθετον εἶχον, τὰς τῶν δυσσεβῶν ἀπειλὰς δεδοικότες πόρρω τῶν οἰκείων ἐγίνοντο καὶ τὰς ἐρήμους ἠ[σπ]άζοντο.

2. Κατὰ γοῦν τοὺς χρόνους ἐκείνους Θεοκλία τις, εὐσεβὴς γυνὴ καὶ φοβουμένη τὸν κύριον, ἐν Πέργῃ τῆς Παμφυλίας σὺν ἀνδρὶ πιστῷ διάγουσα, στεῖρα ἦν καὶ οὐκ ἔτικτε· διὸ καὶ προσευχαῖς κατὰ τὴν Ἄνναν πρὸς Θεὸν ἐκέχρητο καὶ δεήσεσι δοθῆναι ταύτῃ καρπὸν κοιλίας, ὡς ἂν δοτὸν αὐτῷ τοῦτον προσάξοιεν, ὡς εὐχῆς τέκνον

Rubro: v. 1 Ἑορτῆς, v. 9 Ὑμεῖς, v. 12 Μέγιστα, v. 16 Πάντων, v. 21 Μαξιμιανοῦ, v. 27 κα|Τὰ

5 *post* αἰκιζόμενος *spatium erasum septem fere litterarum* ibid. ἐνήγοντο 7 ἀπέρριξεν 26 ἠ[σπ]άζοντο: *litterae* σπ *evanidae* 27 Θεοκλία τίς

καὶ Θεοῦ δῶρον καὶ φύσεως ἀπαρχήν. ἔνθεν τοι καὶ συνέλαβε καὶ
col. 2 τέτοκε τὸν καλὸν | Καλλιόπιον καὶ ἅμα τὴν τοῦ συζύγου καθυπέμεινε
στέρησιν. τὴν ὕπαρξιν οὖν ἐκείνου πᾶσαν ἡ Θεοκλία (πλούσιος γὰρ
ὁ ἀνήρ) διαδεξαμένη καὶ τὸν υἱὸν μὲν ἀνῆγε καλῶς, ἀλλὰ καὶ ταύ-
την ἀμφοτέραις ἤντλει χερσὶ τοῖς χρῄζουσι· καὶ ἦν ὁ παῖς ἀναγό-
μενος παρὰ τῇ μητρὶ πρεπόντως καὶ τοῖς θείοις μαθήμασι παιδευ-
όμενος.

3. Τῆς εἰδωλομανίας δὲ πλατυνομένης ὥσπερ καὶ διανεμομένης
τὰ μέρη τῆς Παμφυλίας, ἡ μήτηρ τὸν ποθητὸν τοῦτον, ἄρτι τὴν
ἥβην ἐκβάντα, νηστείαις βλέπουσα προσκείμενον, ναὶ δὴ καὶ προσ-
ευχαῖς καὶ ὅλον ταῖς ἀρεταῖς καλλυνόμενον, δι' ἃς καὶ κατάδηλος
f. 232v γέγονε τοῖς Ἕλλησιν, ὡς εἴη χριστιανός, || καὶ δεδοικυῖα περὶ τούτου,
ἵνα μὴ τῷ βήματι τοῦ ἄρχοντος προσαχθῇ καὶ τιμωρίαις ὑποβληθῇ,
καλῶς τοῦτον ἐφοδιάσασα τὴν Πομπηΐου καταλαβεῖν τῆς Κιλικίας
παρασκευάζει· ἐν ᾗ χρόνον οὔτι μέτριον διαγαγὼν καὶ ταῖς ἀρεταῖς
ὡσαύτως προκόπτων ἅμα καὶ διαλάμπων, αἰδέσιμος τοῖς πᾶσι
καθίστατο.

4. Τοῦ δυσσεβοῦς οὖν Μαξίμου τὴν ἡγεμονίαν αὐτῆς ἐμπεπι-
στευμένου καὶ θυσίας τοῖς εἰδώλοις προσάγοντος, οὗτος ὁ ἱερὸς
νεανίας ξένα νομίζων τὰ πεπραγμένα, τί ἄρα καὶ θέλοι ταῦτα
εἶναι, διηρώτα σπουδαίως. μεμαθηκὼς δέ, ὡς ἑορτῆς θεῶν τὰ
τελούμενα χαρμοσύνου τυγχάνει, ναὶ δὴ καὶ προσκαλούμενος εἰς
col. 2 αὐτὴν παρὰ τῶν διδασκόντων, | «Οὐμενοῦν» ἔφη «τούτοις ἐγὼ
προσέλθω· χριστιανὸς γάρ εἰμι καὶ Χριστοῦ δοῦλος». μηνύεται
ταῦτα τῷ ἡγεμόνι· καὶ ὃς ἀχθῆναι τοῦτον εὐθὺς κελεύει, καὶ ἅμα
παρέστη, τίς καὶ ὅθεν καὶ πῶς καλοῖτο διηρωτᾶτο. κἀκεῖνος
«Χριστιανὸς» εἶπε «καὶ Παμφυλίας τῆς Πέργης καὶ Καλλιόπιος».—
«Καὶ ἵνα τί, τῶν ἄλλων συντιθεμένων ταῖς τῶν θεῶν θυσίαις,
αὐτὸς ἠλόγηκας αὐτῶν»; ὁ τύραννος ἔφη· «ἔστι σοι τοίνυν ὅμως
μετάμελος, ὅπως ἀπαλλαγήσῃ θύσας τῶν μενουσῶν σε κολάσεων;
εἰσὶ δὲ ἄρα σοι πρὸς γένος τινές»; καὶ ὃς «Μήτηρ» εἶπε «καὶ μόνη·
ὁ γὰρ πατὴρ ἐτεθνήκει· ἀλλὰ καὶ πρὸς τί με τοῦτο ἠρώτησας»; καὶ
f. 233 ὁ ἡγεμὼν «Νὴ τὸν ἥλιον» ἔφη «καὶ τοὺς ἄλλους θεούς, || εἰ τούτοις
θύσαις εὐγνωμονῶν, τὴν ἐμὴν ἐκδώσω σοι θυγατέρα πρὸς γάμους,
καὶ ἔσῃ ἄλλος ἐγώ». καὶ ὁ ἅγιος· «Πεπλάνησαι» εἶπεν, «ἡγεμών·
οὐδὲ γὰρ τὸν χοῦν τοῦτον, ὃν ὁ Θεὸς εἰς σῶμά μοι μετέπλασε,
σαρκικοῖς ἐγὼ μολύνω παθήμασιν, ἀλλ' ἄχραντον σπεύσω τῷ τού-

Rubro: v. 3 Τὴν, v. 8 Τῆς, v. 18 Δυσσεβοῦς, v. 21 Ὡς, v. 25 ταῦ|Τα, v. 31 Ὃς, v. 35 πεπλά|Νησαι

2 καθύπέμεινε 16 ὡς αὔτως 26 διηρῶτα 23 οὔμενοῦν 36 σῶμα μοι

του βήματι παραστῆσαι. πλὴν οὖν, εἴ γε καὶ πρὸς γάμους ἠβουλήθην ἐκκλῖναι, τὴν σὴν ἂν ἠξίωσα θυγατέρα λαβεῖν· ποίει τοίνυν τὸ σοὶ παριστάμενον· χριστιανὸς γάρ ἐγὼ καὶ Χριστοῦ δοῦλος». καὶ ὁ ἡγεμὼν «Παροξῦναι με βούλει, τρισάθλιε, τοῖςδε τοῖς λόγοις» φησίν, «ἵνα σε θανατώσω τὸ τάχος· ἀλλ' οὐδαμῶς σοι πάντως οὕτω τοῦτο γενήσεται· κατὰ μικρὸν δέ σου τὸ σῶμα καταναλώσας οὕτω καὶ πυρὶ παραδώ|σω». col. 2

5. Καὶ ἅμα κελεύει, καὶ δεσμεῖται τὰς χεῖρας ἐξ ἀγκώνων ὁ μάρτυς, καὶ τὸ καλὸν ἐκεῖνο σῶμα ταῖς μολιβίσι συνθλᾶται, εἶτα καὶ νεύροις ὠμοῖς τύπτεται κατὰ τῆς γαστρὸς καὶ τῶν νώτων. ἐπὶ πολὺ τοίνυν αὐτοῦ τυπτομένου «Θῦσον» εἶπεν ὁ ἡγεμών, «Καλλιόπιε, καὶ τάχος ἀπολυθεὶς ὄψει σου τὴν τεκοῦσαν καὶ τὴν πόλιν αὐτήν· ἢ οὐκ αἰσθάνῃ τῶν πικρῶν τούτων τιμωριῶν»; — «Ἐμοὶ μήτηρ» ὁ μάρτυς ἔφη «καὶ μᾶλλον ἡ τοῦ Χριστοῦ ἐκκλησία, πατρὶς δὲ ἡ ἐπουράνιος Ἱερουσαλήμ, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός». τότε τοίνυν κελεύσει τοῦ τυράννου τροχὸς τῷ μάρτυρι κατασκευάζεται φοβερὸς κἀν τούτῳ δεσμεῖται σφοδρῶς, ξίφη τε πήγνυνται πρὸς γῆν ξύλοις ἔν τισι καὶ πῦρ δεινὸν παρα||στρώννυται. στρέφεται f. 233v παρὰ τῶν ὑπηρετῶν ὁ τροχός, τέμνεται, φεῦ, τὰς σάρκας ὁ μάρτυς καὶ δεινῶς. καταφλέγεται καὶ «Δόξα σοι» λέγει, «Χριστὲ βασιλεῦ τῶν ἁπάντων, ὅτι με παθεῖν ὑπὲρ σοῦ κατηξίωσας· καὶ νῦν ἴδε μου τὰς ὀδύνας, ἴδε τὰς θλίψεις καὶ παράστηθι τῷ δούλῳ σου βοηθός, καὶ γνώτωσαν ἅπαντες, ὡς ὁ πεποιθὼς ἐπὶ σοὶ οὐ καταισχυνθήσεται». ταῦτα ἔφη, καὶ εὐθὺς ἄγγελος Θεοῦ προσελθὼν ἵστησι μὲν τὸν τροχὸν τῆς ὁρμῆς, σβέννυσι δὲ καὶ τὸ πῦρ, τῆς τῶν στρατιωτῶν ἐκλυθείσης ἰσχύος.

6. Τότε τοίνυν κατάγεται τοῦ τροχοῦ, τοῦ τυράννου κελεύσαντος, ὁ καλὸς νεανίας, πικρὸν θέαμα τοῖς ἁπάντων κείμενος ὀφθαλμοῖς, διατετμημένον | πᾶν μέλος ἔχων καὶ ἔξαρθρον, ὡς ἐπιβοᾶν col. 2 τὸ πλῆθος· «Ἀνοσία ἡ κρίσις». ὁ παράνομος οὖν καὶ ἀνόσιος ἄρχων ἐκέλευσε, καὶ σιδήροις αὐτὸν διαλαβόντες οἱ δυσσεβεῖς τῇ ἐσωτέρᾳ δεδώκασι φυλακῇ, δοξάζοντα τὸν Θεὸν καὶ αἰνοῦντα. μανθάνει ταῦτα σαφῶς ἡ μήτηρ τοῦ μάκαρος καὶ τί ποιεῖ; τὸ δοῦλον αὐτῆς ἅπαν ἐλευθεροῖ, πενήτων χερσὶ τὸν πλοῦτον ἐναποτίθεται, τῇ ἐκκλη[σίᾳ] τὴν ἀκίνητον κτῆσιν δίδωσι καὶ τὸν ποθητὸν υἱὸν τάχος καταλαμβάνει· βλέπει τοῦτον τοῖς κλοιοῖς βαρυνόμενον,

Rubro: v. 4 *Παροξῦναι*, v. 10 *Ἐπὶ*, v. 13 *Ἐμοί*, v. 24 *Ἔφη*, v. 27 *Κατάγεται*, v. 30 *Καὶ*, v. 33 *Ταῦτα*

2 ἐκκλίναι 4 παροξύναι 9 τοῖς μολιβίσι 17 ξίφη τὲ 35 ἐκκλη|[σίᾳ]: *litteras* σια *versus initio scriba omisit*

23 ὁ πεποιθὼς κτλ. cf. Psalm. 24 (25), 1.

ἐξωγκωμένον ἔχοντα ταῖς βασάνοις τὸ σῶμα καὶ περιβάλλει θερμῶς, περιπτύσσεται ποθεινῶς, «Μακαρία» λέγουσα καλῶς «ἐν μητράσιν f. 234 ἐγώ, μάρ||τυρος μήτηρ γεγενημένη· νῦν με Χριστὸς ἐδόξασεν ὡς τὴν Ἄνναν, νῦν ὕψωσε, νῦν ἐμεγάλυνε τὸν τῆς ἐμῆς κοιλίας καρπόν, θυσίαν εὐάρεστον προσδεξάμενος· ἀπέχω τὰ τροφεῖα, τέκνον· εἶδον ὑπὲρ ἀρετῆς σε καλῶς διηγωνισμένον».

7. Ταῦτα καὶ τὰ τούτοις ὅμοια δάκρυσι καὶ χαρᾷ πρὸς τὸν υἱὸν εἰποῦσα συνῆν αὐτῷ διὰ πάσης ἐκείνης τῆς νυκτός· περὶ δὲ τὸ μέσον αὐτῆς φῶς μέγα περιέλαμψεν αὐτοὺς καὶ φωνὴ ἐγένετο λέγουσα· «Θάρσει, Καλλιόπιε, ἀνδρίζου καὶ ἴσχυε· ἡτοίμασται γάρ σοι πάντως ἡ τῶν οὐρανῶν βασιλεία». ταύτης τῆς φωνῆς γενομένης ἦν σὺν τῇ μητρὶ προσευχόμενος καὶ δοξάζων τὸν κύριον· πρωΐας δὲ γενομένης μετακαλεῖται τῆς φυλακῆς ὁ ἡγεμὼν τὸν μακάριον | col. 2 καὶ «Κἂν νῦν» ἔφη «πέπεικας σαυτόν, Καλλιόπιε, θῦσαι τοῖς θεοῖς καὶ ἀπαλλαγῆναι τῶν μενουσῶν σε κολάσεων»; καὶ ὁ ἅγιος «Θαυμάζω σου τὴν ἀναίδειαν, ἡγεμών», εἶπεν, «ὅτιπερ ὅλως μεταπεῖσαί με νομίζεις ἀποστῆναι τῆς εἰς Χριστόν μου πίστεως, πολλάκις διαβεβαιωσάμενον, ὡς οὐκ ἀποστήσομαι ταύτης».

8. Τὸ ἀμετάθετον οὖν τοῦ μάρτυρος καταμαθὼν ὁ ἀνόσιος σταυρωθῆναι τοῦτον καταδικάζει. γίνεται τοῦτο, καὶ σταυροῦσαι, καλλίνικε Καλλιόπιε, καὶ τὴν ψυχὴν εἰς χεῖρας τοῦ πλάσαντος παρατίθεσαι· σταυροῦσαι δὲ κατὰ κεφαλῆς, ἐναντία τῆς τοῦ ἐμοῦ δεσπότου σταυρώσεως, καὶ φωνῆς ἀκούεις εἰς οὐρανούς σε καλού- f. 234ᵛ σης πρὸς τὸν || ποθούμενον· ἡ τοίνυν τεκοῦσά σε, καταβιβασθέντα τοῦ ξύλου λαβοῦσα καὶ μητρικῶς περιπλακεῖσα καὶ θερμά σου καταχέασα δάκρυα, τὴν ψυχὴν καὶ αὐτὴ χερσὶ παρέθετο τοῦ ποιήσαντος. πιστοὶ δέ τινες φιλοτίμως ὑμῶν τὰ σώματα περιστείλαντες ἐν σεμνῷ κατέθεντο τόπῳ. καὶ νῦν οἰκοῦντες τοὺς οὐρανοὺς καὶ τῷ δεσπότῃ col. 2 Χριστῷ παριστάμενοι αἰτήσασθε δοθῆναι βασιλεῖ ἡμῶν | τῷ ὀρθοδόξῳ καὶ φιλομάρτυρι μακρὰν τὴν ζωὴν καὶ ἀπήμονα, ἰλύος πάσης ἀπηλλαγμένην καὶ φόβου, χρηστότητα τρόπων καὶ σύνεσιν, ἀνόμων ἐθνῶν δι' αὐτῶν τὴν κατάλυσιν, ἡλίου τε πρὸς τούτοις τοῦ θείου τὴν ἔλλαμψιν, πάντων τῶν καλῶν τὴν μέθεξιν καὶ βασιλείας οὐρανῶν τὴν ἐπίδοσιν· ὅτι αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Rubro: v. 7 Ταῦτα, v. 11 Φωνῆς, v. 15 Καὶ ὁ ἅγιος, v. 19 Ἀμετάθετον, v. 30 Μακρὰν, v. 33 Πάντων

24 τεκοῦσασε

Μηνὶ τῷ αὐτῷ κγ΄.

ΜΑΡΤΥΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΤΟΥ ΧΡΙΣΤΟΥ ΜΑΡΤΥΡΩΝ ΤΡΟΦΙΜΟΥ ΚΑΙ ΕΥΚΑΡΠΙΩΝΟΣ. ||

1. Δεινὸν ὅτι καὶ λίαν μανικὸν τῶν περιβοήτων ἐπὶ δυσσεβείᾳ f. 235 *κατὰ χριστιανῶν πνευσάντων βασιλέων Διοκλητιανοῦ φημι καὶ Μαξιμιανοῦ τῶν τυράννων πολλή τις ἦν τῶν ὑπ᾽ αὐτοὺς ἐπὶ τῇ συλλήψει τῶν πιστῶν ἡ σπουδή, πολλὴ δὲ καὶ ἡ ἔρευνα· καὶ γὰρ μυρίαι μὲν τοῖς ἐν τούτῳ σπεύδουσιν ὑπισχνοῦντο δωρεαί τε καὶ χάριτες, πολλαὶ δὲ κακώσεις ἠπειλοῦντο καὶ βάσανοι τοῖς ἐκμελῶς ἔχουσι καὶ ῥαθύμως ἐν τούτοις.*

2. Στέλλονται τοιγαροῦν Τρόφιμος οὗτος καὶ Εὐκαρπίων ἐφ᾽ ᾧ συλλάβοιεν τοὺς χριστιανοὺς καὶ τῷ βήματι τούτων προσάξοιεν· ἦσαν γὰρ πολὺ τῶν λοιπῶν δημίων ὠμότητι διαφέροντες· διὸ καὶ τούτοις μᾶλλον ἤπερ τισὶν ἄλλοις τὰ τῶν ἐξετάσεων, | ναὶ δὴ καὶ col. 2 *τιμωριῶν ἐμπεπίστευτο. τούτοις οὖν ἀπιοῦσι θυμοῦ μεστοῖς καὶ ὀργῆς νεφέλη τις πυροειδὴς τὸν αἰθέρα περιλαβοῦσα φαίνεται καὶ φωνὴν ταύτην ἀφίησι· «Ποῦ ἄρα σπεύδετε καὶ πρὸς τί ποιεῖσθε τὴν ὁρμήν, Εὐκαρπίων καὶ Τρόφιμε; κατὰ τῶν ἐμῶν ἄρα δούλων; κατὰ τῶν ἐμῶν ὁμολογητῶν; ἀλλ᾽ οὐ περιγενέσθαι τούτων δυνήσεσθε, αὐτοὶ δὲ μᾶλλον ὑμεῖς ὑπ᾽ αὐτῶν πρὸς τὴν ἐμὴν ἀχθήσεσθε πίστιν, οὕτως ἐμοῦ πρὸς ὑμᾶς φιλανθρώπως βλέψαντος».*

3. Ταύτης οἱ θρασεῖς ἐκεῖνοι τῆς φωνῆς ἀκούσαντες ἔντρομοί τε γεγόνασι καὶ πρὸς γῆν πεσόντες «Τίς οὗτος» εἶπον «ὁ φανεὶς ἡμῖν καὶ λαλήσας κατὰ τῶν αὐτοῦ δούλων χωρεῖν ἡμᾶς καὶ || μηδὲν f. 235v *αὐτοὺς παραβλάψειν ἰσχῦσαι; πάντως ὁ Θεὸς τῶν Γαλιλαίων ἐστίν· ἀλλὰ καὶ μετακαλεῖται δι᾽ ἑαυτοῦ· καὶ πῶς ἄρα καὶ ἰσχύσαιμεν αὐτοῦ δοῦλοι γενέσθαι; μέγας γάρ, ὡς ὁρῶμεν, Θεός ἐστι καὶ μεγάλη αὐτῷ ἡ ἰσχύς». ταῦτα τούτων διαλογιζομένων τῆς νεφέλης ἐκείνης αὖθις ἐξηκούσθη φωνὴ «Ἀνάστητε» λέγουσα «καὶ μετανοήσαντες πρὸς τὴν ἀλήθειαν ἐπιστράφητε· ἀφείθη γὰρ ὑμῖν τὰ πεπραγμένα κατὰ τῶν δούλων μου». καὶ εὐθὺς ἀναστάντες οἱ ἄνδρες ἄνδρα φοβερὸν ὁρῶσι μέσον καθεζόμενον τῆς νεφέλης, φῶς*

Rubro: v. 4 *Δεινὸν*, v. 11 *Στέλλονται*, v. 15 *Οὖν*, v. 22 *Οἱ*, v. 28 *τού|Των*
3 *εὐκαρπίονος* 5 *φημὶ* 14 *ἤπέρ τισιν* 16 *νεφέλη τίς* 18 *ἄρα*

οἷον ἀποστίλβοντα μέγα, καὶ πολλοὺς ἑστῶτας περὶ αὐτόν, ὅσους αὐτοὶ δὴ κατειργάσαντο ταῖς κολάσεσι, φωτεινοὺς καὶ αὐτούς, ἐφ' col. 2 *οἷς δὴ καὶ | ἐκπλαγέντες καὶ δέους πλησθέντες «Δέξαι» εἶπον, «κύριε, ἡμᾶς, τῷ σῷ προσφυγόντας ἐλέει, καὶ μὴ μνησθῇς ἡμῶν ἀνομιῶν ἀρχαίων, ἀλλὰ τῇ σῇ συγκαταρίθμησον ποίμνῃ· σὺ γὰρ μόνος Θεός, σὺ βασιλεύς, σὺ πάντων ὁ ἔχων τὴν ἐξουσίαν».*

4. Οὕτω τούτων εἰπόντων ἡ νεφέλη τῶν ὀφθαλμῶν αὐτῶν ἀπεγένετο· οἱ δὲ πρὸς ἀνάμνησιν ὧν εἰς τοὺς μάρτυρας τοῦ Χριστοῦ πεποιήκασιν ἐληλυθότες ὠδύροντο καθ' ἑαυτοὺς καὶ συγχώρησιν ᾔτουν τῶν ἐσφαλμένων. ἐπεὶ δὲ πλησίον τῆς Νικομήδους ἐγένοντο καὶ ταύτην εἰσῆλθον καὶ αὐτὸ τὸ δεσμωτήριον, ὅπερ οἱ διὰ Χριστὸν συσχεθέντες κατῴκουν, κατέλαβον, λύουσι μὲν τοὺς ἐν αὐτῷ τῶν f. 236 *δεσμῶν, ἐξάγουσί τε τῆς φυλακῆς, || ἀδελφοὺς αὐτοὺς ὀνομάζοντες καὶ Χριστοῦ δούλους· ἀλλὰ καὶ τὴν γενομένην εἰς αὐτοὺς ἀποκάλυψιν διηγοῦνται τοῖς φύλαξι καὶ πᾶσι τοῖς παραβάλλουσιν ὡς αὐτούς.*

5. Ὡς δὲ κατάδηλον τὸ πρᾶγμα γέγονεν, ὅτιπερ Εὐκαρπίων καὶ Τρόφιμος οἱ τῶν χριστιανῶν κολασταὶ τῶν παρὰ τοῦ ἄρχοντος μὲν καὶ βασιλέων αὐτῶν κεκελευσμένων κατεφρόνησαν, τὸν δὲ διὰ Χριστὸν λόγον περὶ πλείστου τίθενται, καὶ ὡς χριστιανοὶ τέλος ἐγένοντο, ἦλθε καὶ πρὸς ἀκοὰς τὰ τοιαῦτα τοῦ ἄρχοντος, καὶ δὴ καὶ κατασχεθέντες τῷ βήματι τούτου παρήχθησαν· καὶ ὅς φησι πρὸς αὐτούς· «Τίνα τὰ καθ' ὑμῶν λεγόμενα, κατάρατοι, παρὰ col. 2 *πάντων; ἀληθῆ ἄρα, ἢ μή; καὶ τί γέγονε, καὶ τίς ἡ με|ταβολή, καὶ πῶς ὁ περὶ τοὺς θεοὺς ἐπίμονος ζῆλος ὑμῶν καὶ ἡ καρτερὰ γνώμη καὶ σταθηρὰ τοσαύτην αἴφνης ἐδέξατο τὴν μεταλλαγήν; ἐγοητεύθητε πάντως· εἴπατέ μοι τὸ τάχος, ἀλλ' ἐξέστητε; ἀνανήψατε καὶ ἑαυτοὺς σωφρονίσατε, μὴ τὰ αὐτὰ πάθητε, ἅπερ ὑμεῖς πολλάκις ἄλλοις πεπράχατε».*

6. Τότε τοίνυν τὸ καλὸν τοῦτο ζεῦγος, συνετὴν ποιησάμενοι τὴν ἀπόκρισιν, «Ἀνθ' ὧν» εἶπον «ἀτοπημάτων εἰς τοὺς Χριστοῦ δούλους πεποιήκαμεν, ἡγεμών, καὶ μυρίων ἄλλων κακῶν παθεῖν ὑπὲρ αὐτοῦ προκεκρίκαμεν, ἵν' ἵλεως ἡμῖν γένηται καὶ λύσῃ τὰ ἐν ἀγνοίᾳ πεπραγμένα καὶ πλάνῃ· αὐτὸς γάρ ἐστι μόνος Θεὸς ζῶν, ἀληθὴς f. 236^v *καὶ ἀθάνατος». ταῦτα τούτους εἰπόντας || τὸ ξύλον εἶχε καὶ ἡ ἀνάρτησις· ἐξέοντο μὲν οἱ γεννάδαι πικρῶς τὰς πλευράς, ὑφάσμασι δὲ τριχίνοις τὰς πληγὰς ἀνετρίβοντο καὶ πᾶσαν ἄλλην βάσανον γεν-*

Rubro: v. 7 *Οὕτω*, v. 10 *πλη|Σίον*, v. 17 *Ὡς*, v. 30 *Τὸ*, v. 35 *Ταῦτα*, v. 36 *Γεννάδαι*

4 *μνησθείς* 22 *ὅς φή(σι)*

ναίως ὑφίσταντο. ταῦτα δὲ προθύμως αὐτοὺς ὁρῶν ὁ τύραννος ὑπομένοντας καὶ τρυφάς, οὐ κολάσεις λογιζομένους (ἐδίψων γὰρ τὸ διὰ Χριστὸν παθεῖν οἱ καλλίνικοι) καὶ τέλεον ἡττηθεὶς ἐπάγει κατ' αὐτῶν τὴν ἀπόφασιν, πυρὶ τούτους παραδοθῆναι προστάξας.

7. Οὗ δὴ γεγονότος καὶ τὰς ψυχὰς ὑμῶν σεμνῶς εἰς χεῖρας Θεοῦ, πανθαύμαστοι, παραθέμενοι, νῦν οἰκεῖτε τοὺς οὐρανούς, τὰς ὑπὲρ τοῦ κόσμου πρεσβείας ποιούμενοι. νέμοιτε τοιγαροῦν ταῖς εὐκτικαῖς ὑμῶν εἰς Θεὸν ἱκεσίαις καὶ βασιλεῖ ἡμῶν τῷ φιλοθέῳ καὶ φιλομάρτυρι | μεγίστας ἐν μακρᾷ ζωῇ τὰς νίκας κατὰ τῶν ἀντι- col. 2 *πάλων, ἰσχυρὸν αὐτῷ τιθέμενοι καὶ τόξον ὥσπερ χαλκοῦν κατ' αὐτῶν τὸν βραχίονα, χώρας αὐτῶν καθαιροῦντα καὶ πόλεις· ἀλλὰ καὶ σκηνῆς δικαίων νέμοιτε τούτῳ τὴν κατοικίαν, ἡλίου τοῦ τριλαμποῦς τὴν ἀπόλαυσιν, πάντων τῶν καλῶν τὴν μέθεξιν καὶ βασιλείας οὐρανῶν τὴν ἐπίτευξιν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

Μηνὶ τῷ αὐτῷ κδ'. *f. 237*

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΔΟΜΕΤΙΟΥ ΚΑΙ ΤΩΝ ΜΑΘΗΤΩΝ ΑΥΤΟΥ.

1. Ἰουλιανοῦ τοῦ δυσσεβοῦς ἄρτι τὴν Ἀντιόχου καταλαβόντος (οὐδὲ γὰρ βασιλέα χρὴ τοῦτον καλεῖν, ἀλλὰ παραβάτην τε καὶ παράνομον διὰ τὸ τοῦ Θεοῦ κακῶς δαίμονας, φεῦ, ἀνταλλάξασθαι) καὶ πάντας πορθοῦντος χριστιανοὺς καὶ διώκοντος, ἀναγκάζοντός τε τὸν Χριστὸν ἀρνεῖσθαι καὶ δαίμονας θεραπεύειν καὶ θυσίας αὐτοῖς προσάγειν καὶ τελετάς, οἱ τῆς εὐσεβείας ἐπὶ τὴν πέτραν | καλῶς ἡδρασμένοι κατέπαιζον μὲν αὐτοῦ, κατεγέλων δὲ καὶ τῶν col. 2 *εἰδώλων καὶ τῶν διαταγμάτων αὐτοῦ κατωρχοῦντο. καὶ γὰρ κόλαξ μὲν οὗτος καὶ ἀπατεὼν καὶ ὕπουλος ὁ κατάρατος χρηματίζων χρήμασι, δόξαις, τιμαῖς, ὑποσχέσεσιν ἄλλαις ἀπατᾶν τοὺς εὐσεβεῖς ἐπειρᾶτο· οἱ δὲ τοῦτον διέσυρον, διέβαλλον, διήλεγχον, τὸ πανοῦργον*

Rubro: v. 1 *Προθύμως*, v. 9 *Μεγίστας*, v. 13 *Πάντων*, v. 20 *Ιουλιανοῦ*
21 *παραβάτην τὲ* cod. 22 *δαιμόνων φιλίαν* A (*editio anonyma, de qua v. praefationem*) 27 *διαταγματων* cod., *ἀτυγμάτων* A 28 *ἀπαταιῶν* cod.

αὐτοῦ σοφῶς ἐξεκάλυπτον, ὡς ἀπαναγκαζόμενον αὐτὸν καὶ μή τι ταῖς κακονοίαις |(f. 237v) δεδυνημένον τῶν αὐτῷ σπουδαζομένων εἰς ἔργον ἐξενεγκεῖν πρὸς τὰς κολάσεις χωρεῖν. ἀπειρηκὼς οὖν ταῖς τῶν προκατασχεθέντων ἁγίων ἐνστάσεσιν, ἐπεὶ τὴν πόλιν εἰσέλθοι, θυμοῦ γέμων καὶ μανίας ἀλόγου κατὰ τῆς ἐκκλησίας χωρεῖ καὶ ταύτην ἐξυβρίζει κατὰ τὸ δοκοῦν αὐτῷ, τὸ τοῦ δαίμονος ἐργαστήριον, ἵππων φάτνην αὐτὴν ἐργασάμενος, ὅ ποτε κῆρυξ αὐτῆς τῶν θείων λογίων γενόμενος (κληρικὸς γὰρ ὁ ἀνόσιος ἐχρημάτισε) καὶ μυστηρίων θείων συνήγορος.

2. Τοιαῦτα τοίνυν καὶ τοσαῦτα δεινὰ τοῦ παραβάτου ποιοῦντος, ἡ κατάλυσις ἐντεῦθεν αὐτῷ τῆς ἀρχῆς προμνηστεύεται καὶ πόλεμος αὐτὸν Περσικὸς ἐκκαλεῖται, |(col. 2) καὶ μέντοι δὴ καὶ πρὸς αὐτὸν ἐξορμᾷ καὶ τέμνει τὴν ὁδὸν ἐξουσίᾳ μεγάλῃ. καὶ ἦν ἰδεῖν, ὡς εἰπεῖν, πλεομένην ἤπειρον ἀνδρῶν καὶ ἵππων πλήθει καὶ πελαγίζουσαν. τότε τοίνυν μεγάλα φυσῶντι καὶ βρέμοντι προσῆλθόν τινες τὸν δίκαιον Δομέτιον διαβάλλοντες, ὡς εἴη χριστιανὸς καὶ πολλοὺς ἀφιστᾷ τῆς τῶν εἰδώλων θρησκείας καὶ τῷ αὐτοῦ Θεῷ καθυπάγει. δεξάμενος οὖν ἄσμενος ὁ παραβάτης τὴν κατὰ τοῦ μάρτυρος τούτου διαβολὴν κελεύει τοῦτον συσχεθέντα τὸ τάχος παραστῆναι τῷ βήματι. καὶ ἅμα τῷ λόγῳ θῆρες ὥσπερ δραμόντες οἱ δυσσεβεῖς ἐν σπηλαίῳ τὸν δίκαιον εἰς προσευχὴν ἑστῶτα καταλαμβάνουσι, τεταμένας ἔχοντα τὰς χεῖρας ||(f. 238) εἰς οὐρανούς, ἀλλὰ δὴ καὶ τοὺς δύο μαθητὰς τοῖς ὁμοίοις προσκειμένους τῷ διδασκάλῳ. καὶ καταδραμόντες αὐτῶν «Ὁ βασιλεὺς ὑμᾶς» εἶπον «ὁ μέγας καλεῖ· σπεύσατε τὸ τάχος εἰς τὴν ὁδόν».

3. Ἀμετάτρεπτον οὖν ἐκείνων τὸ φρόνημα κεκτημένων καὶ τῆς εὐχῆς ἐξισταμένων οὐμενοῦν οὐδαμῶς, ἀλλὰ μηδὲ λόγων μεταδιδούντων αὐτοῖς, λέοντες ὥσπερ ἐκεῖνοι κατ' αὐτῶν βρύχοντες τοὺς ὀδόντας ἐπῆλθον καὶ δὴ καὶ λίθους λαβόντες ἐπὶ τοσοῦτον κατὰ τῶν ἁγίων ἔβαλλον, ἕως τὸ σπήλαιον ἅπαν τοῖς λίθοις κατέχωσαν, ἐφ' ᾧ καὶ τὰ πνεύματα ταῖς τοῦ πλάσαντος χερσὶν οἱ μάρτυρες ἐναπέθεντο. οἱ τοίνυν δυσσεβεῖς ἐκεῖνοι ὥς τινα μεγάλην ἀριστείαν

Rubro: v. 3 ἀπει|**Ρηκὼς**, v. 10 et 15 **Τοίνυν**, v. 18 et 26 **Οὖν**, v. 32 **Ἐκεῖνοι**

1 ἀπαναγκιζόμενον — μήτι *A* 4 εἰσῆλθεν *A* 5 καὶ τῆς ἐκκλησίας *A* 6 αὐτοῦ *A* 7 ὁ ποτὲ **cod.**, κήρυξ *A* 12 ἐκκαλεῖται. Καὶ κτλ. *A* 13 μεγάλῃ καὶ κτλ. *A* 15 τινὲς **cod.** 17 αὐτοῦ *A* 22—23 τοὺς ὁμοίως *A* 23 διδασκάλῳ. Καὶ κτλ. *A* 27 οὐμενοῦν — μὴ δὲ **cod.**, μεταδιδόντων *A* 29 ἐπῆλθον. Καὶ κτλ. *A* 30 ἔβαλον *A* 32 ἐπανέθεντο *A*

διαπραξά|μενοι τῷ Ἰουλιανῷ πάντα καταγγέλλουσι τὰ πεπραγμένα. col. 2 *καί, ὢ τῆς μανίας, χαίρει τούτων ἀκούσας ὁ τύραννος καὶ δεξιοῦται τοὺς ἀσεβεῖς ὁ παράνομος καὶ νίκην ἄλλην πολέμου τὸ τοιοῦτον νομίζει καὶ τὴν ὁδὸν γεγηθὼς διανύει. καὶ ταῦτα μὲν τὰ περὶ τῶν ἁγίων ἡ ἱστορία γραφῇ παραδέδωκεν. ὁ τοίνυν τόπος ἐκεῖνος, ᾧ συνεχώσθησαν τοῖς λίθοις οἱ μάκαρες, ἀκανθῶν πλήρης γέγονεν, ὡς μή τινα δύνασθαι τὸ σπήλαιον ἐφευρεῖν.*

4. *Διετοῦς δὲ χρόνου μετὰ τὴν τῶν ἁγίων διαδραμόντος τελείωσιν, καμήλων ἐκεῖσε πολλῶν βοσκομένων, μία τις αὐτῶν πρός τι γήδιον τῶν τῆς σύνεγγυς κώμης ἐσπαρμένον εἰσῆλθεν· ἣν || καταδιώκοντος* f. 238v *τοῦ δεσπότου τῆς χώρας συνέβη πεσεῖν καὶ τοῦ ποδὸς συντριβὴν ὑπομεῖναι, ὡς ἐντεῦθεν ἀχρήστως ἔχουσαν παρὰ ταῖς ἀκάνθαις ἀπορριφῆναι, ὅπουπερ ἀγνοούμενος ὁ Δομέτιος μετὰ τῶν μαθητῶν κατέκειτο. ὁ τοίνυν τῆς καμήλου δεσπότης τὴν Κυριεστηνῶν πόλιν καταλαβὼν (ἐν ταύτῃ γὰρ ὁ ἄρχων διέτριβε) πρὸς δίκην εἷλκε τὸν ταύτην καταδιώξαντα. καὶ ἐπεὶ τὰ τῆς δίκης πέρας εἰλήφει, πρὸς αὐτὴν ὁ δεσπότης ἀνέδραμε· τῆς δὲ πρὸς αὐτὸν ὥσπερ διαναστῆναι σπευδούσης, ὁ συντριβεὶς τῶν ποδῶν εἰς ὀπήν τινα κατέδυ διολισθήσας· ἡ δὲ ἦν τὸ σπήλαιον, ἔνθα τὰ μαρτυρικὰ κατέκειτο | λείψανα. προσιόντος οὖν αὐτοῦ καὶ χεῖρα δόντος ὡσανεὶ* col. 2 *τῇ καμήλῳ, ἐκείνη τὸν πόδα τῆς ὀπῆς ἐκβαλοῦσα ἄρτιον εἶχεν ὅλον καὶ ὑγιᾶ· ὅπερ ἰδὼν ὁ ταύτης δεσπότης ἔκθαμβός τε γέγονε καὶ τὸν Θεὸν δοξάζων οὐκ ἔληγε. τινὲς δὲ τὸ παράδοξον τοῦτο καταπλαγέντες προσῆλθον τῷ τόπῳ καὶ τὴν ὀπὴν εὑρηκότες εἰς νοῦν ἔλαβον συνέντες, ὡς ὁ Δομέτιος ἐκεῖσέ που τέθαπται, καὶ εὐθὺς ὄρυγμα ποιησάμενοι τὰ λείψανα τῶν ἁγίων εὑρίσκουσιν· ἀνάγουσί τε ταῦτα μεθ' ὕμνων καὶ ψαλμῶν καὶ τῆς ὀφειλομένης τιμῆς, ναὶ δὴ καὶ εἰσάγουσιν εἰς τὴν ἐκκλησίαν τῆς κώμης καὶ φιλοτίμως κηδεύουσι, θάπτουσί τε πρεπόντως καὶ κοινὸν || ἰατρεῖον τοῖς ἀσθενοῦσιν* f. 239 *ἐξανιστῶσι, ναὸν περικαλλῆ καὶ ὡραῖον ἐπ' ὀνόματι δομησάμενοί τούτων.*

5. *Καὶ νῦν, ὦ παγγέραστοι καὶ θαυμάσιοι μάρτυρες, τῷ δεσποτικῷ παριστάμενοι θρόνῳ, μῆκος ζωῆς αἰτήσασθε βασιλεῖ ἡμῶν τῷ πράῳ καὶ τὰ πάντα καλῷ, ἰσχὺν ἐκ Θεοῦ καὶ κράτος ἀπρόσμαχον, χωρῶν ἐθνῶν τὴν κατάλυσιν, | ἀπείρων αὐτῶν στρατευμάτων* col. 2

Rubro: v. 5 ***Ὁ** τοίνυν*, v. 8 ***Χ**ρόνου*, v. 14 ***Τ**ῆς*, v. 23 ***Τ**ινὲς*, v. 32 *παγ|**Γ**έραστοι*, v. 33 ***Μ**ῆκος*

8 *διαδραμόντων* cod. 14 *Κυριστηνῶν* A 18 *σπευδούσης* cod., *ἐσπεύδασκε* (sic) A 25 *τέθαπται. Καὶ κτλ.* A 27 *τιμῆς. Καὶ δὴ καὶ* A 29 *πρεπόντως. Καὶ κτλ.* A 32 *ὦ πάντως γεραστοὶ* A 35 *χωρῶν, ἐθνῶν τὴν κατάλυσιν ἀπείρων κτλ.* A

τὴν ἐξολόθρευσιν, ἤρεμον τὴν ζωὴν καὶ ἡσύχιον, λειμώνων τε πρὸς τούτοις θείων τὴν κατοικίαν, πάντων ἀγαθῶν τὴν μέθεξιν καὶ βασιλείας οὐρανῶν τὴν ἀπόλαυσιν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ κε΄.

ΛΟΓΟΣ ΕΙΣ ΤΟΝ ΕΥΑΓΓΕΛΙΣΜΟΝ ΤΗΣ ΘΕΟΤΟΚΟΥ ΚΑΙ ΑΕΙΠΑΡΘΕΝΟΥ ΜΑΡΙΑΣ.

col. 2 *1. Πάλιν χαρᾶς εὐαγγέλια,* | *πάλιν ἐλευθερίας μηνύματα, πάλιν*
f. 239ᵛ *ἀνάκλησις τοῦ ἡμετέρου φυράματος· καὶ γὰρ ἡ τοῦ* || *Εὐαγγελίου φωνὴ νεαρὰν ἡμῖν τὴν εὐεργεσίαν εὐαγγελίζεται. ἄξιον δὲ μικρὸν ἄνωθεν τὰ τοῦ μυστηρίου διαλαβεῖν. ἄρτι τῆς παρθένου καὶ Θεοτόκου κρίμασιν ἀπορρήτοις ἐν τῷ ναῷ προσαχθείσης παρὰ τῶν γεννητόρων κἀν τούτῳ διαγούσης καὶ καλῶς ἀναστρεφομένης, ὡς ἡ τῶν θείων λόγων ἀνάγνωσις παρίστησιν ἐναργῶς, ἐπειδὴ σκοπὸς τοῖς ἱερεῦσι θεόθεν γέγονε, τῷ μὴ νόμιμον εἶναι μήτε μὴν σεμνὸν ἐντὸς τῶν ἀνακτόρων γυναῖκας συναναστρέφεσθαι κἀν τοῖς ἁγίοις ὁρᾶσθαι, ἀνδρὶ μὲν τὴν παρθένον μνηστείας ὀνόματι δοῦναι, τοῦτον δὲ τοιοῦτον εἶναι, οἷον πρὸς φυλακὴν τῆς παρθενίας ἐπι-*
col. 2 *τήδειον, καὶ λόγος ἦν αὐτοῖς πολὺς* | *περὶ τούτου καὶ ζήτησις, ὁ Ἰωσὴφ εὑρέθη τοιοῦτος, οἷον ὁ λόγος ἐζήτει, τῆς αὐτῆς φυλῆς τε καὶ πατριᾶς τῇ παρθένῳ τυγχάνων· ὃς δὴ κατὰ συμβουλὴν τῶν ἱερέων ἑαυτῷ τὴν παῖδα μνηστεύεται. τῷ δὲ μηνὶ τῷ ἕκτῳ (ἕκτον μῆνα τὸν τῆς συλλήψεως Ἰωάννου φησὶν ἡ θεία γραφή) ἀπεστάλη Γαβριὴλ ὁ ἀρχάγγελος πρὸς αὐτὴν τὴν θεόπαιδα, τὸ μέγα τῆς οἰκονομίας αὐτῇ καταγγέλλων μυστήριον· τὰ δὲ ῥήματα τῆς μυσταγωγίας εὐλογία ἦν καὶ χαρᾶς εὐαγγέλια.*

2. «Χαῖρε» φησί, «κεχαριτωμένη, ὁ κύριος μετὰ σοῦ». ἀπ᾽ ἐναντίας τῇ πρώτῃ πρὸς τὴν Εὔαν φωνῇ νῦν γίνεται πρὸς τὴν παρθένον ὁ λόγος. ἐκείνη μὲν γὰρ λύπαις ἐν ταῖς ὠδῖσι διὰ τὴν ἁμαρτίαν ||

Rubro: v. 2 *Πάντων*, v. 9 *Πάλιν*, v. 12 *Ἄρτι*, v. 23 *Μηνὶ*

1 *λειμώνων τὲ* cod. 17 *κἂν* 24 *θεῖα* 26 *καταγγέλων* 28 *ἀπεναντί(ας)*

De euangelismo v. *Luc.* 1, 26—38.

κατεδικάσθη, ἐπὶ δὲ ταύτης ἐκβάλλεται διὰ τῆς χαρᾶς ἡ λύπη. ἐπ' *f. 240* ἐκείνης αἱ λῦπαι τῆς ὠδῖνος ἡγήσαντο, ἐνταῦθα δὲ χαρὰ τὴν ὠδῖνα μαιεύεται. «Μὴ φοβοῦ», φησίν· ἐπειδὴ γὰρ πάσῃ γυναικὶ φόβον παρέχει τῆς ὠδῖνος ἡ προσδοκία, ἐκβάλλει τὸν φόβον ἡ τῆς καλῆς ὠδῖνος ἐπαγγελία. «Ἐν γαστρὶ» γάρ φησι «λήψῃ καὶ τέξῃ υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν». τί οὖν ἡ Μαρία; ἄκουσον καθαρᾶς παρθένου φωνήν· ἄγγελος τόκον εὐαγγελίζεται, κἀκείνη τῇ παρθενίᾳ προσφύεται, προτιμοτέραν τὴν ἀφθαρσίαν τῆς ἀγγελικῆς ἐμφανείας κρίνουσα, καὶ οὔτε τῷ ἀγγέλῳ διαπιστεῖν ἔχει, οὔτε τῶν κεκριμένων ἐξέρχεται. «Ἀπείρηταί μοι» φησὶν «ἀνδρὸς | ὁμιλία· πῶς *col. 2* ἔσται μοι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω»; αὕτη τῆς Μαρίας ἡ φωνὴ ἀπόδειξις τῶν κατὰ τὸ κρύφιον ἱστορουμένων ἐστίν· εἰ γὰρ ἐπὶ γάμῳ παρείληπτο παρὰ τοῦ Ἰωσήφ, πῶς ἂν ἐξενίσθη τὸν τόκον, μήτηρ πάντως προσδεχομένη γενέσθαι κατὰ τὸν νόμον τῆς φύσεως; ἀλλ' ἐπεὶ τὴν ἀφιερωθεῖσαν τῷ Θεῷ σάρκα, οἷόν τι τῶν ἁγίων ἀναθημάτων, ἀνέπαφον ἔδει φυλάττεσθαι, διὰ τοῦτο «Κἂν ἄγγελος ᾖς» φησί, «κἂν οὐρανόθεν ἥκῃς, κἂν ὑπὲρ ἄνθρωπον τὸ φαινόμενον ᾖ, ἀλλὰ τὸ γνῶναί με ἄνδρα τῶν ἀμηχάνων ἐστί· πῶς οὖν ἔσομαι μήτηρ χωρὶς ἀνδρός; τὸν Ἰωσὴφ μνηστῆρα μὲν οἶδα, ἄνδρα δὲ οὐ γινώσκω».

3. Τί οὖν ὁ || νυμφοστόλος Γαβριήλ; οἵαν παστάδα τῷ καθαρῷ *f. 240ᵛ* καὶ ἀμιάντῳ περιίστησι γάμῳ; «Πνεῦμα» φησὶν «ἅγιον ἐπελεύσεται ἐπὶ σὲ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι». ὢ μακαρίας σαρκὸς ἐκείνης, ἣ δι' ὑπερβολὴν καθαρότητος τὰ τῆς ψυχῆς ἀγαθὰ πρὸς ἑαυτὴν ἐπεσπάσατο. ἐπὶ μὲν γὰρ τῶν ἄλλων ἁπάντων μόλις ἂν ψυχὴ καθαρὰ πνεύματος ἁγίου παρουσίαν δέξαιτο. ἐνταῦθα δὲ δοχεῖον τοῦ πνεύματος ἡ σὰρξ αὐτὴ γίνεται. ἀλλὰ «καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι». τί τοῦτο σημαίνει διὰ τῶν ἀπορρήτων ὁ λόγος; «Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία», φησὶν ὁ ἀπόστολος. τοῦ οὖν ὑψίστου Θεοῦ ἡ δύναμις, ἥτις ἐστὶν ὁ Χριστός, διὰ τῆς ἐπελεύσεως τοῦ ἁγίου | πνεύματος ἐμμορφοῦται τῇ παρθενίᾳ. καθά- *col. 2* περ γὰρ ἡ τῶν σωμάτων σκιά, φησίν, τῷ τύπῳ τῶν προηγουμένων συσχηματίζεται, οὕτως ὁ χαρακτὴρ καὶ τὰ γνωρίσματα τῆς τοῦ υἱοῦ θεότητος ἐν τῇ δυνάμει τοῦ τικτομένου διαφανήσεται εἰκὼν καὶ σφραγὶς καὶ ἀπαύγασμα τοῦ πρωτοτύπου διὰ τῆς τῶν ἐνεργειῶν θαυματοποιίας δεικνύμενος. καὶ ταῦτα μὲν ὁ Νύσσης Γρηγόριος,

Rubro: v. 6 *Τί*, v. 11 *Μαρίας*, v. 15 *Ἀλλ'*, v. 21 *Νυμφοστόλος*, v. 30 ὁ|*Ψίστου*

11 et 20 γινώσκωι   21 οἴαν

29 Χριστὸς — σοφία: cf. 1 Cor. 1, 24.

τὰ δ' ἄλλα τό τε ἱερὸν Εὐαγγέλιον καὶ ἄλλοι θεοφιλεῖς διδάσκουσι φιλαλήθως.

4. Τούτων οὖν ὡς ἤκουσεν ἡ παρθένος, εὐθὺς ὑπὸ τοῦ ἐνοικοῦντος αὐτῇ διαυγασθεῖσα τὸν νοῦν, ἀσμένως τε διετέθη τῷ ἐπαγγέλματι καὶ «Ἰδοὺ ἡ δούλη κυρίου· γένοιτό μοι κατὰ τὸ ῥῆμά σου» (f. 241) φησὶ πρὸς τὸν ἄγγελον, || ἅμα τήν τε ἀκρίβειαν εἰς ὅσον ἔδει πρὸς τὴν τοῦ ἀγγέλου φωνὴν φυλάξασα καὶ μὴ πλέον μετὰ τὴν ἀξιοπιστίαν τῶν εἰρημένων ἑλομένη διαπιστεῖν, ἀλλὰ τῷ μὲν τῆς προμήτορος τὴν ἀπάτην διαφυγοῦσα, τῷ δὲ τὸ δυσπειθὲς ἐκκλίνασα Ζαχαρίου καὶ πέρα τοῦ καλῶς ἔχοντος.

5. Ὁ μὲν οὖν ἄγγελος ἀπῆλθε, φησίν, ἀπ' αὐτῆς, ἐκείνη δὲ μετὰ σπουδῆς τὴν ὀρεινὴν καταλαμβάνει καὶ πρὸς τὸν οἶκον ἔρχεται Ζαχαρίου, συνευφρανθησομένη τῇ Ἐλισάβετ, ἅτε δὴ μαθοῦσα παρὰ τοῦ ἀγγέλου τὴν καινὴν αὐτῆς καὶ ξένην ἐκείνην σύλληψιν· πρόσεισι τοίνυν καὶ ἀσπάζεται φιλοφρόνως· ὁ δὲ ἀσπασμὸς σκίρτημα τοῦ ἐν γαστρὶ βρέφους τῆς Ἐλισάβετ ἡδὺ γίνεται· καὶ γὰρ ἀπὸ γαστρὸς (col. 2) ἐμάνθανεν ἤδη τὸν ἐν γα|στρὶ δεσπότην ὁ δοῦλος καὶ τὴν εἰς τὸν κόσμον αὐτοῦ πάροδον ἡδυνθεὶς ὑπερφυῶς ἐχάρη· τοῦτο γὰρ τὸ ἐν ἀγαλλιάσει σκίρτημα φανερῶς ἐδήλου. μὴ λάθοι δέ σε μηδὲ τὸ λίαν εὐλαβές τε καὶ ὑποχωρητικὸν Ἐλισάβετ μετὰ θαυμαστῆς τῆς προσρήσεως· ἄξιον γὰρ καὶ περὶ τούτου διαλαβεῖν, εἰ καὶ παρεκβατικώτερόν πως ὁ λόγος ὥρμησε. διαπορεῖ γὰρ τὴν τῆς παρθένου ἐπιστασίαν, ὡς ὑπὲρ ἀξίαν αὐτῆς οὖσαν, «Πόθεν μοι τοῦτο» λέγουσα, καθάπερ ὁ παῖς ἐκείνης τὴν τοῦ δεσπότου κατὰ τὸν καιρὸν τοῦ βαπτίσματος· ἤδη δὲ καὶ μητέρα ταύτην καὶ κυρίαν ἑαυτῆς ὀνομάζει, ἀλλὰ καὶ εὐλογημένην ἐν γυναιξὶ λέγει καὶ τὸν κυοφορού- (f. 241v) μενον ἐν αὐτῇ καρπὸν κοιλίας παραδόξως καλεῖ, ἅτε σπέρ||ματος ἀνδρὸς μηδὲν μηδαμῶς κεκοινωνηκότα. τίς δὲ καὶ ἡ τῆς θαυμαστῆς Μαρίας πάλιν θαυμαστὴ προαγόρευσις; ὑπὸ τῶν γενεῶν ἔσεσθαι προαδομένη πασῶν· οὐ μακαρίζει γὰρ ἑαυτὴν τύφῳ κινηθεῖσα κενῷ, οὐδὲ γλώσσῃ κοινῇ φθέγγεται ταῦτα, ἀλλὰ θείῳ πνεύματι λειτουργούσῃ αὐτὸ τὸ εἰς ἀεὶ τελούμενον προθεσπίσασα· καὶ μεγαλύνει δὲ τὸν Θεὸν ἡ Μαρία, ὅτι τε πιστεύει δεικνῦσα διὰ τὴν τῆς Ἐλισάβετ φωνήν· «Μακαρία» γάρ φησιν «ἡ πιστεύσασα, ὅτι ἔσται τελείωσις τοῖς λαληθεῖσιν αὐτῇ παρὰ κυρίου» καὶ ὅτι μεγάλῳ τοιούτῳ ὑπηρετεῖ πράγματι. καὶ ταῦτα μὲν οὕτως.

6. Σὺ δέ, παναμώμε νύμφη, παλάτιον ἔμψυχον τοῦ μεγάλου

Rubro: v. 3 Τούτων, v. 11 Ἐκείνη, v. 14 Πρόσεισι, v. 28 Τίς, v. 37 Παναμώμε
4 ἀσμένος τὲ 5 ῥῆμα σε 18 ὑπέρφυῶς 19 μὴ δὲ 20 εὐλαβὲς τὲ 33 ὅτι τὲ

βασιλέως | Χριστοῦ καὶ Θεοῦ, στάμνος ἡ τὸ μάννα τοῦτον ἔνδον φέρουσα, col. 2 τράπεζα καὶ λυχνία καὶ ὄρος καὶ ὅσα τῶν προφητῶν ὁ χορὸς προθεσπίζει, Παρθένε Δέσποινα καὶ Θεοτόκε Μαρία, τὸ πιστῶν βασιλέων κραταίωμα, τὸ πάντων τῶν χριστιανῶν καταφύγιον, σκέποις ἡμῶν καὶ βασιλέα τὸν εἰς σὲ τὴν πεποίθησιν ἔχοντα, χαριζομένη τούτῳ μήκιστον καὶ γαλήνης πλήρη τὸν βίον, ἰσχὺν κατ' ἐναντίων ἐχθρῶν καὶ κράτος, χειρὸς θείας τὴν δυναστείαν, ἀπρόσμαχον τὴν ἐν πολέμοις παρεμβολὴν καὶ ἀκαταγώνιστον, ἐπὶ τούτοις ἡμέρας ἐκείνης τὴν γλυκυτάτην φαῦσιν, λειμώνων θείων τὴν ἡδυτάτην τέρψιν, πάσης ἀπολαύσεως τὴν μετουσίαν καὶ βασιλείας οὐρανῶν κληρουχίαν· || ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος f. 242 νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ κϛ΄.

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΕΙΡΗΝΑΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΣΙΡΜΙΟΥ.

1. Ἄρτι τῶν ἐπὶ τῇ κακίᾳ περιβοήτων Διοκλητιανοῦ φημι καὶ Μαξιμιανοῦ τῆς βασιλικῆς ἀρχῆς ἐπιλαβομένων καὶ κακῶς αὐτῇ κεχρημένων διατάγματά τε προτιθεμένων κατὰ τῶν εὑρισκομένων χριστιανῶν, ὁ μακάριος Εἰρηναῖος τῶν ἠπειλημένων ἐκείνων κολα|στηρίων καταφρονήσας καὶ τῆς σφοδροτάτης ἀνάγκης, ἅτε ἱερεὺς col. 2 τοῦ Θεοῦ τοῦ ὑψίστου, τὸν τῆς ἀληθείας λόγον ἐδίδασκε καὶ πολλοὺς τῆς ἀθεΐας ἐπέστρεφε πρὸς τὴν τῆς ἀληθείας ἐπίγνωσιν, μὴ θυμὸν ὑποπτήσσων ἀρχοντικόν, μὴ κολάσεις ποικίλας, μὴ ποταμούς, μὴ κρημνούς, οἷς οἱ διὰ Χριστὸν ἀθλοῦντες ἐπερρι||πτοῦντο, f. 242v μὴ καταμαλακιζόμενος οἷς εἰώθασιν ἄνθρωποι καταμαλακίζεσθαι, προσπαθείᾳ τεκόντων δηλαδή, παίδων ὀρφανίᾳ, δάκρυσι γυναικῶν, ἡλικιωτῶν αὐτῶν συμβουλαῖς, φίλων καὶ συγγενῶν ὀδυρμοῖς, μηδ' ἄλλοις τισὶ τοιούτοις ὅλως ἡττώμενος ἢ καὶ πρός τι τούτων καταπληττόμενος, τὴν δεσποτικὴν πάντως φωνὴν ἐπὶ μνήμης ἔχων καὶ τὰ ἐκεῖσε φρίττων δικαιωτήρια. «Ὅστις» γὰρ «ἀρνήσεταί με» φησίν

Rubro: v. 6 Μήκιστον, v. 10 Πάσης, v. 16 Ἄρτι
15 σηρμίs 16 φημὶ
30 sqq. ὅστις — οὐρανοῖς: Matth. 10, 33.

«ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι τοῦτον κἀγὼ ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς».

2. Ἔνθεν τοι καὶ πάντων καταφρονήσας χαίρων ἐχώρει πρὸς col. 2 τὸ μαρτύριον. συσχεθεὶς γὰρ ὑπὸ τῶν ἀσεβῶν καὶ τῷ τοῦ | Πρόβου βήματι προσαχθεὶς ἐν τῷ Σιρμίῳ τότε διάγοντος, ὅλος ἄτρεπτος, ὅλος ἀκατάπληκτος ἔστη. διὸ καὶ πρὸς αὐτὸν ὁ τῆς ἀνομίας υἱὸς «Τίς καὶ πόθεν καὶ τίνα τὰ κατὰ σοῦ φημιζόμενα, λέγε τὸ τάχος» ἔφη, «καὶ τίς ἡ κλῆσις αὐτή»; καὶ ἐπεὶ μάθοι τὰ περὶ τούτων ἠκριβωμένως, «Θῦσον, Εἰρηναῖε», λέγει «τοῖς ἀνικήτοις θεοῖς, ἵνα δὴ καὶ τῶν προεπταισμένων σοι τὴν συγχώρησιν λάβῃς καὶ τῶν μενουσῶν σε βασάνων ἀπαλλαγῇς καὶ μένῃς μεθ' ἡμῶν εὐφραινόμενος». καὶ πρὸς αὐτὸν «Ἀλλ' οὐ θύσω ποτέ, Πρόβε», φησὶν ἐκεῖνος, «οὐδὲ γὰρ ζῆν μεθ' ὑμῶν αἱροῦμαι, οὔτε μὴν τὸν ἐμὸν Χριστὸν ὅλως ἀρνήσομαι, Θεὸν ἀληθῆ τυγχάνοντα καὶ τῶν ἁπάντων ποιητὴν καὶ δεσπότην».

f. 243 3. Ἀλ||λὰ ταῦτα μὲν οὕτως εἰπόντα τὸν μάρτυρα τὸ δεσμωτήριον εἶχεν, ἡμερῶν δὲ παρελθουσῶν οὐκ ὀλίγων τὸ δικαστήριον αὐτὸν διεδέξατο. πρὸς ὃν ὁ ἡγεμὼν δεινὸν ἀπιδὼν καὶ τοῦτον θύειν ἀπαναγκάζων, ἐπεὶ μὴ πειθόμενον εἶχε, κολάσεσιν ὑπέβαλλε χαλεπαῖς καὶ ποικίλαις· ξεσμοῖς, μάστιξι, ταῖς ἐκ ῥάβδων πληγαῖς καὶ πάσαις ἄλλης βασάνου κακουργίαις. ὡς δὲ πρὸς ταῦτα μηδαμῶς ἐνεδίδου, καὶ πυρὸς ὁ μάρτυς, φεῦ, καθυπέμεινε καῦσιν καὶ καθ' ἑκάστην βάσανον ἀρνήσασθαι παρεβιάζετο τὸν Χριστὸν καὶ τοῖς κιβδήλοις λατρεῦσαι θεοῖς· καὶ ἐπεὶ μὴ ἐπείθετο, τρόποις ἀπατηλοῖς ὁ Πρόβος ὑπέρχεται τοῦτον, «Γυναῖκα ἔχεις» εἰπών, «υἱοὺς καὶ col. 2 λοιποὺς ἄλλους | προσήκοντας· μὴ δὴ τούτων στερηθῆναι θελήσῃς, νέαν ἔτι καὶ αὐτὸς ἄγων τὴν ἡλικίαν, ἀλλὰ κἂν δι' αὐτοὺς ζῆν οὕτω καλῶς παρ' ἡμῖν ἐθέλησον· ἔσται σοι γὰρ καὶ πλοῦτος καὶ δόξα καὶ τῶν ἄλλων καλῶν ἡ ἐπίδοσις».

4. Ταῦτα τούτου κομψῶς οὕτω καὶ περινενοημένως εἰπόντος, ὁ ἅγιος τὰ μὲν ἀκόλουθα τῆς ἀποκρίσεως ἀφείς, πρὸς ἓν δὲ τοῦτο συγκεφαλαιώσας τὸν λόγον, «Ὁ φιλῶν», εἶπε, «Χριστός φησι, πατέρα ἢ τέκνα ἢ γυναῖκα ἢ ἀδελφοὺς ὑπὲρ ἐμὲ οὐκέτι μου ἄξιος. καὶ ταῦτα διδάξαντος πῶς» φησὶν «ἐγὼ τούτου προτιμήσομαι τούτους, ὃς καὶ αὐτοὺς δύναται σῶσαι καὶ κληρονόμους ποιῆσαι τῆς αὐτοῦ f. 243v βασιλείας»; καὶ ὁ Πρόβος «Πρὸ τοῦ σε τὴν ἀπόφασιν || δέξασθαι,

Rubro: v. 4 Συσχεθείς, v. 12 Ἀλλ', v. 30 Τούτου, v. 36 Πρὸ

5 σηρμίῳ 33 *verba* ὑπὲρ ἐμὲ *in margine alia manu addita* ibid. οὐκέτι: οὐκ ἔστι?

32 sq. Ὁ φιλῶν — ἄξιος: cf. Matth. 10, 37.

ταλαίπωρε, θῦσαι θέλησον τοῖς θεοῖς, ἵνα μὴ κακῶς ἀποθάνῃς». καὶ ὁ ἅγιος «Οὐ θύσω, παράνομε, οὐκ ἀρνήσομαι τὸν Χριστόν μου, μὴ γένοιτο· οὐ μὰ τοὺς ὑπὲρ εὐσεβείας ἀγῶνας καὶ τὰ παλαίσματα, οὐκ ἄν, εἴ τί μοι καὶ μεῖζον τῶν προλαβόντων κακῶν προσενέγκῃς, ἀρνηθείην ἐγώ ποτε τὸν ἐμὸν ποιητήν».

5. Τότε δὴ τῷ θυμῷ σφαδάζων ὁ Πρόβος «Κατὰ τὸ πρόσταγμα» ⟨φησὶ⟩ «τῶν αὐτοκρατόρων» πρὸς τὸν ἅγιον ἔφη «τῇ φορᾷ δοθήσῃ τοῦ ποταμοῦ». — «Καὶ τί τοῦτο»; φησὶν ὁ ἅγιος· «καὶ ξίφει με πάντως εἴ γε καθυποβάλῃς, δέχομαι καὶ τοῦτο προθύμως, ναὶ δὴ καὶ ἀξιῶ· μείζονας γάρ μοι τοὺς στεφάνους πλέξεις καὶ τὰ βραβεῖα, καὶ τοῦτο | προσθείς· ἤλπιζον γὰρ ἄλλας τινὰς δεινοτέρας *col. 2* κολάσεις τῶν προεπενεχθεισῶν μοι διὰ Χριστὸν ὑπομεῖναι· νῦν δὲ καὶ ταῦτα τρυφὰς μᾶλλον ἢ κολάσεις ἡγοῦμαι». τούτων οὕτω ῥηθέντων ὀργῆς ὁ παράφορος πληρωθεὶς τόν τε διὰ ξίφους καταδικάζει θάνατον αὐτῷ καὶ τὴν εἰς τὸν ποταμόν, ὡς προέφην, κατάδυσιν.

6. Ἀφικνοῦνται τοιγάρτοι μετὰ σοῦ, πανάγαθε μάρτυς, οἱ στρατιῶται πρὸς τὴν οὕτω καλουμένην γέφυραν Ἄρτεμιν· ἀποδύῃ πρόθυμος τὰ ἱμάτια, γυμνὸς ἵστασαι, δέχῃ τὴν τομὴν καὶ τῷ ποταμῷ ἐπαφίῃ. καὶ νῦν σὺν ἀγγέλοις περὶ τὸν θρόνον ὡς ἀρχιερεύς, ὡς μάρτυς στρεφόμενος τὸν δεσποτικόν, αἴτησαι δωρηθῆναι παρὰ Θεοῦ || βασιλεῖ ἡμῶν τῷ δικαίῳ καὶ φιλαγάθῳ καὶ πᾶσιν ἐνσεμνυ- *f. 244* νομένῳ τοῖς καλοῖς προτερήμασι μέθεξιν ζωῆς μακρᾶς καὶ ἀπήμονος, ἰλύος παθῶν ἀλλοτρίωσιν, χρηστῶν ἔργων τὴν καλὴν μετουσίαν, ἀριστευμάτων τὴν κατόρθωσιν πάντων, ἡμέρας ἀνε|σπέρου *col. 2* τὸν καλὸν κλῆρον, λαμπρὰν δικαίων καὶ καλὴν ξυναυλίαν, πάντων ἐφετῶν τὴν ἀκροτάτην δόσιν καὶ βασιλείας Θεοῦ τὴν κληρουχίαν· ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Rubro: v. 2 **Θύσω**, v. 6 **Τότε**, v. 13 **Τούτων**, v. 17 **Ἀφικνοῦνται**, v. 23 **Μέθεξιν**, v. 26 **Πάντων**

7 φησὶ *delendum*   8 δοθείσῃ

Μηνὶ τῷ αὐτῷ κζ'.

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΦΙΛΗΤΟΥ ΚΑΙ ΤΗΣ ΓΥΝΑΙΚΟΣ ΑΥΤΟΥ ΛΥΔΙΑΣ ΚΑΙ ΤΩΝ ΤΕΚΝΩΝ ΜΑΚΕΔΟΝΟΣ ΚΑΙ ΘΕΟΠΡΕΠΟΥΣ, ΑΜΦΙΛΟΧΙΟΥ ΔΟΥΚΟΣ ΚΑΙ ΚΡΟΝΙΔΟΥ.

col. 2 *1. Φίλον ἄρα Θεῷ, φίλον δὴ | καὶ τοῖς εὐσεβέσι καὶ τὸ Φιλητοῦ μαρτύριον παραδοθῆναι γραφῇ· καὶ γὰρ ἔχει μετὰ τῶν ἄλλων καλῶν καὶ πολὺ τὸ ὠφέλιμον. τῶν τῆς συγκλήτου βουλῆς εἷς ἦν ὁ* f. 244ᵛ *καλὸς Φιλητός, || Ἁδριανοῦ τηνικαῦτα τὸ βασιλικὸν σκῆπτρον διέποντος, ἀνὴρ χρηστὸς καὶ ἐπιεικὴς καὶ φίλος Θεῷ ταῖς ἀρεταῖς γεγονώς, διαπρέπων ἅμα κατὰ τὸ Ἰλλυρικὸν καὶ τὴν ἐκεῖσε καλῶς ἀρχὴν ἐμπεπιστευμένος.*

2. Τῆς φήμης οὖν τὸν ἄνδρα περιβόητον ἐν τῇ τοῦ Χριστοῦ πίστει καὶ μεγαλουργὸν τιθεμένης, ὁ Ἁδριανὸς τὴν Ἰλλυριῶν χώραν καταλαβὼν ἄγει τοῦτον ἐπὶ τοῦ βήματος καὶ «Τί δή σοι καὶ ἔδοξε, Φιλητέ», φησὶ πρὸς αὐτόν, «τῆς τῶν θεῶν μὲν ἀποστῆναι λατρείας, τῇ θρησκείᾳ δὲ τῶν Γαλιλαίων κακῶς προσελθεῖν καὶ παρ' οὐδὲν μὲν δόξαν τοσαύτην ἡγήσασθαι καὶ τιμήν, περὶ πλείστου δὲ θέσθαι Χριστόν, ὃν Ἰουδαῖοι καλῶς ποιοῦντες ἐσταύρωσαν»; καὶ ὁ ἅγιος col. 2 *«Τί φῄς»; πρὸς | αὐτὸν εἶπεν· «ἐκ προγόνων αὐτῶν τῷ Χριστῷ μου λατρεύω καὶ οὔποτέ σου τοῖς ἀσεβέσι θεοῖς καὶ τὸ τυχὸν ἀπένειμα σέβας· καὶ λέγεις, ὡς ἀπέστην τῆς τῶν θεῶν λατρείας». καὶ ὁ βασιλεὺς «Τὰς ἐνεργείας οὖν τῶν θεῶν οὐχ ὁρᾷς» εἶπεν, «ὡς διοικεῖται καλῶς ὑπ' αὐτῶν ἡ σύμπασα»; καὶ ὁ ἅγιος «Σὺ δὲ τὰς δυνάμεις» ἔφη «τοῦ ὄντως Θεοῦ καὶ ποιητοῦ τῶν ἁπάντων, οὐρανοῦ τέ φημι καὶ γῆς, ἀγνοεῖς; τί γάρ σου καὶ εἰσὶν οἱ θεοί; οὐκ ἄρα λίθοι καὶ ξύλα καὶ χειρὸς ἀνθρωπίνης ἔργα»;*

3. Καὶ ὁ βασιλεύς· «Νὴ τὸν λαμπρότατον ἥλιον τὸν χρυσαυγῆ καὶ παγκόσμιον, αἰδοῦμαί σου τὸν τῆς συγκλήτου θρόνον, Φιλητέ. ἀλλὰ πάλιν τοὺς θεοὺς λυπῆσαι οὐ βούλομαι, καταφρονουμένους f. 258 *ὁρῶν ὑπὸ σοῦ. διό σοι καὶ συμβουλὴν || εἰσάγω χρηστὴν θῦσαι τούτοις καὶ ζῆσαι καλῶς· εἰ δ' οὖν, ἀλλὰ χαλεπαῖς σε κολάσεσι καθυ-*

Rubro: v. 5 ***Φίλον***, v. 7 ***Τῆς***, v. 12 ***Τῆς***, v. 18 ***Καὶ***, v. 21 ***Καὶ ὁ***, v. 27 ***Καὶ***
4 Θεοπρεποῦς: *infra* (p. 286, 2) Θεοπροπίου ibid. *Κρονίδου*: *Ῥοδίονος cod., sed p.* 286 *et* 287 *ubique Κρονίδης* 7 ὠφέλημον 19 φῇς 30 ***Folium quod f. 244 proxime insequebatur, in religando codice operarum errore suo loco motum folio 257 postpositum est et numero 258 signatum; folium insequens habet numerum 245.***

ποβαλῶ». — «Καὶ οὐκ αἰσχύνῃ σαφής» ὁ μάρτυς ἔφη «τοῖς δοθεῖσιν ἡμῖν εἰς ὑπηρεσίαν στοιχείοις, ἥλιόν φημι καὶ σελήνην, γῆν τε καὶ θάλασσαν καὶ τὰ λοιπά, τούτοις προσκυνεῖν καὶ λατρεύειν ἀφεμένους τοῦ ποιητοῦ τούτων καὶ ἡμῶν καὶ μόνου Θεοῦ»; καὶ ὁ τύραννος «Πάντων ἀνθρώπων ἀνοσιώτατε», φησί, «καὶ ποίαν ἄρα σοι ποιεῖται ὑπηρεσίαν ὁ λαμπρότατος ἥλιος καὶ ἡ φαιδροτάτη σελήνη»; καὶ ὁ ἅγιος «Ἐνεχθήτω, βασιλεῦ», εἶπεν, «ἡ τὴν κοσμογένειαν ἐμφαίνουσα βίβλος, κἀντεῦθεν γνώσῃ σαφῶς, ὅτιπερ ἡ πᾶσα κτίσις τῷ ἀνθρώπῳ νεύματι θείῳ δεδούλωται». νεύει πρὸς τοῦτο πεισθεὶς ὁ τύραννος· ἡ βίβλος κομίζεται· τὸ ῥητὸν ἀναγινώσκεται | τοῦτο· col 2 *«Καὶ ἐποίησεν ὁ Θεὸς τοὺς δύο φωστῆρας τοὺς μεγάλους, τὸν φωστῆρα τὸν μέγαν εἰς ἀρχὰς τῆς ἡμέρας καὶ τὸν φωστῆρα τὸν ἐλάσσω εἰς ἀρχὰς τῆς νυκτὸς καὶ τοὺς ἀστέρας».*

4. Καὶ τοῦ Φιλητοῦ ἀρκεῖν φήσαντος τὴν ἀνάγνωσιν καὶ πρὸς Ἀδριανὸν «Οὐχ οὕτως ἔχει, βασιλεῦ», εἰπόντος, «ἅπερ δή σοι καὶ εἶπον», ἐκεῖνος «Τὰς τῶν λόγων ταύτας ἀφεὶς» ἔφη «συμπλοκάς, Φιλητέ, θῦσον καλῶς ποιῶν τοῖς θεοῖς, μή σε τιμωρίαις πλείσταις ἐξαναλώσω». καὶ ὁ ἅγιος· «Εἶπόν σοι, βασιλεῦ, καὶ πάλιν ἐρῶ· χριστιανός εἰμι καὶ Χριστοῦ δοῦλος· ποίει τοίνυν τὸ σοὶ παριστάμενον».

5. Αὐτίκα γοῦν ἐκεῖνος κελεύει, καὶ τῷ δουκὶ Ἀμφιλοχίῳ πρὸς ἐξέτασιν παραδίδοται· καὶ ὃς προκαθίσας ἐπὶ τοῦ βήματος ἄγει τοῦτον ‖ εἰς τὴν ἐρώτησιν ἅμα Λυδίᾳ τῇ σεμνοτάτῃ τούτου γυναικί, f. 258v *κακούργῳ γνώμῃ καὶ ταύτην παραστησάμενος, ὡς αἰσχύνοι δι' αὐτὴν τὸν δίκαιον καὶ πειθήνιον ἕξοι. διὸ καὶ πρὸς αὐτὴν ἀποτείνων τὸν λόγον «Πείσθητί μοι» ἔφη, «Λυδία, καὶ θῦσον τοῖς θεοῖς ἅμα τῷ καλῷ Φιλητῷ, καὶ ζήσατε καλῶς σὺν ἡμῖν, μὴ θελήσαντες βασάνων ἐν πείρᾳ γενέσθαι. ἴστωσαν γὰρ οἱ θεοί, ὡς οὐκ ἰδεῖν ὑμᾶς ἐπερωτωμένους ἐν τούτοις ἐθέλω· εἰ δὲ μὴ βουληθῆτε, τὸν πικρὸν ἴδῃς πρότερον θάνατον Φιλητοῦ καὶ τῶν τέκνων σου, εἶτα δὴ καὶ τὸν σόν».*

6. Ἡμέρας οὖν εἰς διάσκεψιν πέντε λαβόντες ἐδέοντο τοῦ Θεοῦ μὴ διαμαρτεῖν τοῦ σκοποῦ, μήτε δὲ τὰ τέκνα τούτων πρὸς τοὺς ἀγῶνας ἐνδοῦναι. διὸ καὶ νουθεσίαις τοὺς υἱοὺς ὑπεστήριζον καὶ col. 2 *ἀσφαλεῖς πρὸς τὴν ἄθλησιν διετίθουν. οἱ δὲ πρὸς τοὺς τεκόντας «Μὴ δὴ θροηθῆτε» λέγουσι· «ζῇ γὰρ κύριος Ἰησοῦς ὁ Χριστός, ὡς*

Rubro: v. 5 *Πάντων*, v. 7 *Ἐνεχθήτω*, v. 9 *Τοῦτο*, v. 14 in. *Καί*, v. 18 *Εἶπον*, v. 32 *Οὖν*

2 *ἥλιον φημί* 8 *γνώσει* 29 *βουληθεῖτε*

11—13 *καὶ ἐποίησεν — ἀστέρας*: Genes. I, 16.

οὐκ ἐγκαταλείψομεν αὐτόν, οὐ προδώσομεν, εἴ τι ἂν καὶ Ἀμφιλόχιος ἐν ἡμῖν διαπράξηται». τῶν συνετῶν τούτων λόγων Θεοπροπίου καὶ Μακεδόνος, τῶν καλῶν καὶ γλυκυτάτων τέκνων, ἐπακούσαντες οἱ τεκόντες, πεσόντες ἐπὶ πρόσωπον προσεκύνησαν τῷ Χριστῷ.

7. Παρῆλθεν ἡ προθεσμία, καὶ στολὰς φαιδρὰς ἑαυτοῖς οἱ μάρτυρες περιθέντες παρέστησαν τῷ δουκί. κἀκεῖνος πρὸς αὐτοὺς «Τί δῆτα» φησὶ «καὶ ἐσκέψασθε; τὸ τάχος εἴπατε· πάντως δὲ τὸ λαμπρὸν ὑμῖν τῆς στολῆς τοῦτο βούλεται τὸ θελῆσαι θυσίαν ὑμᾶς f. 245 προσαγαγεῖν || τοῖς θεοῖς». καὶ ὁ ἅγιος «Ἐσκεψάμεθα καὶ τὸν λογισμὸν βεβαιότερον πρὸς τὴν εἰς Χριστὸν πίστιν πεποιήκαμεν καὶ οὐκ ἂν αὐτὸν ἀρνησαίμεθα πώποτε. ποίει τοιγαροῦν τὸ σοὶ παριστάμενον».

8. Τότε θυμωθεὶς ὁ δοὺξ ἐκέλευσε κρεμασθέντας αὐτοὺς καταξαίνεσθαι, τὴν δέ γε Λυδίαν βουνεύροις τοὺς μαστοὺς κατατέμνεσθαι. καὶ τούτων ἀπανθρώπως οὕτω τιμωρουμένων οὐδεμία φωνὴ ἐξηκούετο, ἢ μόνον «Χριστὲ βοήθει τοῖς δούλοις σου». ἦν δὲ παράδοξόν τι βλέψαι ξεομένων αὐτῶν καὶ ὑπέρμεγα· οὐδὲ γὰρ μώλωψ, οὐ πληγή, οὐκ ἴχνος σιδήρου τέμνοντος ταῖς σαρξὶν αὐτῶν ἐνεφαίνετο. διὸ καὶ καταπλαγέντες οἱ ξέοντες τῷ δουκὶ προσῆλθον, col. 2 τὸ πρᾶγμα γνωρίζοντες. κἀκεῖνος «Τῶν θεῶν» ἔφη | «τινὲς οἰκτείρουσι τοὺς ἀθλίους, τὴν ἐπιστροφὴν αὐτῶν προειδόμενοι». ὁ κεντυρίων οὖν Κρονίδης «Βδελύττονται τούτους» εἶπε «καὶ ἀναθέματι καθυπάγουσι». καὶ ὁ τύραννος· «Κακὴ κεφαλή, χρήματα λαβὼν τὰ ὑπὲρ αὐτῶν, ὡς ὁρῶ, μεγαλύνεις». ἐπιστραφεὶς δὲ καὶ πρὸς τοὺς στρατιώτας, «Καθελόντες αὐτοὺς» εἶπεν «ἐν ἀσφαλεστάτῃ σὺν τῷ Κρονίδῃ τηρήσατε φυλακῇ, καὶ αὔριον γνώσομαι τὰ κατ' αὐτοὺς ἀκριβῶς».

9. Εἰσελθόντων οὖν αὐτῶν ἐν τῇ φυλακῇ, προσέπεσεν ὁ Κρονίδης τῷ Φιλητῷ «Ἐὰν κἀγώ ⟨φησι⟩, κύριέ μου», λέγων, «τὸν Χριστὸν ὁμολογήσω Θεὸν ἀληθῆ, βάσανος οὐχ ἅψεταί μου τοῦ σώματος οὐδαμῶς»; καὶ ὁ ἅγιος «Ἔγνως ἐξ ὧν τεθέασαι, Κρονίδη», f. 245v φησί· || «τί με θέλεις ἐρωτᾶν; ὅμως γνώσῃ τῇ πείρᾳ, ὅτι μέγας ὁ Θεός ἐστι τῶν χριστιανῶν». τότε κλίναντες ὁμοῦ γόνυ πρὸς τὸν Θεὸν σὺν δάκρυσιν ηὔχοντο μὴ σχεῖν ἐν αὐτοῖς χώραν τὸν παλαιὸν πτερνιστὴν καὶ ἅμα τὴν στέγην ἔδοξαν ὁρᾶν ἀρθῆναι τῆς φυλακῆς καὶ φῶς ἀστράψαι μέγα περὶ αὐτοὺς καὶ τὸν Χριστὸν αὐτοῖς ὀφθῆναι σὺν ἀγγέλων τάγμασι πλείστοις καὶ φωνὴν ἐντεῦθεν ἐνεχθῆναι

Rubro: v. 2 Συνετῶν, v. 6 Παρῆλθεν, v. 10 Ἐσκεψάμεθα, v. 29 Οὖν

16 οὐδὲ μία 19 τέμνο^{τος}ν. ταῖς 30 φησι *deleti* 33 τῆι πεῖρα

λέγουσαν· «Εἴπερ ὑμεῖς ἔμπροσθέν με τῶν ἀνθρώπων ὁμολογήσετε, κἀγὼ ὑμᾶς ἔμπροσθεν ὁμολογήσω τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς». καὶ πάλιν «Μὴ φοβοῦ, Κρονίδη», φησί, «μετὰ σοῦ γάρ εἰμι». καὶ ταῦτα μὲν οὕτως.

10. Τῇ ἕωθεν προκαθίσας ὁ δοὺξ ἐκέλευσε παραστῆναι τοὺς ἁγίους | ἐπὶ τοῦ βήματος. καὶ τούτου γενομένου πρὸς τὸν Κρονίδην col. 2 ὁ ἄρχων ἀποβλεψάμενος «Ἵνα τί» φησὶ «καὶ σὺ συνυπήχθης τοῖς ἀνοσίοις τούτοις καὶ τῷ ἐσταυρωμένῳ προσῆλθες;» καὶ ὁ Κρονίδης· «Ὅτι μέγας οὗτός ἐστι Θεὸς καὶ ποιῶν θαυμάσια μόνος, καὶ δι' αὐτοῦ ἐλπίζω σωθήσεσθαι». καὶ ὁ Ἀμφιλόχιος «Ὁ Χριστός σου» ἔφη, «ταλαίπωρε, βοηθῆσαι τὸ σύνολον ἑαυτῷ μηδαμῶς ἴσχυσε, καὶ σὲ σῶσαι δυνήσεται; καὶ γνώσομαι». καὶ εὐθὺς ἐκέλευσε, καὶ κομίζουσι λέβητα καὶ πληροῦσιν ἐλαίου καὶ σφοδρῶς τοῦτον ἐκκαίουσι κἀν τούτῳ τοὺς ἁγίους ἐμβάλλουσι. τότε δὴ οὖν, τότε «Λάβε τὸ λουτρὸν τῆς παλιγγενεσίας» ὁ Φιλητὸς ἔφη Κρονίδῃ, «τοῦτο γάρ σοι καὶ βάπτισμα καὶ ἁμαρτιῶν ἄφεσις λογισθήσεται». καὶ εὐθὺς ψυχρὸς || ὁ λέβης γέγονε καὶ ἀπαθεῖς οἱ ἅγιοι τῆς καύσεως ἔμειναν. f. 246

11. Τοῦτο δὲ τὸ παράδοξον ὁ δοὺξ θεασάμενος καὶ συνεὶς τὴν δύναμιν τοῦ Χριστοῦ βάλλει ἑαυτὸν εἰς τὸν λέβητα, θείας χάριτος τῆς αὐτοῦ ψυχῆς ἁψαμένης, «Συγχώρησόν μοι» λέγων, «Χριστέ, τῷ ἁμαρτωλῷ καὶ ἄφες εἴ τι καὶ κατὰ τῶν ἁγίων σου διαπέπραγμαι. καὶ γὰρ ἥμαρτον ἐνώπιόν σου καὶ οὐκ εἰμὶ ἄξιος κληθῆναί σου δοῦλος· ἀλλὰ διὰ τὴν πολλήν σου μακροθυμίαν καιρόν μοι μετανοίας παράσχου, ἵν' ἀποκλαύσωμαι τῶν ἐσφαλμένων μοι τὰς εὐθύνας». καὶ ἅμα φωνὴ τῶν οὐρανῶν ἐξηκούσθη, «Δεῦρο» λέγουσα «πρός μέ· συνηρίθμησαι καὶ γάρ, Ἀμφιλόχιε, μετὰ τῶν ἁγίων μου, μεθ' ὧν καὶ ζήσεις εἰς τοὺς μακροὺς αἰῶνας».

12. Τούτων οὕτω γενομένων | ἡ τάξις τὸ γεγονὸς τῷ βασιλεῖ col. 2 κατεμήνυσε, καὶ εὐθέως τὸ Ἰλλυρικὸν ὁ Ἁδριανὸς κατέλαβεν ἀπειλῆς γέμων καὶ φόβου. τῇ οὖν ἕωθεν προκαθίσας ἐπὶ τοῦ βήματος καὶ τὸν Ἀμφιλόχιον μόνον παραστησάμενος «Οὐκ ἔγνως» ἔφη «τὸν δόντα σοι τὴν ἐξουσίαν, ἀνόσιε; καὶ πῶς αὐτοῦ καταφρονήσας ἀλλοτρίῳ προσῆλθες θεῷ»; καὶ ὁ Ἀμφιλόχιος «Ἔγνων» εἶπε «τὸν δόντα μοι τὴν ἐξουσίαν καὶ διὰ τοῦτο τοὺς ἄλλους καταλιπὼν αὐτὸν προσκυνῶ· σὺ δὲ πάντως οὐκ ἔγνως τὸν δόντα σοι τὸ βασί-

Rubro: v. 5 **Τῇ**, v. 10 ἀμφιλό|**Χιος**, v. 18 **Παράδοξον**, v. 28 **Τούτων**, v. 30 **Τῇ**, v. 33 **Καὶ**

1 ὁμολογήσεται 36 ἢ γὰρ

1—3 εἴπερ — οὐρανοῖς: cf. Matth. 10, 32. 15 λουτρὸν τῆς π — σίας: Tit. 3, 5. 22 ἥμαρτον — δοῦλος: cf. Luc. 15, 21.

λειον· ἢ γὰρ ἂν καὶ αὐτὸς τούτῳ προσιὼν προσεκύνεις». καὶ ὁ βασιλεὺς «Ἐγώ σοι δείξω, κατάρατε, πῶς χρὴ τοῖς βασιλεῦσι προσομιλεῖν». καὶ εὐθὺς λέβητα κελεύει γενέσθαι χαλκοῦν, ἐλαίου τε ||
f. 246v πληρωθῆναι τοῦτον καὶ σφοδρῶς ἐκκαυθῆναι κἀν τούτῳ τοὺς ἁγίους ὁμοθυμαδὸν ἐμβληθῆναι. τῆς καύσεως οὖν εἰς ἄκρον γεγενημένης καὶ τῶν ἁγίων ἐμβληθέντων, τὸ πῦρ οὐμενοῦν οὐδαμῶς καθήψατο τούτων, ἀλλ' ἔμειναν οἱ θαυμάσιοι τῶν τριῶν ἐκείνων καὶ μακαρίων παίδων τὸν ὕμνον ᾄδοντες χαρμοσύνως. ὅπερ ὁ βασιλεὺς μὲν γνοὺς καὶ ὅλος ἡττηθεὶς νύκτωρ ἀπαναστὰς πρὸς τὴν Ῥώμην ὥρμησεν.

13. Ὑμεῖς δέ, ὦ καλλίνικοι μάρτυρες, τὰ πνεύματα χερσὶ Θεοῦ μὴ φλογισθέντες τῷ πυρὶ μηδαμῶς παρέθεσθε χαίροντες. ἄνδρες δέ τινες φιλομάρτυρες φιλοτίμῳ ταφῇ ταῦτα δεδώκασι. καὶ νῦν οἰκοῦντες τοὺς οὐρανοὺς καὶ περὶ τὸν θρόνον στρεφόμενοι
col. 2 τὸν δεσποτικὸν νέμοιτε καὶ βασιλεῖ ἡμῶν τῷ θεοστεφεῖ μεγίστων τροπαίων νίκας καὶ κατορθώματα, ἰσχύος ἐθνῶν τὴν κατάλυσιν, χωρῶν αὐτῶν τὴν ἀπάλειψιν, Ἀγαρηνῶν στόλου τὴν ἐξολόθρευσιν, ἡσύχου βίου καὶ ἀταράχου τὴν αὔξησιν, λαοῦ πιστοῦ τὴν συντήρησιν, πάσης θυμηδίας τὴν δόσιν καὶ βασιλείας οὐρανῶν τὴν ἀπόλαυσιν· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

f. 247 *Μηνὶ τῷ αὐτῷ κη΄.*

ΜΑΡΤΥΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΙΩΝΑ ΚΑΙ ΒΑΡΑΧΗΣΙΟΥ ΚΑΙ ΤΗΣ ΣΥΝΟΔΙΑΣ ΑΥΤΩΝ.

1. Σαβώριος ὁ Περσῶν βασιλεὺς δεινὸν κατὰ χριστιανῶν πνέων καὶ μανικὸν τοῖς ὑπ' αὐτὸν ἀρχιμάγοις ἐκέλευσε τὰ θυσιαστήρια Χριστοῦ πάντα τὰ κατ' ἐκείνην τὴν χώραν πυρὶ παραδίδοσθαι καὶ τοὺς εὑρισκομένους ἐν αὐτῇ Θεὸν κηρύττοντας τὸν Χριστὸν πειθομένους μὲν καὶ θυσίας ἡλίῳ προσάγοντας καὶ πυρὶ τιμαῖς δεξιοῦ-
col. 2 σθαι καὶ δώροις, τοὺς δέ γε μὴ κατανεύοντας | τιμωρίαις ἐκδίδοσθαι καὶ βασάνοις πικραῖς. κατὰ γοῦν τοὺς χρόνους ἐκείνους, ὅτε δὴ καὶ Κωνσταντῖνος ὁ μέγας τῶν Ῥωμαϊκῶν διίθυνε σκήπτρων τὴν ἐπι-

Rubro: v. 5 *Τῆς*, v. 11 *Δέ*, v. 15 *Μεγίστων*, v. 19 *Πάσης*, v. 25 *Σαβώριος*. v. 31 *Κατά*

2 *σοι: σε cod.*

κράτειαν, τοῦ Περσικοῦ διωγμοῦ μέγα κατὰ χριστιανῶν, ὡς εἴρηται, πνέοντος, ἡ καλλίστη δυὰς τῶν ἁγίων, Ἰωνᾶ φημι καὶ Βαραχησίου, κώμην τινὰ κατοικοῦντες Ἴασσαν καλουμένην, τὰ περὶ τῶν διὰ Χριστὸν ἀθλούντων μανθάνοντες, οἵαις τε κολάσεσι μὴ θύειν || [f. 247v] πειθόμενοι παραπέμπονται καὶ οἵαις ἄλλαις κακουχίαις τε καὶ θλίψεσι κατεργάζονται, ζήλῳ ῥωσθέντες τὰς ψυχὰς θείῳ τὸν τόπον ἐκεῖνον, ὅπου δὴ καὶ τὰς βασάνους ὑπέμενον οἱ διὰ Χριστὸν ἀθλοῦντες, κατέλαβον.

2. Κώμη δὲ ἦν οὕτω Βαρδιαβὼχ καλουμένη, ἐν ᾗ τῷ τὴν τήρησιν ἐπιτετραμμένῳ τῶν ἁγίων προσεντυχόντες δώροις πείθουσι τοῦτον εἰς ἐπίσκεψιν αὐτῶν τὴν φυλακὴν εἰσελθεῖν· καὶ δὴ καὶ εἰσελθόντες ἄνδρας εὗρον ἐννέα τὸν ἀριθμόν, ὧν ἀναγκαῖον παραστῆσαι καὶ τὰ ὀνόματα. ἦσαν γὰρ Ζανιθᾶς, Λάζαρος, Μαρουθᾶς, Μάρις, Ἡλίας, Μέρσης, Ἄβιβος, Σιμβεήθης καὶ Σάβας οἱ τρισμακάριοι. τούτους οὖν ἀσπασάμενοι καὶ τὰ διὰ Χριστὸν αὐτῶν κα|ταφιλήσαντες [col. 2] *τραύματα καὶ μακαρίους ἀποκαλέσαντες, ναὶ δὴ καὶ πρὸς τοὺς ἀγῶνας ἀλείψαντες, τοσοῦτον ἤδρασαν εἰς τὴν πίστιν, ὥστε καλῶς τὸν τοῦ μαρτυρίου δρόμον αὐτοὺς διανύσαντας ταῖς οὐρανίαις ἄρτι σκηναῖς ἐμφιλοχωρεῖν.*

3. Τί οὖν τὸ ἐντεῦθεν; διαβάλλονται πρὸς τοὺς ἀρχιμάγους, ὡς οὔτε θύουσιν οὔτε τὰς προστάξεις Σαβωρίου τελοῦσιν οὔτε προσκυνεῖν ἀνέχονται πυρὶ καὶ ἡλίῳ καὶ ὕδατι, καὶ ὡς οἱ περὶ τὸν Ζανιθᾶν ὑπὸ τούτων ἠπάτηνται. καὶ εὐθὺς ἄγονται πρὸς αὐτοὺς καὶ εἰς ἐρώτησιν ἔρχονται, τίνες ἄρα καὶ εἶεν καὶ ὅπως κατονομάζονται. τῶν δὲ πάντα τὰ κατ' αὐτοὺς γνωρισάντων καὶ ὅτι χριστιανοὶ καὶ μοναχοὶ καὶ ὁ μὲν Ἰωνᾶς ὀνομάζοιτο, || [f. 248] θάτερος δὲ Βαραχήσιος, οἱ ἀρχιμάγοι «Ποιεῖτε οὖν» εἶπον «τὸ θέλημα τοῦ βασιλέως, προσκυνεῖτε ἡλίῳ καὶ πυρὶ καὶ ὕδατι, ἢ οὔ;» καὶ οἱ ἅγιοι· «Καὶ τίνα δεῖ προσκυνεῖν» εἶπον, «ὦ οὗτοι, καὶ τίνα φοβεῖσθαι, τὸν ποιητὴν τῶν στοιχείων τούτων Θεόν, ἢ τὸν ὁμόδουλον αὐτοῖς βασιλέα; πάντως τὸν Θεὸν νοῦν ἔχων ἄνθρωπος εἴποι· ὁ μὲν γὰρ ἀθάνατος καὶ ἀνώλεθρος καὶ οὔποτε λήγων, ὁ δέ γε βασιλεὺς ὑμῶν καὶ θνητὸς καὶ ζῶν πρὸς ὀλίγον».

4. Θυμοῦνται τούτων ἀκούσαντες οἱ μάγοι καὶ ῥάβδοις ῥοῶν, ὄζοις ἠκανθωμέναις, διαστήσαντες τοὺς μάρτυρας ἀπ' ἀλλήλων, τύπτεσθαι κελεύουσιν οἱ κατάρατοι. τούτου δὲ γενομένου καὶ δεινῶς τῶν μαρτυρικῶν ἐκείνων σωμάτων καταξαινομένων ταῖς ῥάβ-

Rubro: v. 20 *Τὸ*, v. 28 *Καὶ τίνα*, v. 34 *Θυ|Μοῦνται*, v. 36 *Δὲ*

2 *φημὶ cod.* 16 *καὶ δὴ Delehaye in editione sua (v. praef.).* 24 *κατονομάζονται cod.*

col. 2 *δοις, | ὁ Ἰωνᾶς μόνος τῷ βήματι τούτων αὖθις προσάγεται καὶ λόγοις πάλιν ἐκκαλεῖται παρὰ τῶν μάγων πρὸς τὴν ἀσέβειαν. καὶ ἐπεὶ μὴ ἀρνήσασθαι πώποτε Χριστὸν ὁ καλὸς ἔλεγε μάρτυς, ὅτι· «Αὐτός ἐστι» φησίν «ἡ ἐλπὶς ἡμῶν καὶ τὸ στήριγμα», δεσμεῖται νόμῳ Περσικῷ χεῖρας ἅμα καὶ πόδας, ξύλου μέσον παρελαθέντος τῶν σχοίνων· καὶ ἦν οὕτω τῷ ἐδάφει προσκείμενος λίθος ὥσπερ ἀργός (ἀμετακίνητον γὰρ αὐτὸν τὸ ξύλον ἐποίει) καὶ ῥάβδοις ἐπὶ τοσοῦτον ῥοῶν ἠκανθωμέναις τυπτόμενος χαλεπῶς, ἕως αἱ πλευραὶ τῶν σαρκῶν γυμνωθεῖσαι τὰ ὀστᾶ παρεδήλουν, ναὶ δὴ καὶ αὐτὰ τὰ τοῦ μάρτυρος ἔγκατα. πικρῶς οὖν οὕτω τιμωρούμενος δόξαν ἐδίδου* f. 248v *Θεῷ καὶ || μεγάλῃ φωνῇ τὸν Σαβώριον ἄδικον ἀπεκάλει καὶ τοὺς ὑπηρετουμένους αὐτῷ, ναὶ δὴ καὶ τὰ στοιχεῖα μὴ θεοὺς ἔλεγεν εἶναι, ἀλλ' εἰς δουλείαν τῶν ἀνθρώπων ὑπὸ τοῦ μεγάλου καὶ ἀληθοῦς παρασχεθῆναι Θεοῦ. τούτων οἱ ἀσεβεῖς ἀκούσαντες σχοινίον αὐτοῦ τῶν ποδῶν ἐξαρτῶσι καὶ τῆς κώμης ἕλκουσιν ἔξω καὶ τῷ παγετῷ δι' ὅλης τῆς νυκτὸς ἐπιμεῖναι καταδικάζουσι, χειμερίου τότε τῆς ὥρας οὔσης καὶ πνοῆς βορέου δριμείας τὴν ὑγρὰν φύσιν εἰς λίθου μεταποιούσης ἀντιτυπίαν καὶ τὸ ἔμψυχον ἅπαν ἐπειγούσης πρὸς θάνατον.*

5. Οὕτως οὖν αὐτοῦ διανυκτερεύσαντος, τῇ ἐπαύριον οἱ μάγοι col. 2 *τὸν Βαραχήσιον εἰς τὸ βῆμα προσάγουσι καὶ πρὸς αὐτὸν «Ἰδού, | Βαραχήσιε», λέγουσιν, «ὑπεῖξε τῷ θελήματι τοῦ βασιλέως ὁ Ἰωνᾶς· θῦσον τοίνυν καὶ αὐτὸς καὶ ἀπαλλάττου τῶν κολαζόντων σε». καὶ ὁ ἅγιος· «Θύσω καθὼς Ἰωνᾶς» ἔφη, «τὴν αὐτὴν αὐτῷ προαίρεσιν ἔχων». ἔγνωσαν ὡς οὐκ ἔλαθον οἱ μάγοι καὶ τότε μὲν αὐτὸν τῇ φυλακῇ παραδιδοῦσι, νυκτὸς δέ, καθὰ δὴ καὶ Ἰουδαῖοι τὸν ἐμὸν Ἰησοῦν, ἐπὶ βήματος ἱστῶσι καὶ περὶ τῶν αὐτῶν ἀνακρίνουσι. καὶ ἐπεὶ μὴ ἔπειθον, βώλους δύο χαλκοῦς ἐνεχθῆναι κελεύουσι πυρωθέντας σφοδρῶς καὶ δύο βάσεις πεπυρακτωμένας ὁμοίως· ἐν αἷς στήσαντες αὐτὸν καὶ τοὺς βώλους ταῖς αὐτοῦ μασχάλαις ἐνθέμενοι, φασὶ πρὸς αὐτόν· «Τεκμήριον ἔστω σοι, Βαραχήσιε, τοῦτο, ὡς εἴγε* f. 249 *τῶν βώλων εἷς ἐκπε||σεῖταί σου τῶν μασχαλῶν, ὡς ἀρνούμενος κατακριθήσῃ Χριστόν». καὶ ὁ μάρτυς· «Οὐ μὰ τὸν Χριστόν, οὐ τὸ πῦρ ὑμῶν χαυνῶσαί μου τὸν τόνον ἰσχύσει· γενναίως δὲ στήσομαι καὶ τὴν καῦσιν ὑπομενῶ δι' αὐτόν. πλὴν ὁρκίζω ὑμᾶς κατὰ τοῦ βασιλέως ὑμῶν, εἴ τινα μείζονα ταύτης ἔχοιτε βάσανον, καὶ ταύτην*

Rubro: v. 4 *νό|**Μ**ῳ*, v. 10 ***Ο**ὖν*, v. 14 ***Ο**ἱ*, v. 20 ***Α**ὐτοῦ*, v. 24 ***Θ**ύσω*, v. 33 *μάρ|**Τ**υς*

4 *φησί cod.* 14 *παρασχυθῆναι cod., em. D.* 21 *προάγουσι D.* 25 *ἔγνων cod. et D.* 28 et 30 *βόλους*, 32 *βόλων cod., em. D.* 28 *χαλκοὺς cod.*

μοι τάχος προσαγαγεῖν». τότε θυμοῦ πλησθέντες οἱ ἀσεβεῖς μόλυβδον πυρὶ λυθέντα τοῖς βλεφάροις αὐτοῦ καὶ τῇ ῥινὶ καὶ τῷ φάρυγγι, φεῦ, ἐγχεθῆναι κελεύουσιν, εἶτα τῷ δεσμωτηρίῳ πέμπουσι καὶ ποδὸς ἐξ ἑνὸς ἀναρτῶσιν αὐτόν.

6. Γίνεται ταῦτα, καὶ τὸν Ἰωνᾶν εἰς δικαστήριον ἄγουσιν, ἐρωτῶσί τε περὶ τῆς χαλεπῆς ἐκείνης νυκτός, ὡς διήγαγε ταύτην· εἶτα καὶ πεῖραν | αὐτῷ προσάγουσιν, «Ὁ ἀδελφός σου» λέγοντες «Βαραχήσιος col. 2 ἠρνήσατό σου τὸν Χριστόν». καὶ ὁ ἅγιος· «Οἶδα σαφῶς, ὡς τὸν ἀρχηγὸν ὑμῶν ἠρνήσατο δαίμονα καὶ τέλεον τῷ Χριστῷ προσηνέχθη». καὶ οἱ τύραννοι «Μὴ ἀπολέσῃς σου κακῶς τὴν ψυχήν» εἶπον, «ἀλλὰ ποίησον τὸ τοῦ βασιλέως πρόσταγμα καὶ ἀπολυθήσῃ τῆς ἐνοχῆς». ἐπεὶ οὖν πλεῖστα πρὸς αὐτοὺς διδάσκων ὡσανεὶ καὶ παιδεύων ἔφησε καὶ «Ὅτιπερ ἐπ᾽ εὐλογίαις σπείρων ἐπ᾽ εὐλογίαις δὴ καὶ θερίσω» καὶ τέλος συγκεφαλαιώσας τὸν λόγον «Οὐκ ἀρνήσομαι τὸν Χριστόν μου» εἶπε, «μὴ γένοιτο· οὐ θύσω ἡλίῳ καὶ πυρὶ καὶ ὕδατι». ἐπεὶ ταῦτα γενναίῳ φρονήματι πρὸς τοὺς ἀρχιμάγους ἐλάλησε, τέμνεται, φεῦ, τῶν χειρῶν || ἀπηνῶς καὶ τῶν ποδῶν τοὺς f. 249v δακτύλους· εἶτα καὶ λόγοις παρὰ τῶν κακούργων εἰρωνικοῖς βάλλεται, «Ἕξεις» εἰπόντων «πολλοὺς δακτύλους, Ἰωνᾶ, κατὰ τὸν τοῦ θέρους καιρόν». καὶ ὃς πρὸς αὐτούς «Ὁ πλάσας με Θεὸς» εἶπεν «ἄρτιον αὐτὸς ἐν τῇ ἀναστάσει ποιήσει, καθὰ δὴ καὶ μὴ ὄντα παρήγαγεν».

7. Πλησθέντες οὖν ἐπὶ τούτοις θυμοῦ λέβητα πίσσης βραζούσης ἐνεχθῆναι κελεύουσιν, αὐτοῦ δὲ τοῦ ἁγίου τὴν δορὰν περιαιρεθῆναι τῆς κεφαλῆς, εἶτα καὶ τὴν γλῶσσαν τμηθῆναι καὶ ταῦτα τῷ λέβητι προσαφεθῆναι, πρὸς τούτοις καὶ αὐτὸν τοῦτον ἐναπορριφῆναι τῇ πίσσῃ, δεινὸν οἷον, ὡς εἴρηται, βραζούσῃ καὶ φοβερόν. τί οὖν γίνεται; ὡς μεγάλα, κύριε, καὶ θαυμαστά σου | τὰ ἔργα, καὶ οὐδεὶς col. 2 λόγος ἐξαρκέσει πρὸς ὕμνον τῶν θαυμασίων σου. ἐκχυθεῖσα γὰρ ἡ πίσσα τοῦ λέβητος ἀβλαβῆ τὸν μάρτυρα διεσώσατο. τότε τοίνυν οἱ ἐπὶ κακίᾳ περιβόητοι μάγοι κοχλίᾳ τοῦτον ἐμβάλλουσι καὶ συντρίβουσιν αὐτοῦ δεινῶς τῇ περιστροφῇ τὰ ὀστᾶ. εἶτα καὶ πρίουσιν αὐτὸν κατὰ μέσον καὶ λάκκῳ τοῦτον χωννύουσι, φθονοῦντες πάντως χριστιανοῖς τῆς τιμῆς. τοῦτο τὸ τέλος καὶ τοιοῦτον τοῦ προφητωνύμου τούτου μάρτυρος Ἰωνᾶ, τοιοῦτοι οἱ ἀγῶνες, τοιαῦτα δὴ καὶ τὰ σκάμματα. ἀλλ᾽ ἐπανιτέον πρὸς τὸ προκείμενον.

Rubro: v. 1 **Πλησθέντες**, v. 5 γί|**Νεται**, v. 8 **Οἶδα**, v. 12 ἐ|**Πεὶ**, v. 23 πλησθέν|**Τες**, v. 27 **Τί**, v. 31 **Ἐπὶ**, v. 34 **Τοῦτο**

2—3 *φάρυγι* cod., *em. D.* 5—6 *ἐρωτῶσι τὶ* cod. 13 *σπείρον* cod., *em. D.* 15 *εἶπεν* cod. 28 *καὶ ante θαυμαστὰ D. putabat omissum esse, cum exstet in codice, per compendium κ(αὶ) scriptum.* 33 *χωννύουσιν D.*

13—14 *ἐπ᾽ εὐλογίαις — θερίσω*: cf. 2 Cor. 9, 6.

8. Ὁ καλὸς μετὰ ταῦτα Βαραχήσιος ἐπὶ βήματος ἵσταται, πρὸς [f. 250] ὃν οἱ μάγοι «Μὴ θελήσῃς» ἔφησαν, «Βαραχήσιε, κακῶς καὶ σὺ || τὸ ζῆν ἀπορρῆξαι, ἀλλὰ ποίησον τὸ τοῦ βασιλέως πρόσταγμα καὶ ζῆσον καλῶς». — «Οὐκ ἂν ἔγωγε» πρὸς αὐτοὺς εἶπεν ὁ Βαραχήσιος «ἀνδρὸς ἐξουθενημένου καὶ παράνομα πράττοντος προστάγμασιν εἴξω ποτέ». θυμὸς ἐπὶ τούτοις ἔσχε τοὺς μάγους δεινός, καὶ τί ποιοῦσιν; ἕλκουσιν ἐν ἀκάνθαις τὸν μάρτυρα, καλάμους σχίσαντες κατὰ τῶν αὐτοῦ τιθοῦσι σαρκῶν, λεπτοῖς ἱμᾶσι περισφίγγουσι τούτους, ἐξάγουσι σὺν βίᾳ τῶν δεσμῶν τοὺς καλάμους καὶ συνεξάγουσι τούτοις καὶ τὰς τοῦ μάρτυρος σάρκας· εἶτα τῷ κοχλίᾳ, ᾧ τὸν Ἰωνᾶν ἐνέβαλον, ἐμβάλλουσι τοῦτον καὶ συντρίβουσι, φεῦ, μέλος ἅπαν αὐτοῦ καὶ ὀστοῦν,—ὢς πονηρά σου, διάβολε, τὰ τεχνάσματα,— [col. 2] καὶ πίσσαν βράζουσαν ἐγχέουσιν αὐτοῦ τῷ λαιμῷ· | οὗ δὴ γενομένου, θαύμασιε καὶ καλλίνικε μάρτυς, καὶ αὐτὸς εἰς χεῖρας Θεοῦ ζῶντος τὸ πνεῦμά σου παρέθου καὶ τὸν ποθούμενον Ἰωνᾶν τὸ τάχος, μηδὲ μικρὸν ἐθέλων ἀπολειφθῆναι, κατέλαβες.

9. Ἀνὴρ δέ τις φίλος ἐς τὰ μάλιστα τὰ πάντιμα ὑμῶν ἐξωνησάμενος σώματα μιλιαρησίων τριῶν καὶ πεντακοσίων Περσικῶν, ναὶ δὴ καὶ τῶν προμεμαρτυρηκότων ἐννέα, οὓς ὁ λόγος προλαβὼν ἐδήλωσε, φιλοτίμῳ ταφῇ παραδέδωκε καὶ θησαυρὸν θαυμάτων ἀνέκλειπτον χριστιανοῖς ἐχαρίσατο. εἰκοστὴν ὀγδόην ἔτρεχεν ὁ Μάρτιος μήν. καὶ νῦν οἰκοῦντες τοὺς οὐρανούς, ὦ παγγέραστοι, καὶ τῷ δεσποτικῷ παριστάμενοι θρόνῳ νέμοιτε καὶ βασιλεῖ ἡμῶν τῷ φιλομάρτυρι [f. 250v] καὶ || πιστῷ καὶ τὰ πάντα καλῷ μῆκος ζωῆς ἀπήμονος καὶ καλῶν ἀφθονίαν, ἰσχὺν κατ' ἐχθρῶν καὶ τρόπαια καὶ νίκας, χεῖρα δυνατὴν κατ' αὐτῶν καὶ γενναίαν, ἀΰλων μονῶν πρὸς τούτοις κατοικίαν, [col. 2] ἡλίου φαῦσιν τοῦ νοητοῦ καὶ θείου, λει|μώνων θείων τὴν ἡδυτάτην τέρψιν, πάντων τῶν καλῶν τὴν μετάληψιν ὄντως καὶ βασιλείας οὐρανῶν κληρουχίαν· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Rubro: v. 1 Καλὸς, v. 6 τού|Τοις, v. 13 Οὗ, v. 24 Μῆκος, v. 28 Πάντων
15 μὴ δὲ cod.

Μηνὶ τῷ αὐτῷ κθ'.

ΑΘΛΗΣΙΣ ΤΩΝ ΑΓΙΩΝ ΙΕΡΟΜΑΡΤΥΡΩΝ ΜΑΡΚΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΡΕΘΟΥΣΙΩΝ ΚΑΙ ΚΥΡΙΛΛΟΥ ΔΙΑΚΟΝΟΥ.

1. Ἰουλιανοῦ τοῦ δυσσεβοῦς τῶν τῆς βασιλείας | σκήπτρων col. 2 *ἐπειλημμένου καὶ πολλῇ κεχρημένου τῇ περὶ τὰ εἴδωλα πλάνῃ καὶ διωγμὸν κατὰ χριστιανῶν κινήσαντος μέγαν, οἱ τῆς ἀσεβείας προστάται σπουδὴν ἐ||τίθεντο πλείστην, εἴ που καὶ συλλάβοιέν τινα τῶν* f. 251 *πιστῶν καὶ παντοίαις παραδοῖεν κολάσεσι καὶ τέλος τῆς ζωῆς ἀποστήσαιεν.*

2. Κατὰ τοὺς χρόνους οὖν τοῦ μεγάλου βασιλέως Κωνσταντίνου τοῦ πάνυ τῆς Ἀρεθουσίων ἐκκλησίας τῷ Μάρκῳ ποιμένι γνωριζομένῳ καὶ καλῶς τὴν ποίμνην διεξάγοντί τε καὶ διευθύνοντι, παρρησίαν τε πρὸς τὸν ἐν βασιλεῦσιν ἀοίδιμον κτησαμένῳ πολλὴν τῷ περιόντι τῆς ἀρετῆς ὁ καλὸς οὗτος καὶ θαυμαστὸς Κωνσταντῖνος κατὰ τῶν εἰδωλικῶν ναῶν ἐξουσίαν δίδωσι καὶ δυναστείαν πολλὴν καθαιρεῖν μὲν αὐτοὺς καὶ πρὸς ἔδαφος αὐτὸ κατασπᾶν, θείους δὲ ναοὺς ἀνιστᾶν τῷ Θεῷ καὶ θυσιαστήρια. ταύτης τῆς ἐξουσίας ὁ καλὸς δραξάμενος Μάρκος | πολλὰ μὲν εἰδωλικὰ τεμένη μέχρις col. 2 *αὐτῶν κρηπίδων κατέσπασε, τὰ μὲν ὑπὲρ γῆν τῇ γῇ παραδούς, τὰ δ' ὑπὸ γῆν τῷ ἀέρι, πολλοὺς δὲ Θεῷ ναοὺς ἀνήγειρέ τε καὶ καθιέρωσε καὶ ὅλως, ὡς εἰπεῖν, στρατιώτης γέγονεν ἀκαταμάχητος τοῦ Χριστοῦ.*

3. Ἄρτι δὲ τοῦ μισοχρίστου τὴν βασιλείαν ἁρπάσαντος, ὡς δεδήλωται, καὶ τὸ παράνομον δόγμα πρὸς τὴν σύμπασαν διασπείραντος, οἱ τῶν εἰδώλων θεραπευταὶ θυμὸν πνέοντες, θυμὸν τίκτοντες, θυμὸν ἡγεμόνα τῆς κακίας ἔχοντες βρύχουσι τοὺς ὀδόντας κατὰ τοῦ Μάρκου, ζητοῦντες αὐτὸν θανατῶσαι διὰ τὴν τῶν εἰδωλικῶν ναῶν παντελῆ κατάλυσιν. ἀλλ' οὗτος, εἰδὼς καλῶς τὸν νόμον τοῦ μαρτυρίου, || τὴν πόλιν καταλιπὼν τὴν ἐρημίαν ἠσπάσατο κἀν f. 251v *ταύτῃ Θεῷ τὰς εὐχὰς ἀπεδίδου, στῆναι δεόμενος αὐτοῦ τὸν τῆς εἰδωλομανίας κλύδωνα καὶ τὸν ἀπηνῆ διωγμὸν ἐκεῖνον καὶ τὴν*

Rubro: **v. 4** ***Ἰουλιανοῦ*****, v. 10** ***Κατὰ*****, v. 17** ***Τῆς*****, v. 23** ***Μισοχρίστου***

In infimo margine f. 250v recentiore manu: ἀλλ': ιβ: 12. ἀλλὰ τὰ ι. 10. λίπσιν. ὡς κενὰ φαίνοντας.

σκοτόμαιναν τὴν τότε κατασχοῦσαν τὰς ἐκκλησίας. καὶ οὗτος μὲν οὕτω. οἱ δέ γε τῆς ἀσεβείας ὑπασπισταὶ καὶ τῶν εἰδώλων θεραπευταὶ πολλοὺς διὰ τὸν Μάρκον κατέχοντες βασάνοις ἀφορήτοις ὑπέβαλλον, δῆλον αὐτὸν ποιῆσαι τούτοις ἐκβιαζόμενοι. ἃ δὴ γνοὺς ὁ καλὸς ποιμὴν καὶ οὐ μισθωτός, ἔμελε γὰρ αὐτῷ περὶ τῶν προβάτων, τοῦτο μὲν δι' αὐτούς, τοῦτο δὲ καὶ πρὸς στηριγμὸν τῶν ἀθλούντων τὴν ἐρημίαν καταλιπὼν τὴν πόλιν καταλαμβάνει καὶ παρρησιά-
col. 2 ζεται | τὴν εὐσέβειαν.

4. Καὶ δὴ καὶ συλλαμβάνεται καὶ τῷ τοῦ ἄρχοντος προσάγεται βήματι· ἐγκαλεῖται τῆς καταλύσεως τῶν εἰδωλικῶν ναῶν ἕνεκα· τὴν μετάθεσιν τῆς πίστεως ἐρωτᾶται καὶ τὴν τῶν ἐπταισμένων ὑπισχνεῖται συγχώρησιν. οὐ πείθεται. καὶ λαβόντες αὐτὸν οἱ στρατιῶται γυμνοῦσι καὶ πληγὰς ὅσας ἂν εἴποις ἐπιτιθοῦσι τούτου τῷ σώματι, πληγὰς ἃς ἀνθρωπίνην φύσιν ὑπενεγκεῖν ξένον ὅτι καὶ ὑπὲρ λόγον. καὶ ὅρα μοι τῶν ἀσεβῶν τὴν τῆς κακίας ὑπερβολήν· ὑπονόμοις ἐμβάλλουσι δυσώδεσι τὸν καθαρὸν καὶ μύρου πνέοντα θεϊκοῦ, εἶθ' οὕτως ἐξάγουσι καὶ παισὶν οἱ παιδόφρονες παραδιδοῦσι τὸν ἄνδρα. καὶ τὰ μιαρὰ σπέρματα γραφίσιν ἐν ὅλῳ τῷ σώματι κα|| . . . . . .

. . . .

f. 263 καλὸν τὸ βασίλειον, ἰσχυρὸν καὶ βέβαιον καὶ ἀμετακίνητον, χώρας ἐκπορθοῦν καὶ πόλεις ἐναντίων, Ἀγάρων αὐτῶν καταλύον τὸ θράσος, ἤρεμον αὐτῷ καὶ ἡσύχιον μᾶλλον, λόγοις ἐνθέοις στηριζόμενον
col. 2 πλέον, | πᾶσιν ἀγαθοῖς κοσμούμενον ἐνθέως καὶ τοῦ μαρτύρων ἄξιον μένον κλήρου· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ λ'.

ΛΟΓΟΣ ΕΝ ΕΠΙΤΟΜΗι ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΙΩΑΝΝΟΥ ΤΟΥ ΤΗΣ ΚΛΙΜΑΚΟΣ.

2. Καὶ τὸν Ἰωάννου τοῦ τῆς κλίμακος βίον, Ἰωάννου τοῦ πάνυ κατ' ἐπιτομὴν ὡς ἐνὸν διηγήσασθαι τῶν βιωφελῶν καὶ ἀρίστων·
col. 2 παρίστησι | γὰρ τὰ τούτου πλατύτερον ἢ παρ' αὐτοῦ συγγραφεῖσα

Rubro: v. 2 *Οἱ*, v. 15 *Τῶν*, v. 29 *Καὶ*

5 ἔμελλε 19 *maior passionis pars deest aliquot codicis foliis deperditis (v. praefationem).* 21 Ἀγαρηνῶν?

βίβλος, οὐδὲν τῆς Μωσαϊκῆς ἀποδέουσα· ψυχῶν γὰρ ἔχει σῶστρα καὶ λόγους, εἰς οὐρανοὺς ὡς διά τινος κλίμακος τοὺς ἀνθρώπους ἀνάγουσα. ὅθεν, ‖ οἶμαι, καὶ κλίμαξ ὁ μέγας προσηγορεύθη. *f. 263v*
τοῦτον οὖν τὸν τοῦ μάκαρος βίον, ὡς εἴρηται, πολλοῖς ὠφελείας τυγχάνοντα πρόξενον, εἰς διήγησιν προθεῖναι τῶν ἐπαινουμένων οἶμαι τυγχάνειν καὶ Θεῷ φίλον· ἔχει γὰρ μετὰ τῶν ἄλλων καὶ πολὺ τὸ ὠφέλιμον.

2. Οὗτος τοίνυν ὁ λόγῳ σοφὸς καὶ βίῳ σεμνὸς καὶ τρόπῳ χρηστὸς ὅθεν τε καὶ οἵας ἐξώρμηται πόλεως καὶ ὅπως πρὸς τοὺς ἀσκητικοὺς ἦλθεν ἱδρῶτας, οὐδεὶς ἡμῖν παραδέδωκε λόγος, ἢ μόνον ὅτιπερ ἑξκαίδεκα χρόνων, ὅτε τὸ Σιναῖον ὄρος κατέλαβεν, ἦν, πολιὰν ἔχων τὴν σύνεσιν, πολιὸν καὶ τὸ φρόνημα. ὑπελθὼν οὖν τὸν μονήρη καὶ σεμνότατον βίον καὶ τοῖς ἐκεῖσε πατράσι καλῶς συναμιλληθεὶς | καὶ τούτων μὲν τὸ πρᾶον, τούτων δὲ τὸ ἥσυχον καὶ *col. 2*
ἄλλων ἄλλο καλλίστης ἀρετῆς εἶδος ὡς ἡ φιλεργὸς μέλιττα τὰ κάλλιστα τῶν ἀνθέων σοφῶς συλλεξάμενος ἐπί τινα φοιτᾷ πατέρα μέγαν τὴν ἀρετήν, ὑψηλὸν τὸν λόγον καὶ τὰ θεῖα σοφόν, παρ' οὗ δὴ πᾶσαν ἐξασκήσας γνῶσιν γραφῆς, ἀλλὰ καὶ πρὸς τὰ βάθη τῶν ὑψηλῶν ἀναχθεὶς δογμάτων καὶ τὰς τῆς ψυχῆς κινήσεις ἐντεῦθεν κατανοήσας, σαρκὸς ἦν ὅλως ἔξω καὶ τῶν τῆς σαρκός. ἄγγελος γὰρ τοῖς τρόποις ἐδείκνυτο κἂν τῷ ὄρει διάγων οὐράνιον ἐκέκτητο τὸ πολίτευμα καὶ ἦν θαῦμα τοῖς ὁρῶσιν ἐκπλήξεως γέμον.

3. Ἄρτι δὲ τοῦ παιδοτρίβου τὴν γῆν καταλελοιπότος καὶ ταῖς ἀύλοις σκηναῖς ἐπαναπαυ‖σαμένου, καλῶς ὁ καλὸς Ἰωάννης πρὸς *f. 264*
τὸ τῆς ἡσυχίας καὶ τῶν ἀγώνων στάδιον ταύτης φέρων δίδωσιν ἑαυτόν, ἐννεακαίδεκα χρόνων παρῳχηκότων ἀπὸ τῆς εἰς διδασκάλου φοιτήσεως, ὅπλα οἱονεί τινα κατὰ τῶν ἐπανισταμένων λογισμῶν τὰς ἐκείνου τοῦ ἁγίου περιφέρων εὐχάς· χῶρον γάρ τινα καταλαβὼν σταδίους ἀπέχοντα πέντε τῆς λαύρας (Θαλᾶς ἡ κλῆσις τῷ χώρῳ), τοῦτον κατασκηνοῖ, πολλαῖς ἐν αὐτῷ προσπαλαίσας δαιμόνων ἐπιβουλαῖς καὶ πολλὰς αὐτοῖς ἀντιστήσας νίκας τὰς δι' εὐχῶν.

4. Τεσσαράκοντα γοῦν χρόνους ἐν τούτῳ δὴ τῷ τόπῳ προσκαρτερήσας, θείῳ πυρπολούμενος ἔρωτι καὶ [ἀρετῶν] ἀναβάσεις φρονίμως ἐν τῇ καρδίᾳ τιθέμενος, ὅλος ἦν δοχεῖον καὶ κατα|γώγιον τοῦ πανα- *col. 2*
γάθου πνεύματος· οὐκ ὤκλασε γὰρ ἐν οὕτω χρόνῳ μακρῷ πρὸς τοὺς πόνους, οὐκ ἐνέδωκε τὸ σύνολον πρὸς τὴν κτῆσιν τῆς ἀρετῆς, ἀλλὰ θείας ἀγάπης πυρπολούμενος ζήλῳ νεαροὺς εἶχεν ὥσπερ τις ἱδρῶ-

Rubro: v. 4 **Οὖν**, v. 8 **Οὗτος**, v. 23 **Ἄρτι**

2 λόγους *bis scriptum* 25 ταύτης *nescio an delendum sit* 33 ἀρετῶν *inserui coll. p.* 224, 13.

τας αὐτῆς· νηστεία μὲν γὰρ ὁ πᾶς αὐτῷ βίος ἦν καὶ εἴ που δὲ τροφῆς μετέλαβε, μικρὰ ἡ μετάληψις ἄρτου καὶ ὕδατος ὅσον εἰς συντήρησιν ζωῆς καὶ ποίησιν τοῦ καλοῦ. καὶ γὰρ ἐξέθλιβε τὴν γαστέρα, συνεχῶς ἐπιτιμῶν αὐτῇ καὶ λέγων «Σιώπα, πεφίμωσο». καὶ πᾶν μέλος ἐνέκρου καὶ πᾶσαν θέλησιν αὐτῶν ἀπετείχιζε. τὸν θάνατον εἶχεν ἀεὶ πρὸ τῶν ὀφθαλμῶν· τὸν ἥσυχον ἠγάπα καὶ ἀτάραχον βίον, μόνος μόνῳ προσομιλῶν τῷ Θεῷ· εἰδώλων δὲ τῶν πονηρῶν f. 264v λογισμῶν || τὴν προσκύνησιν σοφῶς ὁ σοφὸς σπάνει τῶν ἀναγκαίων καὶ ἀνδρείως διέφυγεν. ὀργῆς ἐγκρατὴς ὁ μέγας ἐτύγχανε, τεθνηκυίας ὥσπερ τῷ τῆς ὑπακοῆς ξίφει καὶ τῆς ἀγάπης. ἀπρόϊτος ἦν ὁ γέρων, ἀπρόϊτον ἔχων καὶ τὴν φωνήν, δι' ὧν τὸν κενὸν κατεπάτησε τύφον. καὶ ταῦτα μὲν εἰς τοσοῦτον.

5. Πῶς δὲ τὴν συνεχῆ τῶν δακρύων ἐκείνου πηγὴν παραστήσω τῷ λόγῳ, πρᾶγμα πολλοῖς δυσκατόρθωτον, ὧν τὸ ἀπόκρυφον ἕως καὶ νῦν περίεστιν ἐργαστήριον ἐν ἐσχατιᾷ τινι καὶ ὑπωρείᾳ ἄντρον τυγχάνον βραχύτατον, τοσοῦτον τῆς αὐτοῦ κέλλης καὶ πάσης ἄλλης ἀπέχον, ὅσον μὴ τοὺς ὀδυρμοὺς ἐξακούεσθαι. μετρίαν οὖν ὁ γέρων col. 2 εἶχε καὶ τὴν τοῦ ὕπνου μετάληψιν· | ἐγένετο μὲν γὰρ αὐτοῦ τοσοῦτον, ὅσον μὴ συγχέεσθαι τὴν τοῦ νοὸς οὐσίαν τῇ ἀγρυπνίᾳ, συντηρεῖσθαι δὲ μᾶλλον πρὸς τὴν τῶν καλῶν ἐργασίαν· τὸ δ' ἄλλο τῆς νυκτὸς μέρος βίβλοι διὰ παντὸς εἶχον ἔργον ἐπιμελέστατον.

6. Τοῦτον οὖν τὸν ὑψηλότατον βίον τοῦ μάκαρος Μωσῆς τις μονάζων ζηλώσας φοιτητὴς αὐτοῦ γενέσθαι παρακαλεῖ καὶ πρὸς τὴν ὄντως ἐντεῦθεν ἀναχθῆναι φιλοσοφίαν καὶ πρέσβεις διὰ ταῦτα τῷ μεγάλῳ προσάγει τῶν πατέρων τινάς. δέχεται τοίνυν αὐτὸν καμφθεὶς ταῖς δεήσεσι καί ποτε στέλλει τοῦτον γῆν ἔκ τινος τόπου πρὸς λαχάνων ποίησιν συγκομίσαι. καὶ δὴ κατειληφὼς ὁ Μωσῆς τὸν f. 265 ὑποδειχθέντα τόπον τὴν γῆν συνεκόμιζεν, ἐπιτηδείαν || οὖσαν πρὸς τὸ ζητούμενον· ξηρὸς γὰρ ἦν ὃν ὁ μέγας κατῴκει τόπον. τοῦ ἡλίου οὖν δεινὸν περὶ τὸ μεσαίτατον τῆς ἡμέρας φλέγοντος ὁ Μωσῆς κεκοπιακὼς ἄγαν καὶ ὅλος κατάφλεκτος γεγονὼς ὑπὸ λίθον τινὰ μέγιστον ἑαυτὸν διανέπαυεν· ἐφ' ᾧ καὶ ὕπνος μέτριος ἐπῆλθεν αὐτῷ. τί οὖν ποιεῖ Θεὸς ὁ τῶν ἰδίων δούλων τῆς σωτηρίας φροντίζων; τῷ μεγάλῳ πρὸς ὕπνον κατενεχθέντι λεπτότατον ἱεροπρεπῆ δείκνυσιν ἄνδρα διυπνίζοντα τοῦτον καὶ λέγοντα σκωπτικῶς· «Πῶς, ὦ Ἰωάννη, σὺ μὲν τὸν ὕπνον ἀμερίμνως διατελεῖς, ἐν κινδύνῳ δὲ Μωσῆς καὶ ταλαιπωρίᾳ διάγει»; καὶ ἅμα περιδεὴς ἀναστὰς ὁ μέγας

Rubro: v. 22 Τοῦτον, v. 33 Ποιεῖ
4 σιῶπα 21 διαπαντὸς 24 διαταῖτα 30 et 37 μωσὴς

ὑπὲρ τοῦ φοιτητοῦ προσηύχετο. περὶ δὲ τὰς ἑσπερίους ὥρας | ἠρώτα col. 2 *τοῦτον καταλαβόντα, μή τι σκαιὸν καὶ ἀνέλπιστον αὐτῷ συνηντήκει. κἀκεῖνος «Λίθος» ἔφη «με, πάτερ, περὶ μέσας τῆς ἡμέρας ὥρας ἡλίου φλέγοντος ὑπ' αὐτὸν ὑπνοῦντα πιέζειν ἔμελλεν, εἰ μή γε πρός με σοῦ φοιτήσαντος καὶ πεφωνηκότος, ὡς ὁρᾶν ἔδοξα, τάχος ἐκπεπήδηκα τούτου». ὁ δὲ ταπεινόφρων ἐκεῖνος μηδὲν αὐτῷ τότε τῶν ὁραθέντων εἰπὼν τὸν ἀγαθὸν ἀνύμνει Θεόν.*

7. Ἦν οὖν ὁ Ἰωάννης καὶ ἰατρὸς τραυμάτων ἀφανῶν μέγιστος. καὶ γὰρ Ἰσάκιός τις ἀνὴρ ὑπὸ τοῦ φιλοσάρκου δαίμονος πιεζόμενος τοῦτον καταλαμβάνει καὶ τὸν πόλεμον σὺν δάκρυσι θερμοῖς ἀπαγγέλλει. ἀγάμενος οὖν τὴν αὐτοῦ πίστιν ὁ μέγας «Εἰς προ||σευχὴν» f. 265v *εἶπεν, «ὦ φίλε, στῶμεν». ἐπὶ πρόσωπον οὖν κειμένου τοῦ Ἰσακίου καὶ δάκρυσι τὸ ἔδαφος βρέχοντος, τὸ θέλημα τῶν φοβουμένων αὐτὸν ὁ Θεὸς ἐπετέλει, καὶ ὁ μὲν δεινὸς τῆς σαρκὸς ὄφις μάστιξιν εὐχῆς ἐδραπέτευεν, ὁ νοσῶν δὲ τοῦ πάθους ἀπήλλακτο καὶ Θεῷ τὴν χάριν ἀνέπεμπεν.*

8. Τινῶν οὖν φθόνῳ κρατουμένων τῷ τὸν μέγαν ἔργον τὸ διδάσκειν ποιεῖν καὶ διὰ ταῦτα λάλον ἀποκαλούντων, ἐκεῖνος ἔργῳ παιδεύων αὐτοὺς σεσιώπηκεν ἐφ' ὅλον ἐνιαυτὸν ἕνα. τοῦτο δὲ μὴ φέροντες, ἀλλὰ λύμην τῆς τῶν πολλῶν αὐτὸ σωτηρίας καλοῦντες καὶ ἀξιοῦντες αὐτὸν τὴν πηγὴν τῶν λόγων ἀνοῖξαι, πάλιν ὁ μέγας εἴξας ταῖς παρακλήσεσι τῆς προτέρας εἴ|χετο διδαχῆς. θαυμάζοντες col. 2 *οὖν τὴν σύνθεσιν τῆς παναγάστου βίβλου τοῦ μάκαρος ἡ σύμπασα τῶν μοναζόντων πληθὺς καὶ ἄλλον τινὰ Μωσέα τοῦτον ἀποκαλοῦντες ἐπὶ τὴν τῶν ἀδελφῶν ἡγεμονίαν ἀναβιβάζουσι κἀν τῇ λυχνίᾳ τιθοῦσι τὸ φῶς καὶ τὸν ἄξιον προεστάναι κρίνουσιν.*

9. Καὶ δὴ καὶ ποιμὴν ἄριστος, ὦ πανάγαστε, καὶ περίφημος γεγονὼς καὶ καλῶς τὴν λογικὴν ποίμνην διαποιμάνας καὶ πρὸς νομὰς ἐκθρέψας τὰς σωτηρίους, ἐν βαθεῖ γήρᾳ καταλύεις τὸν βίον. καὶ νῦν σὺν ἀγγέλοις χορεύων, σὺν ἁγίοις πᾶσι τῷ δεσποτικῷ παριστάμενος θρόνῳ χάρισαι ταῖς εὐκτικαῖς σου πρὸς Θεὸν ἱκεσίαις βασιλεῖ ἡμῶν τῷ πράῳ καὶ πλήρει τυγχάνοντι τῶν καλῶν ἀρετῶν μήκιστον τὴν ζωὴν καὶ ἀτάραχον, ἰλύος παντὸς || ἀπηλλαγμένην f. 266 *πάθους, χρηστότητος πεπληρωμένην καὶ Θεοῦ γνώσεως καὶ παιδείας, ἀλλὰ δὴ καὶ στρατευμάτων αὐτῶν ὑποταγὴν καὶ συντήρησιν, ἠγωνισμένων καλῶς ταῖς συμπλοκαῖς τῶν ἐχθρῶν· λάμψον αὐτῷ | καὶ φῶς δικαίων καὶ ἡμέρας υἱὸν ἀπέργασαι· πάντων κληρονόμον*

Rubro: v. 9 *Καὶ*, v. 17 *Τινῶν*, v. 33 *Μήκιστον*, v. 37 *Πάντων*
16 *ἀνέπεμπε* cod. 18 *διαταῦτα* 26 *κρίνουσι*

ποίησον τῶν ἐν οὐρανοῖς ἀγαθῶν καὶ βασιλείας Θεοῦ πρὸς τούτοις ἀνάδειξον μέτοχον ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ λα΄.

ΑΘΛΗΣΙΣ ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΑΚΑΚΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΜΕΛΙΤΗΝΗΣ ΤΟΥ ΟΜΟΛΟΓΗΤΟΥ.

1. Δέκιος ἡνίκα τὰ τῆς Ῥωμαίων βασιλείας διεῖπε σκῆπτρα καὶ τὸν κατὰ χριστιανῶν ἐκίνει διωγμόν, καὶ ὅλως ἦν μετὰ θορύβου καὶ col. 2 κακίας τὰ | πράγματα, τότε δὴ φῶς ὡς ἐν αὐχμηρῷ τόπῳ καὶ ἀφεγγεῖ διέλαμπεν ὁ μέγας Ἀκάκιος, τὴν εἰς Χριστὸν πίστιν διδάσκων καὶ πάντας τοὺς ὅσοι πρὸς τὸ καθαρὸν ἀπέβλεπον φέγγος ὁδηγῶν f 266v· πρὸς ἀλήθειαν. ἀλλ᾽ οὐκ ἦν πάντως ἠρεμεῖν || τὸν τοῦ δαίμονος φθόνον οὐδ᾽ οὕτω βλέπειν ἐν σκοτομαίνῃ τοσαύτῃ παρ᾽ αὐτοῦ κατὰ τὴν σύμπασαν διασκεδασθείσῃ τὸν φωταυγῆ μόνον Ἀκάκιον διαλάμποντα καὶ τὰς πολλὰς τῶν ἐπιβουλῶν αὐτοῦ συρραφὰς διαλύοντα καὶ φροῦδον ἐν οὐκ ὀλίγοις τὸ αὐτοῦ κακομήχανον ἀπελέγχοντα βούλημα. διὸ καὶ διὰ τῶν ὑπηρετουμένων αὐτῷ συλληφθῆναι τοῦτον ποιεῖ καὶ τῷ τοῦ Μαρκιανοῦ — δεινὸς δὲ οὗτος ἀνὴρ καὶ ὕπατος τὸ τηνικαῦτα Μελιτηνῆς — προσαχθῆναι βήματι.

2. Καὶ ἐπεὶ προσήχθη, «Λέγε μοι» φησὶν ἐκεῖνος πρὸς αὐτόν, «τίνα τὰ παρὰ σοῦ κηρυττόμενα καὶ πῶς Θεὸν τολμᾷς λέγειν Χριcol. 2 στόν, ὃν Ἰουδαῖοι καλῶς ποιοῦντες σταυρῷ προ|σήλωσαν, Θεοῦ υἱὸν καὶ Θεὸν ἑαυτὸν εἶναι λέγοντα; τοὺς δέ γε μεγίστους θεοὺς ἀθετῶν εἴδωλα λέγεις εἶναι κωφὰ καὶ ὅλως ἀναίσθητα». καὶ ὁ ἅγιος «Εἴπερ ἀνεξικάκως ἀκούεις» εἶπεν, «ἡγεμών, ἐγώ σοι τὰ περὶ ὧν ἠρώτησας παραστήσω κατὰ λεπτόν, καὶ τότε γνώσῃ, τίνα τὰ παρ᾽ ἐμοῦ κηρυττόμενα καὶ ὡς καλῶς τὸν Χριστὸν Θεὸν ὁμολογῶ καὶ τοὺς ὑμῶν θεοὺς εἴδωλα καλῶ κωφὰ καὶ ἀναίσθητα». καὶ ὁ ἄρχων «Οἶδα» φησίν, «ὅτι πρὸς ὀργὴν ἐρεθίσαι με βούλει, ὡς ἂν παραδῶ σε θανάτῳ. λέγε οὖν ὅμως ὃ βούλει· νόμος γὰρ οὗτος δικαστηρίου».

Rubro: v. 7 Δέκιος, v. 20 Ἐπεὶ, v. 25 Εἴπερ
13 σκοτομήνῃ

3. Καὶ ὁ ἅγιος «Χριστὸς» εἶπεν, «ὦ ἄρχων, ὃν Ἰουδαῖοι κακῶς ποιοῦντες ἐσταύρωσαν, Θεός ἐστι καὶ Θεοῦ παντοδυνάμου υἱός· τοῦτο γὰρ υἱὸς ἐπὶ τῆς ἀνάρχου || οὐσίας, ὃ καὶ πατήρ, πλὴν τῆς f. 267 γεννήσεως. λόγος γὰρ ἐνυπόστατος ὢν πάντα τὰ τοῦ πατρὸς ἰδιώματα κυρίως ἐν ἑαυτῷ καὶ οὐσιωδῶς ἔχει. τοῦτον οὖν ὁ πατὴρ ἐπὶ σωτηρίᾳ τοῦ τῶν ἀνθρώπων γένους πρὸς πλάνας τοῦ δαίμονος ἐξοκείλαντος ἑκόντα διὰ μεγίστην οἰκονομίαν ἀπέστειλε, γεννώμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν, ὅπερ ἐστὶν ἀγαθοῦ Θεοῦ καὶ τὸ οἰκεῖον οἰκτείροντος πλάσμα. ὀφθέντα τοίνυν αὐτὸν ἐπὶ γῆς δι' ὃν εἴρηται τρόπον καὶ σάρκα λόγοις οἷς αὐτὸς οἶδεν ἐκ τῆς παρθένου καὶ θεοτόκου Μαρίας φορέσαντα, μυρία τε θαύματα διαπραξάμενον, ὡς εἴη παραδηλοῦντα Θεός, οἱ Ἰουδαῖοι κακῶς ποιοῦντες — τί γὰρ καὶ παρὰ τὸ προσῆκον | εἰργάσατο; — φθόνῳ κρατούμενοι, φθόνῳ col. 2 ταῖς τοῦ δαίμονος εἰσηγήσεσιν ὑπαγόμενοι σταυροῦσι φρικτῶς, πάλαι τῶν προφητῶν περὶ τούτου προθεσπισάντων τὰ μέλλοντα· ὁ δὲ καὶ θανάτου γεύεται καὶ τριήμερος ἐξανίσταται καὶ πρὸς τὸν πατέρα βασιλικῶς ἄνεισι καὶ τὸ πνεῦμα τοῖς ἀποστόλοις πέμπει τὸ ἀγαθόν· οἵτινες ἐν τῷ κόσμῳ διασπαρέντες Θεὸν αὐτὸν ἐκήρυξαν ἀληθῆ καὶ δημιουργὸν τῶν ὅλων. καὶ πίστις τοῖς ὑπ' αὐτῶν λεγομένοις τὰ παρακολουθήσαντα θαύματα· νεκρῶν ἀνάστασις, τυφλῶν ἀνάβλεψις, χωλῶν ἀνόρθωσις, δαιμόνων δίωξις καὶ τἄλλα, οἷς ἄνθρωπος πρὸς πίστιν τῆς ἀληθείας ὑπάγεται. ταῦτα οὖν, ἡγεμών, δρῶν τις ὑπ' ἀνθρώπων τε||λούμενα τῷ τοῦ Χριστοῦ ὀνόματι πῶς f. 267v οὐ Θεὸν αὐτὸν ἀληθῆ διαδήλως κηρύξει; δραπετεύει γὰρ δαιμόνων πληθὺς καὶ μόνῃ τούτου τῇ ἐπικλήσει καὶ τὰ ἄλλα πάντα νοσήματα, ὥσπερ εἴρηται, φυγαδεύεται. τοὺς οὖν ὑφ' ὑμῶν νομιζομένους θεοὺς φεύγοντας ὡς καταδίκους ἀπὸ τοῦ καὶ μόνον αὐτὸν τὸν Χριστὸν ὀνομάζεσθαι καὶ τὸ σταυρικὸν αὐτοῦ σημεῖον χαράττεσθαι πῶς θεούς τις νοῦν ἔχων ἄνθρωπος εἴποι, λίθους ὄντας καὶ ξύλα καὶ χειρὸς ἀνθρωπίνης τεχνάσματα; περὶ ὧν φησιν ἀληθῶς ἡ ἡμετέρα γραφή, ὅτι τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων, ὦτα ἔχουσι καὶ οὐκ ἀκούσονται, ὀφθαλμοὺς ἔχουσι καὶ οὐκ ὄψονται, χεῖρας ἔχουσι καὶ οὐ ψη|λαφήσουσι, πόδας col. 2 καὶ οὐ περιπατήσουσιν· ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς».

4. Εἶτα καὶ μύθους ἀπελέγχοντος τοῦ ἀοιδίμου τῷ λόγῳ τὰ τῶν Ἑλλήνων σεβάσματα καὶ ἤδη πρὸς γόνυ κλίναντος τὰ μυθώδη

Rubro: v. 1 Καὶ
31—36 ἡ ἡμετέρα γραφή: cf. Ps. 113, 12—16.

τούτων ληρήματα, ὁ ἄρχων ἐκκόψας τὸν λόγον βασάνους οὐκ ἔστιν εἰπεῖν ὅσας ἐπήνεγκε τούτῳ· μάστιγας, ξεσμούς, πῦρ, ξίφος καὶ τὰ τούτοις ὅμοια· εἶτα καὶ φρουρᾷ κατακλείσας ζοφώδει τινὶ καὶ πνιγηρᾷ τῷ Δεκίῳ τὰ περὶ τούτου γνωρίζει, στείλας αὐτῷ καὶ τὰ κατὰ τὴν ἐξέτασιν ὑπομνήματα. τοῦ δὲ διὰ γραμμάτων τῷ ἄρχοντι τὴν ἀπόλυσιν τοῦ ἁγίου γνωρίσαντος, ἀφίησι τὸν ἅγιον ἐκεῖνος τῆς φυλακῆς. ||

f. 268 *5. Καὶ οὕτως ἀπολυθεὶς ὁ μεγαλόφρων οὗτος ἐπίσκοπος περιήει πανταχοῦ, τὰ διὰ Χριστὸν στίγματα περιφέρων ἐν τῇ σαρκὶ αὐτοῦ, τὸν λόγον τε κηρύττων τῆς ἀληθείας καὶ πρὸς τὴν εἰς αὐτὸν πίστιν πολλοὺς ἐπανάγων, πλείστων θαυμάτων αὐτουργὸς γεγονώς.*

6. Οὕτως οὖν καλῶς διαπρέψας καὶ καλῶς ὁμολογήσας Χριστὸν ἐνώπιον ἀνοσίων ἀρχόντων, πανάριστε, τὸν βίον ἐν γήρᾳ καταλύεις βαθεῖ. καὶ νῦν τῷ ἀγωνοθέτῃ σου Θεῷ παριστάμενος αἴτησαι βασιλεῖ ἡμῶν τῷ συμπαθεῖ καὶ χρηστῷ καὶ τὰ πάντα καλῷ μεγίστων τροπαίων νίκας καὶ χάριτας, ἰσχὺν κατ' ἐχθρῶν ἀπρόσμαχον καὶ κράτος, χωρῶν ἐθνικῶν τὴν ἀπάλειψιν ὅλων, Ἀγαρηνῶν ἀνόμων col. 2 *τὴν κατάλυσιν πάντων, ἥσυχον | αὐτῷ τὴν ζωὴν καὶ μηκίστην, λαμπράν, εὐσταθῆ, γαλήνης πεπλησμένην, πάντων ἀγαθῶν τὴν τέρψιν καὶ τὴν δόσιν καὶ βασιλείας οὐρανῶν μετουσίαν· ὅτι τῷ Χριστῷ καὶ Θεῷ ἡμῶν πρέπει αἶνος καὶ δόξα εἰς τοὺς αἰῶνας ὅλους τῶν αἰώνων. ἀμήν.*

Rubro: v. 5 *Τοῦ*, v. 12 *κα|λῶς*, v. 15 *Μεγίστων*, v. 19 *Πάντων*

APPENDIX.

Μη(νὶ) τῷ αὐτῷ [sc. Φεβρουαρίῳ] ζ'. *f. 41*

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΚΑΙ ΘΑΥΜΑΤΩΝ ΕΞΗΓΗΣΙΣ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΠΑΡΘΕΝΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΓΕΝΟΜΕΝΟΥ ΠΟΛΕΩΣ ΛΑΜΨΑΚΟΥ.

1. Τὰ κατὰ τὸν μέγαν Παρθένιον εἰδέναι μὲν ἀκριβῶς, οἷον γέννησίν τε καὶ τὴν ἐκ παίδων ἀνατροφήν, βίου τε ἀγωγὴν αὖθις καὶ τὴν κατὰ μικρὸν πρόοδον, οὐδαμόθεν ἡμῖν ἄχρι καὶ νῦν περιγέγονε, πλὴν ὅτι μὴ μόνον ὡς ἐν κεφαλαίῳ τὸ τοῦ πατρὸς ὄνομα δὴ καὶ ἀξίωμα, αὐτοῦ τε ἐπιτήδευμα Παρθενίου· τὰ γὰρ λοιπὰ θαυμάτων ἐστὶν ἑσμὸς ὑπὸ τῆς θείας αὐτῷ χάριτος κεχορηγημένος. τούτοις ἐντυχόντες ἡμεῖς ὑπὸ Κρισπίνου τινὸς ἰδιωτικῶς πάνυ | καὶ *col. 2* ἀφελῶς συντεταγμένοις σπουδῆς ἄξιον ἐνομίσαμεν ἀνδρὸς οὕτω μὲν περιφανοῦς, οὕτω δὲ καὶ θαύμασι τηλικούτοις κεκοσμημένου ἀκαλλῆ τὸν βίον καὶ ἄκοσμον ὅσον ἐπὶ τῇ διηγήσει μὴ παριδεῖν, ἀλλὰ βραχὺν οἷον καὶ ἀπὸ τοῦ λόγου περιθεῖναι κόσμον, οὐκ ἀναγκαῖον μέν τι ποιοῦντες, οὐδὲ τοῖς πολλοῖς περισπούδαστον· οὐ δεῖται γὰρ ὁ τῆς εὐσεβείας λόγος τοῦ θύραθεν κόσμου καὶ τῆς ἐπιμελείας· ἀλλὰ τοῖς γε πεπαιδευμένοις πρᾶγμα κατὰ γνώμην ἴσως ἀνύοντες, καὶ ἵνα μὴ τὸ λίαν εὔζωνον τῆς φράσεως καὶ ἠμελημένον πρόφασις ῥαθυμίας αὐτοῖς ᾖ, ἀποκναῖον δηλαδὴ καὶ ἀπάγον αὐτοὺς ἀκροάσεως καλῶν || ὄντως καὶ θαυμασίων διηγημάτων. ἔχει δὲ ταυτὶ *f. 41ᵛ* οὕτως.

Παρθένιος ὁ τὰ πάντα χρηστός τε καὶ θαυμαστὸς πατρὸς μὲν ὑπῆρχεν ὄνομα Χριστοδούλου, διακόνου δὲ τὸν βαθμὸν τῆς κατὰ Μελιτούπολιν ἐκκλησίας. ἦν δὲ ὁ Παρθένιος παιδείας μὲν ἄγευστος, γραφῶν δὲ τῶν θείων ἀκροατὴς οἷος ἐπιμελέστατος, ἐκ μικρᾶς μὲν

M est codex Mosquensis bibl. synod. 377 Vlad. (184/CLXXXV), quem sequimur; *P* est cod. Paris. bibl. nat. 1529 (ff. 17ᵛ—28ᵛ), quem contulimus. Titulus in utroque codice rubro scriptus est. Textus litteras in codd. rubricatas non enotavimus.

2 *καὶ μερικὴ θαυμάτων διήγησις P* || 4 *πόλεως om. P.* Post *Λαμψάκου P* habet *κ(ύριε) εὐ(λ)ό(γησον)* || 5 *οἷον] ὅσον M* || 7 *καὶ τοῦ νῦν P* || 11 *Κρησπῖνοι* libri || 18 *ἀνύωντεσ P* || 21 *καλὸν M, καλῶ P* || 22 *οὔτω P*

ἔτι τῆς ἡλικίας χάριτος θείας ἠξιωμένος, εἰ καὶ μήπω δῆλος ἐτύγχανεν ὤν, ἀλλὰ κρύπτων ἑαυτὸν ὅση δύναμις, ἤδη δὲ ὀκτωκαίδεκα γεγονὼς ἔτη τῶν σημείων ἀρξάμενος, προϊὼν μέντοι τὴν ἡλικίαν (ὅρα γάρ, οἷον ἐξ ἀρχῆς αὐτῷ τὸ φιλάνθρωπον), ἐπεὶ λίμνην εἶχε [col. 2] πλησίον, ἀπιὼν καὶ ἰχθύας | ἀγρεύων οὐ τροφὴν ἰδίαν αὐτοὺς ἐποιεῖτο οὐδέ τισι τῶν ἐνδόξων παρεῖχεν εἰς θεραπείαν, ἀλλὰ πωλῶν καὶ πραγματευόμενος, ὅσον ἐκεῖθεν αὐτῷ περιῄει πένησιν ἐδίδου, Θεοῦ φιλανθρωπίαν δι' ἐκείνων ἑαυτῷ μνηστευόμενος. ἐπεὶ οὖν ἔκ τε τῆς τοῦ βίου λαμπρότητος, ἔκ τε τῆς τῶν ἔργων παραδοξοποιίας ἐπίσημος ἦν πανταχοῦ τε περιᾳδόμενος (καὶ γὰρ ὄνομα ἐκείνου μόνον δαίμοσιν εἰς φυγὴν ἐξήρκει), Φιλητὸς ὁ τῆς Μελιτουπόλεως ἐπίσκοπος, ἀνὴρ ἀγαθὸς ὢν καὶ ἀρετῆς ἐραστής, μετακαλεῖται τὸν ἄνδρα καὶ πολλὰ μὲν παραινεῖ, πείθει δὲ μόλις καὶ χειρο- [f. 42] τονεῖ πρε||σβύτερόν τε καὶ περιοδευτὴν τῆς κατ' αὐτὸν ἐκκλησίας· εἶτα τῆς θείας χάριτος δαψιλέστερον ἐπιρρυείσης αὐτῷ διὰ πολλὴν ἐκ τοῦ βίου πρὸς Θεὸν οἰκειότητα πλῆθος ἠκολούθει θαυμάτων· οὐδὲ γὰρ ἐᾷ λανθάνειν ὁ ἐν τῷ κρυπτῷ βλέπων τὰ ἐν κρυφῇ κατορθούμενα, ὅσπερ δὴ κἀκεῖνον ἐπίδηλον διὰ τῶν σημείων ποιεῖ, δύο τὰ κάλλιστα κατορθῶν· αὐτόν τε δοξάζων ὡς ἡ ὑπόσχεσις καὶ πολλοὺς τῶν τὰ χαλεπὰ πασχόντων δι' αὐτοῦ θεραπεύων. θήσομεν δὲ τὰ θαύματα οὕτως, ὥσπερ ἔχει δαψιλῶς, οὐκ ἐπεξεργαζόμενοι οὐδέ [col. 2] τισιν ἄλλοις αὐτὰ παραβάλλοντες, τοῦτο μὲν ὡς ἐκ|κλίνειν τὸ μῆκος βουλόμενοι, τοῦτο δὲ καὶ προνοίᾳ τοῦ μεγέθους αὐτῶν, ἵνα μὴ τῇ τοῦ λόγου δυνάμει, τῇ φύσει δὲ τῶν πραγμάτων μόνῃ τὸ πᾶν ἐπιγράφηται.

2. Προϊών ποτε κατὰ τὴν ὁδὸν ὁ Παρθένιος ἀνθρώπῳ τινὶ συναντᾷ πληγέντι τὸν ὀφθαλμὸν ὑπὸ ταύρου, αὐτόν τε ἔξεδρον οὕτω γεγονότα διαβαστάζοντι καὶ οἰμωγαῖς πρὸς ἔλεον τὰς συμπαθεῖς ἐκκαλουμένῳ ψυχάς· ὃν ἐκεῖνος φιλανθρώποις ἰδὼν ὀφθαλμοῖς τὸν μὲν ὀφθαλμὸν λαμβάνει τῇ δεξιᾷ λίαν ὁμαλῶς καὶ πεφυλαγμένως καὶ αὐτὸν αὖθις τῷ τόπῳ ἐντίθησι· δεῖται δὲ οὐ φαρμάκων τινῶν [f. 42v] οὐδὲ πολλοῦ χρόνου πρὸς θεραπείαν, ἀλλ' ἐπὶ || τρισὶ μόναις ἡμέραις ὕδατι ψιλῷ βρέχων, εἴ γε ψιλὸν λέγοις τὸ θείᾳ χάριτι κεραννύμενον, ὑγιᾶ δείκνυσιν ἀκριβῶς ὡς τὸ πρότερον.

3. Καρκίνῳ χαλεπῷ πάθει περιπίπτει γυνή· γίνεται δὲ ταύτῃ τὸ πάθος διπλοῦν, ἐν ἀπορρήτοις μέρεσι τοῦ σώματος ἐκφυέν, ὥστε καὶ ὀδυνᾶσθαι σφοδρῶς τὴν πάσχουσαν καὶ πρὸς ἰατρείαν

5 ἰχθῦς *P* || 6 πωλῶν] πολλῶν *P* || 13 τόν: τ̈ *supra versum P* || 15 ἐπιρυείσης *P* || 17 ἐν κρυφῆι *M*, ἐν κρυπτῷ *P* || 18 ὥσπερ *P* || 21 τὰ θαύμα οὕτως *P* || 26 Προϊὼν ποτὲ *libri* || 33 λέγοις] εἴποις *P*

εὐλαβεῖσθαι τὴν δεῖξιν. Παρθενίῳ δὲ ἡ τὰ ἀφανῆ βλέπουσα χάρις καὶ ἀφανῶς δίδωσι πάντως θεραπεύειν· σφραγῖδα τοίνυν τὴν τοῦ Χριστοῦ μόνην τῷ μετώπῳ τῆς γυναικὸς ἐπισημηνάμενος αὐτό τε τὸ πάθος ἐκπεσεῖν ἀθρόως ποιεῖ καὶ τὴν γυναῖκα εὐφήμῳ στόματι Χριστὸν μεγαλύνειν πα|ρασκευάζει. col. 2

4. Ἀρρώστῳ ποτὲ πρὸς ἐπίσκεψιν ὁ μέγας ἀπῄει, καὶ αὐτῷ κύων ἐπιπηδᾷ πάμμεγας, τά τε δεσμά, οἷς ἦν ἐχόμενος, διαρρήξας καὶ ὄρθιος ἐκείνῳ ἐπαναστὰς καὶ μέγα τι καὶ φόνιον περιχάσκων, οὐκ οἴκοθεν ἴσως οὐδ' ἁπλῶς ἐκεῖνος, ἀλλ' ὑπὸ τοῦ ἀφανοῦς μᾶλλον κυνὸς ἢ καὶ δράκοντος συνωθούμενος. ἄλλῳ μὲν οὖν τοιοῦτο συμβὰν καὶ δέος ἂν ἐπῄει, καὶ ῥάβδος ἢ ἄλλο τῶν ὅπλων εἰς ἄμυναν ἐλαμβάνετο, καὶ οἱ παρόντες ἐξεκαλοῦντο πρὸς συμμαχίαν, Παρθενίῳ δὲ τοιοῦτον οὐδέν, ἀλλ' ἐμφύσημα μόνον τῷ χάσματι ἐπαφείς, εἶτα καὶ Χριστοῦ τὸν σταυρὸν ὥσπερ ἔθος ἐπισφραγίσας νεκρὸν εὐθὺς τὸν φρι||κτὸν ἐδείκνυ καὶ ἄπνουν ἀπὸ τῶν ὤμων εἰς f. 43 γῆν κατέβαλεν.

5. Ταῦτα καὶ ἄλλα τούτοις πολλὰ παραπλήσια εἰς ἀκοὴν ἰόντα τῷ Κυζίκου προέδρῳ — Ἀσχόλιος οὗτος ἦν — ἄξιά τε θαυμάζειν ἐδόκει καὶ τὸν ταῦτα πράττειν ἠξιωμένον οὐκ ἐν τῷ τοῦ πρεσβυτέρου μένειν ἐᾶσαι βαθμῷ ὄνειδος οἰκεῖον τὸ πρᾶγμα λογιζομένῳ, εἰ τὸν οὕτω μέγαν εἰς ἀρετὴν αὐτὸς φαίνοιτο παρορῶν διὰ τὴν πρὸς τὰ καλὰ ῥᾳθυμίαν καὶ τιμὴν ἣν δύναιτο μὴ προθύμως παρέχων. μεταστειλάμενος τοιγαροῦν τὸν ἄνδρα καὶ ὃ δὴ λέγεται πάντα λίθον κινήσας πείθει καὶ πρὸς τὸν τῆς ἐπισκοπῆς θρόνον ἀνάγει, οὐκ ἐκείνῳ μᾶλ|λον ἢ τῇ πόλει Λαμψακηνῶν χαριζόμενος. καὶ ὅτι col. 2 λίαν ἀληθὴς ὁ λόγος, ἐγγὺς ἡ δήλωσις· εὑρὼν γὰρ ἐκεῖνος τὴν πόλιν ἐσχάτως νοσοῦσαν, ὅπερ ἐστὶ Θεοῦ μὲν τοῦ ἀληθοῦς ἄγνοια, εἰδώλων δὲ ματαίων προσκύνησις, ἠνιᾶτο σφοδρῶς, ἐδυσφόρει, πυρὶ ζήλου τὴν καρδίαν ἐφλέγετο· πλὴν καὶ οὕτως ἐχόντων ἀθλίως αὐτὸς οὐκ ἀνίει τὰ ἑαυτοῦ ποιῶν ἢ μᾶλλον ἀποστολικοῖς ἀκολουθῶν διατάγμασι, νουθετῶν, παρακαλῶν, ἐπιτιμῶν, ἐπιπλήττων, τί μὴ ποιῶν, ὥστε περιελεῖν μὲν αὐτῶν τὴν ἐν τοῖς ὀφθαλμοῖς λήμην, ὄμμασι δὲ καθαροῖς παρασκευάσαι πρὸς τὸ μέγα τῆς εὐσεβείας ἀναβλέψαι φῶς. ἔμελλε δὲ πάντως καὶ ἡ ῥανὶς ἐνδελεχοῦσα κοιλᾶναι τὴν πέτραν καὶ αὐ||τὸς ἐπιμόνως κρούων κωφευούσας διανοῖξαι f. 43ᵛ καρδίας. καὶ γὰρ τοῦτο μὲν οἷς ἔλεγε, τοῦτο δὲ καὶ οἷς μᾶλλον ἐποίει, τοὺς ἀρρώστους αὐτῶν ἰώμενος καὶ λαμβάνων εὐπείθειαν μισθὸν θεραπείας, ἕλκει κατὰ μικρὸν εἰς τὴν τῆς ἀληθείας ἐπίγνω-

11 συμβᾶν *P* || 13 ἐνφύσημα *M* || 16 κατέβαλε *M*, κατέβαλλε *P* || 18 κυζίκωι *M* || ibid. Ἀχόλιος *M* || 20 ἐάσας *P* || 21 μέ|μέγαν *P* || 31 ἐπιπλήττων om. *M*

σιν καὶ γίνεται νόσων ἴασις σωματικῶν, μείζονος κακίας ψυχῆς διόρθωσις. οὕτω Λαμψακηνοῖς ὤφθη μείζων ἡ χάρις ἢ Παρθενίῳ πρὸς τὸν τῆς ἐπισκοπῆς θρόνον ἀναγομένῳ.

6. Προκόπτοντας οὖν ὁρῶν ἐν τῇ πίστει καὶ εἴδωλα παρ' οὐδὲν ἡγουμένους ἠβουλήθη μὲν τοὺς βεβήλους καθελεῖν ναοὺς καὶ ἱεροὺς ἀντ' αὐτῶν ἐπ' ὀνόματι Χριστοῦ ἀνεγεῖραι, ἐπέσχε δέ, τὴν γνώμην col. 2 *κοι|νώσασθαι περὶ τούτου καὶ βασιλεῖ βουλόμενος· ἐσκέψατο γὰρ οὐκ ἀκαίρως οὐδ' ἀμαθῶς, ὡς ἐπείπερ εὐσέβειάν ἐστι πρεσβεύων ὁ βασιλεὺς καὶ χριστιανικώτατος εἴπερ ἕτερος (ἦν γὰρ Κωνσταντῖνος ὁ μέγας, κεκήρυκτο δὲ οὔπω τότε ναῶν εἰδωλικῶν καθαίρεσις), χρὴ καὶ αὐτῷ πρότερον γνωρίσαι τὸ ἐπὶ νοῦν καὶ οὕτω δὴ κατ' ἐκείνου γνώμην ἐπιχειρῆσαι τῷ πράγματι. τοῦτο τοιγαροῦν σκεψάμενος ὁδοῦ ἅπτεται καὶ τὴν βασιλίδα πόλιν ἤδη καταλαβὼν ὑπαντᾷ προϊόντι τῷ βασιλεῖ πρὸς τὴν τῶν ὡρείων τοῦ σίτου ἐπίσκεψιν.* f. 44 *ἐντυχὼν δὲ καὶ ὅτου χάριν ἀφίκοιτο γνωρίσας καὶ τυ||χὼν ἐπινεύοντος προστάττεται προάγειν εἰς τὰ βασίλεια καὶ αὐτὸν ἐπανήξοντα περιμένειν. ἐπανελθὼν δὲ μετακαλεῖται καὶ ὁρᾷ τὸν ἄνδρα καὶ ὁμιλεῖ οὐ δεσποτικῶς οὐδ' ὑπερηφάνως, ἀλλὰ τὸ ὅλον φάναι βασιλικῶς καὶ ὅπως ἐχρῆν τὸν Θεῷ δουλούμενον μᾶλλον ἢ γῆς κρατοῦντα καὶ μυρίων ἡγεμονεύοντα. ὡς γὰρ ἀνθρώπῳ Θεοῦ προσσχὼν Θεοῦ ἄνθρωπος, ὁρᾷ τε ὀφθαλμοῖς ἡμέροις καὶ δεξιὰν προτείνει καὶ χείλη χείλεσι προσάγει τοῖς ἐκείνου τὰ ἑαυτοῦ καὶ ὑπὲρ αὐτοῦ δεῖσθαι Θεὸν ἀξιοῖ. τοιούτους εἶναι προσήκει τοὺς βασιλεῖς οὐ βασι-*col. 2 *λεύειν εἰδότας μόνον, ἀλλὰ καὶ βασιλεύεσθαι ἄνωθεν | οὐ τῷ τιμᾶσθαι μᾶλλον, ἀλλὰ τῷ Θεὸν ἐκείνους τιμᾶν τὸ μεγαλοπρεπὲς ἀξιοῦντας· Θεοῦ δὲ τιμὴ πάντως καὶ ἡ τῶν ἐκείνου φίλων τιμή. οὕτως ἐκεῖνον δεξάμενος ἀσμένως ὁ βασιλεὺς ἔπειτα καὶ διατάγματα τοῦτο μὲν καθόλου ἐτίθει, τὴν τῶν εἰδωλικῶν ναῶν καθαίρεσιν ἐπιτρέποντα, τοῦτο δὲ καὶ ἰδιαζόντως τῷ μακαρίῳ συλλαβαῖς οἰκείαις τὸ πρᾶγμα ἐκύρου· πρὸς δὲ καὶ χρυσίου καταβολῇ οὐκ ὀλίγου πρὸς τὴν τοῦ θείου ναοῦ οἰκοδομίαν ἐπεβοήθει. ταῦτα δράσας ὁ βασιλεὺς καὶ χειλέων ἀσπασμῷ πάλιν τὴν πρὸς τὸν μέγαν ἐπισφραγίζων διάθεσιν ἀπέπεμπεν ἐν εἰρήνῃ.*

f. 44v *7. Ἐπανελθὼν οὖν εἰς τὴν πόλιν Λάμψακον ὁ θεῖος ἀνὴρ οὐ||κ ἀναβολαῖς ἐδίδου τὸ βουληθέν, ἀλλ' ἅμα τῶν τε βδελυγμάτων καθαίρεσιν ἐποιεῖτο καὶ τὴν τοῦ θείου οἴκου διαγράψας οἰκοδομίαν ἔργου εἴχετο, ὁμοῦ μὲν κάλλιστον, ὁμοῦ δὲ καὶ ἀσφαλέστατον ἐκεῖνον οἰκοδομῶν. ἀλλὰ τὰ μὲν περὶ τῶν εἰδωλικῶν ναῶν τε καὶ τῶν*

7 *βολόμενοσ* P || 9 *εἶπερ* P, *ἤπερ* M || 20 *προσχὼν* P || 25 *τὸ μεγαλοπρεπὲς ἔχειν* P || 27 *ἀσμένος* P || 30 *καταβολὴ* M || 38 *τε* post *ναῶν* om. M

ἱερῶν οὕτως. καὶ τοῦτο δὲ σημεῖον οὐ τὸ τυχὸν τῆς περὶ τὸν μέγαν αἰδοῦς πάντων καὶ εὐλαβείας· πολλῶν ἑκάστης ἀλλοδαπῶν ἐκεῖσε ἀποπλεόντων οὐδένα τῶν πάντων ἦν ὅλως ἀνακομίζεσθαι μὴ πρότερον εἰς ὄψιν ἐλθόντα τῷ μακαρίῳ καὶ ὡς ἐφόδιόν τι καλὸν καὶ σωτήριον τὰς παρ' αὐτοῦ κομισάμενον εὐλογίας.

8. Πλὴν ἀλλὰ βούλεται πάλιν ὁ λόγος | [col. 2] διηγήμασι τῶν αὐτοῦ θαυμάτων ὥσπερ ἡδύσμασι τὰς τῶν φιλοκάλων ἑστιᾶσαι ψυχάς. πολλῶν γάρ, ὥσπερ ἔφημεν, ἐκεῖσε ἀποπλεόντων ἀφίκετο καί τις πρὸς αὐτὸν πνεῦμα μὲν δαιμόνιον ἔχων, οὐκ εἰδὼς δέ, ἀλλ' ἔτι τοῦ οἰκουροῦντος οὕτω διαλανθάνοντος. ἐκεῖνον μὲν οὖν ἐλάνθανε, τὸν δὲ ἅγιον οὐδαμῶς, καὶ ὅπως, ὁ λόγος δηλώσει· ἀσπάζεται τὸν μέγαν ἐντυχὼν ὁ ἀνήρ, αὐτῷ δὲ οὐμενοῦν ἐκεῖνος τὸν ἀσπασμὸν ἀντιδίδωσιν. ὀργίζεται τὸ δαιμόνιον καὶ «Τί δαὶ» διὰ τοῦ ἀνθρώπου φθέγγεται «ἐπιθυμίαν ἡμᾶς ἔχοντας ὄψεσθαί σε καὶ ἀσπασαμένους αὐτὸς οὐκ ἀντησπάσω τοῖς ἴσοις»; ἰδοὺ οὖν ὁ μέγας «Ἑώρα||κάς [f. 45] με» φησίν· ὁ δὲ «Καὶ ἑώρακα δηλαδὴ καὶ ἐπέγνων». καὶ τὸν ἅγιον «Εἰ οὖν ἐπ' ἀληθείας ἐπέγνως» εἰπεῖν, «σὺ δὲ ἀλλὰ τοῦ πλάσματος ἀπόστηθι τοῦ Θεοῦ». πρὸς ταῦτα τὸ πονηρὸν πνεῦμα «Τοῦτο δὲ» φάναι «ὅλον ἦν, ὥστε με φυγὴν τὴν ἀπὸ τοῦδε κατακριθῆναι; ἀλλὰ μή, δέομαι, συχνὸν οἰκήσαντα χρόνον τό γε νῦν ἔχον μὴ ἐξώσῃς αὐτός».—«Ἀλλὰ πολὺς ἤδη χρόνος ἀφ' οὗ ᾤκησας»; ἐρέσθαι τὸν μέγαν. κἀκεῖνος «Ἔτι παιδὶ ὄντι» φησί, «καὶ οὔπω ἔγνωσμαι ἄχρι καὶ νῦν, ὅτι μὴ παρὰ σοῦ μόνου. εἰ οὖν ἐκβάλῃς, ποῦ καὶ ἄρα γε ἀπελθεῖν ἐπιτρέπεις»;—«Δίδωμί σοι τόπον, ἔνθα καὶ πορεύσῃ» φησί. καὶ ὃς «Ἐρεῖς» ἔφη «μοι πάντως εἰς | [col. 2] χοίρους οἴχεσθαι»; ὁ δὲ «Οὐδαμῶς, ἀλλ' ἄνθρωπόν σοι παρέξω οἰκεῖν· σὺ δὲ τούτου ἐξελθὸν ἐκεῖ κατοίκει». εἶτα τὸ λεχθὲν καὶ αὖθις περιεργασάμενον, εἰ ἀληθὲς εἴη καὶ μὴ ἀπάτη, ἐπεὶ τὸν μέγαν ἰσχυριζόμενον ἑώρα, ἔφασκε γὰρ ἕτοιμον εἶναι καὶ τὸν ἄνθρωπον παρασχεῖν, ᾧ οἰκήσει τούτου δὴ ἐξελθόν, πεισθὲν ἔξεισιν. ὡς δὲ καὶ τὸ ἐπηγγελμένον ἀπῄτει, τὸ στόμα τὸ ἑαυτοῦ διανοίξας εὐθέως ὁ μέγας «Ἰδοὺ» ἔφη «ἄνθρωπος· εἰσελθὸν οἴκει». τὸ δὲ καὶ μόνῳ τῷ λόγῳ πυρὶ ἐπίσης διαφλεγόμενον οἰμώζειν τε ἐῴκει καὶ «Οἴμοι» ἔφασκεν ἀπιόν, «ὃν γὰρ ἕτερον οἰκοῦν ἐνεγκεῖν οὐκ ἔσχον, ἀλλὰ καὶ ἄκων ἐκβέβλημαι πρὸς αὐτοῦ, τούτῳ πῶς ἄρα οἰκῆσαι θαρρή||σω, [f. 45v] μεγάλην οὕτω τὴν ἰσχὺν ἔχοντι; οὐκ ἔστιν ὄντως, οὐκ ἔστιν ἀκοῦσαι δὴ παρ' ὑμῶν ἀλήθειαν τῶν χριστιανῶν». ἐκεῖνο μὲν οὖν ἔρημοί τε καὶ ἄβατοι

1 οὕτω *P* || 7 ἑστιάσαι *P* || 9 πνεύμα *P* || 12 ἀντιδίδωσι *P* || 13 τί δὲ *P* || 15 ἀντισπάσω *P* || 20 οἰκίσαντα *M* || 21 ᾤκισας *M* || 24 ἐπιτρέψεις *P* || 30 ἔξεισι *P* || 34 ἄκον ἐκβάλλομαι *P* || 36 ἔχωντι *P* || ibid. alterum οὐκ ἔστιν *om.* *P*

εἶχον κακὸν κακῶς ἐλαυνόμενον· ὁ δὲ ἄνθρωπος ἀπαθής τε καὶ ὑγιὴς ὅλως ἦν Χριστοῦ τῇ δυνάμει. καὶ ταῦτα μὲν οὕτως.

9. Δεῖ δὲ καὶ ἕτερον προσθεῖναι τοῦ λεχθέντος θαυμασιώτερον. ἀπαρτισθέντι γὰρ ἤδη τῷ ἔργῳ τῆς οἰκοδομῆς τοῦ θείου ναοῦ σπουδὴ τῷ μεγάλῳ καὶ τὴν ἱερὰν ἐπιθεῖναι τράπεζαν ὥς οἷόν τε καλλίστην καὶ τῷ ναῷ προσήκουσαν· ἐπεὶ δὲ τοῦτο εὐχερὲς οὐκ ἦν, εὑρίσκεταί τις λίθος αὐτῷ ἔν τινι τόπῳ βδελύγμασι περιττῷ, κάλλει [col. 2] *τε κάλλιστος καὶ μεγέθει μέγιστος· ὃς | χερσὶ λιθοξόων ἐπιτραπείς, ἁρμόζων ἄριστα καλλιεργεῖται τῷ βήματι καὶ εἰς ἀπαρτισμὸν περιΐσταται. ἐπεὶ δὲ καὶ μετακομίζειν ἔδει, βόες αὐτὸν ἁμάξῃ ἐπικείμενον ἦγον. ἀλλ' ὁ τοῖς καλοῖς ἀεί ποτε βασκαίνων ἐχθρός, τῇ τοῦ μεγάλου σπουδῇ ἐμποδίζειν προῃρημένος, φθάνει καὶ νῦν τὰ συνήθη καὶ φίλα ποιῶν ὁ ἐξ ἀρχῆς ὄντως ἀνθρωποκτόνος, ἐπιχειρεῖ τε ἔργῳ ἀξίῳ τῆς ἐκείνου μισανθρωπίας· διαταράξας γὰρ ὥσπερ αὐτὸς οἶδε τοὺς βόας εἰς ὁρμὴν ἄσχετον συνωθεῖ καὶ παραυτίκα ὁ μὲν ἕλκων αὐτοὺς ὕπτιος εἰς γῆν ἔκειτο, ἐπισυρέντες δὲ αὐτῷ οἱ τῆς ἁμάξης* [f. 46] *τροχοὶ βάρει τε τοῦ || λίθου καὶ ὀξύτητι τῆς φορᾶς τά τε σπλάγχνα διέρρηξαν καὶ νεκρὸν εὐθὺς ἔδειξαν. ὅπερ γνωσθὲν τῷ μεγάλῳ, «Οὐ χαιρήσεις ἐν τούτῳ, πονηρὲ δαῖμον», ἔφη, «οὐδὲ τῷ τοῦ Θεοῦ ἐμποδίσεις ἔργῳ». καὶ παραχρῆμα συμπαραλαβὼν ἐνίους τῶν παρόντων εὐλαβεστέρους ἐν τῷ τόπῳ γίνεται καὶ πλησίον τοῦ πτώματος στὰς καὶ γόνατα κλίνας, δάκρυά τε τῶν ὀφθαλμῶν ἀποστάξας, «Σύ, δέσποτα», ἔφη, «ὁ καὶ ζωῆς ὄντως καὶ θανάτου κύριος, σὺ πάντως οὐκ ἀγνοεῖς, ὅτου χάριν ἡ τοῦ ἀντικειμένου ἐπίθεσις· ἀλλ' ὡς ἀεί ποτε, καὶ νῦν ματαίωσον ἐκείνῳ τὴν κακόνοιαν, βασιλεῦ,* [col. 2] *καὶ τῷ κειμένῳ δούλῳ σου — τί γὰρ σοῦ θελήσαν|τος ἀπρακτεῖ; — δώρησαι τὴν ζωήν, ἡ πάντων ὄντως ζωὴ καὶ ἀνάστασις». οὕτως ἔφη, καὶ τῆς εὐχῆς οὔπω τέλος ἐχούσης ὁ Εὐτυχιανός — τοῦτο γὰρ ὄνομα τῷ κειμένῳ — εὐθὺς ἀνίστατο καὶ ζῶν ὡρᾶτο καὶ ὑγιῶς ἔχων, χείλη τε ἅμα καὶ πόδας ἐκίνει, τὰ μὲν εἰς εὐχαριστίαν τοῦ ἀναστήσαντος, τοὺς δὲ εἰς πορείαν κομιδῇ ἐρρωμένην. ἦγέ τε τὴν ἅμαξαν ἕως ἄρα καὶ τοῦ θείου ναοῦ. πάντες τοιγαροῦν πανταχόθεν ἐκπλαγέντες τοῦ θαύματος τὴν ὑπερβολήν, ὅσοι αὐτῶν ἢ νοσοῦντες ὑπῆρχον ἢ δαιμονῶντες ἢ ἄλλως κακῶς πάσχοντες, ὑπεριδόντες τέχνης ἁπάσης, ἄλλης τε τῆς πρὸς τὰ τοιαῦτα ἐπικουρίας, τῷ μεγάλῳ αὐτοὺς προσέφερον καὶ πλεῖον || ἢ* [f. 46v] *ἤλπισαν ἐπὶ τῶν ἔργων*

2 *ὅλοσ — οὕτω P* || 5 *σπουδῆι M* || 9 *καλιεργεῖται* libri || 12 *τὰ συνήθη ποιῶν καὶ φίλα P* || 19 *οὐχ αἱρήσεισ M* || 27 *ἀνάστασισ P, ἀνάπαυσισ M* || 31 *ἦγε δὲ P, τε* om. *M* || 33 *ὅσοισ αὐτῶ P*

27 *ἡ πάντων — ἀνάστασις*: cf. Io. 11, 25.

ἑώρων. οὕτω πᾶσιν ὁ ἅγιος κοινὴ πρόφασις εὐφροσύνης ὅτι μὴ μόνοις ἰατροῖς ἦν· ἐκείνοις γὰρ οὐδαμῶς διὰ τὴν τῆς τέχνης παρόρασιν, ἐπεὶ καὶ πολλὰ ἦν τὰ πρὸς τὸν ἅγιον τοὺς ἀρρώστους φοιτᾶν ἐφελκόμενα καὶ πρό γε τῶν ἄλλων τὸ τάχος τῆς θεραπείας, τὸ ἄμισθόν τε σαφῶς καὶ τὸ εὔελπι. ὅρα τοίνυν ἅμα πολλῶν δαίμοσι μαχομένων ἐπίτονον ἰατρείαν, ἣν ὁ λόγος οὐ χωρίς, ἀλλ' ὁμοῦ διαλαβεῖν βούλεται, τὸ μῆκος ἐκκλίνων.

10. Παρθένος ὄνομα Δάφνη, Διονυσίου δὲ αὕτη πραιποσίτου θυγάτηρ τοῦ Σμυρναίων πρωτεύοντος, ἑτέρα τε γυνὴ ὄνομα Ζωΐλα, ἐκ Περσῶν ὁρμωμένη, ἐπὶ | ταύταις παρθένος Συναδίου παῖς, πρὸς col. 2 *δὲ καὶ Ἀλεξανδρία, κοινῶς ἐξ Ἀβύδου τὸ γένος ἕλκουσαι· οὐδὲ ... τοῦ ἐκ περαίας ὁρμωμένου παροπτέον τὴν γαμετήν, οὐδὲ Ἀκακίαν δήπου τὴν ἀπό γε τοῦ κτήματος ὃ Κιλλόον ὀνομάζεται προαχθεῖσαν, ἀλλ' οὐδὲ Ῥουφίναν, οὔτε μὴν Θεοφίλαν, αἳ δὴ καὶ αὗται κοινῶς ἐκ κώμης Ἀσίρμου καταγόμεναι ἦσαν. προστίθεμεν ταύταις καὶ Καλλιόπην τὴν γηραιάν τε καὶ πενιχρὰν καὶ κόρην ἄλλην Κυριακὴν ὄνομα. ταύταις πάσαις δαίμοσι κακουμέναις ἥκιστα φορητοῖς εἰς ἀπαλλαγὴν ἤρκεσε ταῖς μὲν εὐχὴ τοῦ μεγάλου μόνη, ταῖς δὲ χειρῶν || ἐπίθεσις, ταῖς δὲ τοῦ πονηροῦ πνεύματος ἐπιτίμησις,* f. 47 *ἔνιαι μέντοι καὶ μόνῳ ἐμφυσήματι τὴν ἐλευθερίαν ἔσχον.*

11. Ἀλλὰ περὶ Νίκωνος δῆτα τοῦ νεανίου, εἰ καὶ τὸ πάθος ὅμοιον (ἐδαιμόνα γάρ), ἀλλ' ὅμως ἰδίᾳ λεκτέον τὰ ἐκείνου κακά· ἔχει γάρ τινα καινοτέραν τὸ θαῦμα διατριβήν. οὗτος ἀπὸ Ὀρνῶν μὲν ὡρμᾶτο, ἱερέως δὲ ἦν υἱός· δαίμονι μέντοι κάτοχος γεγονὼς ἔπασχεν ἰσχυρῶς. εἶτα πρὸς τῶν γονέων ἀχθέντος αὐτοῦ καὶ τοῖς τοῦ μεγάλου προσριφέντος ποσίν, ἐκείνων τε θερμότατα δεομένων οἶκτον λαβεῖν τῆς αὐτοῦ νεότητος καὶ ἀπαλλάξαι δαίμονος ἐπηρείας, ὁ θεῖος ἀνήρ—ὢ καινοῦ πράγματος— | τό γε εἰς Παρθένιον col. 2 *ἧκον οὐδὲν ἐῴκει συμπάσχειν οὐδὲ τοῖς δάκρυσιν αὐτῶν ἐπικλᾶσθαι γοῦν καὶ τὸ μέτριον ἡ συμπαθὴς ἄγαν καὶ φιλανθρωποτάτη ψυχή. ἔπειτα καὶ φανερῶς «Οὐκ ἔστιν οὗτος ἐλέους, οὐκ ἔστιν ἄξιος» ἐκφωνεῖ, «πατραλοίας ὢν καὶ θρασύτατος· ἴστε γάρ, ὅπως ὑμεῖς διαπονηθέντες πολλάκις ἐφ' οἷς αὐτὸς ἔπραττεν ἰταμῶς, ὀδυνηρόν τε εἰς οὐρανὸν ἐβλέψατε καὶ τιμωρὸν ᾐτήσασθε τὸ θεῖον διαλαβεῖν· ἄφετε τοιγαροῦν· λυσιτελὴς γὰρ αὐτῷ ἡ μάστιξ, ἐπεὶ καὶ κατὰ τὸν*

2 *δι' αὐτὴν M* || 6 *ἐπίτομον P* || 9 *inter πραιποσίτου θυγάτηρ et τοῦ Σμυρναίων haec habet P: ἀγαλματίσ τὲ ἄλλη· μαμαλίου καὶ αὐτὴ θυγάτηρ* || ibid. *ζωΐλη P* || 11 *post οὐδὲ nescio an viri nomen exciderit* || 13 *κιλλίον P: an Κελλίον? (cf. supra p. 23, 16)* || 14 *ῥουφίαν P* || 20 *ἔσχον] εἶεν P* || 21 *δῆτὰ P* || 32 *πατραλύασ P*

θεῖον Ἰερεμίαν αἱ ἀνομίαι αὐτοῦ ἴσχυσαν, καὶ παιδείᾳ στερεᾷ ἐπατάχθη». πρὸς ταῦτα τοὺς γονεῖς ὁρῶν σπλάγχνων ἡττωμένους καὶ f. 47v *τὴν παιδείαν ταύ||την οὐ τοῦ παιδὸς μᾶλλον ἢ ἑαυτῶν εἶναι λέγοντας καὶ ὅτι πρότερον ὑβρίζων ἧττον ἔπληττεν, ἢ ἄρτι πάσχων αὐτός, ταῦτα βοῶντας ὁρῶν καὶ τὴν τοῦ υἱοῦ συμφορὰν οὐδαμῶς φέροντας, ἀλλ' αἵματι κλαίοντας, τὸ τοῦ λόγου, καὶ περιπαθῶς αὐτοῦ δεομένους στῆναι τῷ παιδὶ τὴν μάστιγα, ἐπικαμφθεὶς ὁ μέγας δεῖται μὲν αὐτίκα Θεοῦ καὶ μάλα θερμῶς· ἀκούεται δὲ μᾶλλον ταχέως ἢ εὐχῆς ἐκεῖνος ἅπτεται, καὶ ὁ παῖς τοῦ δαίμονος ἀπαλλάττεται καὶ κοινῇ σὺν πατράσι χαίρων εἰς τὴν οἰκίαν ἐπανέρχεται.*

12. Τί δαὶ καὶ ὁ στρατιώτης Ἀζάνιος; καὶ αὐτὸς γὰρ φόρτος col. 2 *οἷον ἄψυχος εἰσκομίζεται πρὸς τὸν ἅγιον, ὅλοις μέλεσι παρει|μένος· ὃν οὐδενὶ ἄλλῳ βοηθήματι χρώμενος, ἢ μόνῳ ὕδατι διαβρέχων εὐχαῖς θεοπειθέσι κεκερασμένῳ ὑγιᾶ καὶ ἄρτιον δείκνυσι, ποσὶν οἰκείοις ἐπανιόντα.*

13. Ἐπὶ τούτοις καὶ ὁ Σύρος Ἀλαμᾶς ἀξιούσθω μνήμης· κἀκεῖνος γὰρ ἐνεργείᾳ δαίμονος, ὃς αὐτῷ ἐνῴκει, τοῦ ἱεροῦ οἴκου τῆς στέγης καταπεσὼν νεκρὸς εὐθὺς ἔκειτο καὶ ἄπνους. τοῦτον ὁ μέγας ἰδὼν οὐμενοῦν παρεῖδεν, ἀλλ' ἀντὶ παντὸς ἑτέρου τῷ ἰσχυροτάτῳ πρὸς θεραπείαν φαρμάκῳ εὐχῇ τῇ αὐτοῦ χρησάμενος οὐχ ὅπως ἀνέστησε μόνον, ἀλλὰ καὶ τοῦ πονηροῦ πνεύματος ἀνῆκεν.

f. 48 *14. Οὐδὲ τὴν Μαξιμιανοῦ νόσον περι||δεῖν ἄξιον· καὶ γὰρ ὅσῳ χαλεπὴ καὶ δυσίατος, τοσούτῳ δὴ καὶ θεραπείας ἐπιτυχοῦσα μνημονεύεσθαι δικαία· ὃς ἐκ Βιζύης μὲν τῆς κατὰ Θρᾴκην ὥρμητο, νόσῳ δὲ δυσεντερίας πεπέδητο οὕτως ἰσχυρῶς, ὡς μηδεμίαν αὐτῷ ζωῆς ἐλπίδα μηδ' ὅλως ὑπολελεῖφθαι. τοῦτο τοὺς γονεῖς ἐκείνου μαθόντας (ἐτύγχανε γὰρ ὑπό τινι τῶν τῆς ἐπισκοπῆς διακόνων, ὄνομα Φέρτῃ, μαθητευόμενος) εἰς Λάμψακον ἐκ Βιζύης ἐφ' ᾧ θάψαι τὸν παῖδα παραγενέσθαι. δεῖ τοίνυν ὁρᾶν καὶ πίστεως εἰλικρινοῦς ἔργον καὶ δι' ἐκείνην αὖθις θειοτάτην εὐεργεσίαν· παραλα-* col. 2 *βόντες γὰρ αὐτὸν ἄπνουν οἱ γονεῖς σὺν τῷ κλινι|δίῳ ἄγουσί τε καὶ μηδὲν ὅλως ἐπιδοιάσαντες πρὸς τῇ εἰσόδῳ φέροντες τιθέασι τοῦ ναοῦ, ἔνθεν ἄρα καὶ ὁ θεῖος ἀνὴρ ἔμελλε διελθεῖν. ἐπιστὰς οὖν ἐκεῖνος καὶ τὸν μὲν ἰδὼν νεκρὸν ἤδη κείμενον, τοὺς γονεῖς δὲ καὶ ἄλλους τοὺς παρόντας θερμὰ τούτου δάκρυα καταχέοντας, πάσχει καὶ αὐτὸς τὴν ψυχὴν καὶ δάκρυσι τὸ πάθος μηνύει. ἄλλῳ μὲν οὖν*

9 *ἐκεῖνος εὐχῆς* P || 12 *δαὶ* M, *δὲ* P || 13 *με|μέλεσι* P || 25 *ὥρμηντο* P || 26 *μὴ δὲ μίαν* libri || 27 *μηδόλωσ ὑπολελεῖφθαι* M || 30 *εἰλικρινοῦς* M, *ἀκριβοῦς* P || 34 *καὶ ἀνὴρ ὁ θεῖος* M

ἤρκεσε πάντως τὸ καὶ ἑαυτὸν συμπάσχοντα δεῖξαι κατὰ τὴν κλαίειν μετὰ κλαιόντων παραίνεσιν καὶ οὕτω τοῖς γονεῦσιν ἀφοσιώσασθαι τὴν παράκλησιν· Παρθενίῳ δὲ οὐδαμῶς, ἀλλὰ καὶ χαρᾶς αὐτοῖς ἐπικαιροτάτης γίνεται πρόξενος· ἅμα γὰρ τοῖς δάκρυσι καὶ γόνα‖τα *f. 48v* κλίνας καὶ τῆς τοῦ Θεοῦ δεηθεὶς ἀγαθότητος ἀνίστησί τε τὸν νεκρὸν καὶ γλώττῃ καὶ ποσὶν ὑγιῶς χρώμενον τοῖς πατράσιν αὐτὸν ἐγχειρίζει.

15. Εὐχαρίαν δὲ τὴν Ἀγαπίου δῆτα τοῦ μαγιστριανοῦ γαμετὴν εἰ παρελθεῖν ἀξιώσομεν, οὐ τὰ μέτρια πάντως τοὺς ἀκροατὰς βλάψομεν· καὶ αὐτὴ γὰρ γοητείαις πονηρῶν ἀνθρώπων ὑποβληθεῖσα ἔπασχέ τε χαλεπῶς τὰ ἔνδον καί, τὸ τῆς θείας φάναι γραφῆς, ὠδῖνες ᾅδου περιεκύκλουν αὐτήν. ταύτην οὕτω πονηρῶς ἔχουσαν οὐ δυσκόλως ἐκεῖνος οὐδὲ μακρῶν δεηθείς τινων περιόδων ὑγιᾶ δείκνυσιν, ἀλλ' ὁ μὲν χρόνος τρεῖς τὸ ὅλον ἡμέραι, τὸ δὲ κατὰ φαρμακείας | μᾶλλον ἰάσιμον φάρμακον οὐδὲν ἕτερον ἢ ἔλαιον ποτι- *col. 2* ζόμενον τῶν ἁγίων καὶ εὐχὴ ἐκείνου μέρος οὔτι μικρὸν ἐπιβοηθοῦσα.

16. Μηδὲ τὸ Θαλασσίου πάθος ἀνήκοον ὑπολειφθήτω τοῖς φιλοκάλοις· ὃς καὶ αὐτὸς ἀπὸ Συαδίας μὲν ὥρμητο, πατρὶ δὲ ἐκέχρητο πρεσβυτέρῳ, ἐνεργείᾳ μέντοι πονηροῦ πνεύματος τῶν φρενῶν ἐκπεσὼν προσάγεται τῷ μεγάλῳ καὶ οὐ πλεῖον ἢ ἑπτὰ ἡμέρας παρ' αὐτῷ μείνας τὸ μέγα τοῦ Θεοῦ δῶρον νοῦν ἀπείληφε καὶ τὰς φρένας.

17. Καὶ Ἡρακλεώτης δέ τις, ὄνομα Κάλλιστος, καὶ Λέσβιος ἄλλος οὕτω καλούμενος, ἐξ Ὤας τῆς νήσου τὸ γένος ἕλκων, προσάγονται τῷ ‖ μεγάλῳ, ὁ μὲν ἐπηρείᾳ δαίμονος παρεθεὶς τοὺς πό- *f. 49* δας, ὁ δὲ ὅλος ἡλκωμένος ἦν καὶ λεπροῦ διαφέρων οὐδὲν ὁ Λέσβιος. οἷς ἀμφοτέροις εὐχὴ Παρθενίου οὐκ ἐντελῆ μόνον, ἀλλὰ καὶ ταχεῖαν ὀρέγει τὴν θεραπείαν.

18. Ἀλλὰ τὸ βασιλικὸν ὃ τῆς πορφύρας φασὶ βαφεῖον καὶ τὸ ἐν αὐτῷ θαῦμα τίς ἂν οὕτω περὶ τὰ καλὰ ῥάθυμος, ὡς ἀνασχέσθαι καταλιπεῖν; ἐκώμαζε καὶ περὶ αὐτὸ δαίμων κατ' ἐκεῖνο καιροῦ καὶ ἄπρακτον ἐτίθει καὶ ἀτελῆ τὴν βαφήν· καὶ τί γάρ, εἰ καὶ αὐτοῖς ἐφθόνει τοῦ ἔργου, βάσκανος ὢν ἐξ ἀρχῆς καὶ φθονερὸς καὶ μισάνθρωπος. οὕτω δὲ ἀνέδην ἀντικείμενος καὶ κακουργῶν ἦν, ὡς καὶ δῆλος πολ|λάκις τοῖς βαφεῦσι γενέσθαι καὶ περιφανῶς ἐμποδίζειν, *col. 2*

8 δὴ τὰ *P* ‖ 12 πονήρως *P* ‖ 13 οὐ δυσκόλως ἐκεῖνος *om.* *P* ‖ ibid. τινῶν *libri* ‖ 18 μήδὲ *P* ‖ 25 ἐξ ὄασ *P* ‖ 28 ταχείαν *libri* ‖ 30 φασὶ] εἴη *P* ‖ 35 ἀναίδην *M*

12 ὠδῖνες — αὐτήν: cf. Psalm. 17 (18), 6.

ζημίᾳ τε πολλῇ καὶ κινδύνῳ τοὺς ἐπ' αὐτῷ τεταγμένους χαλεπῶς περιβάλλειν. τοῦτο δῆλον γενόμενον τῷ ἁγίῳ, αὐθαιρέτως ἐπιφοιτᾷ ἐθελοκάκῳ δαίμονι ἑαυτὸν ἀντιστήσων ὁ πρὸς τὸ ὠφελεῖν ἐθελούσιος. ἐπιστὰς οὖν ἐγκελεύεται κατὰ τὸ φανερὸν τῷ πονηρῷ πνεύματι καὶ ἐπιτιμήσας καὶ τὸ φοβερὸν αὐτῷ ὄνομα τοῦ Χριστοῦ ἐπισείσας ἀφανὲς καθίστησιν οὐ τοῦ βαφείου δηλαδὴ μόνου, ἀλλὰ καὶ τῶν ὁρίων πάντων ἐκείνων. ἐῴκει γὰρ βοᾶν τὸ δαιμόνιον εἰς κοινὴν ἅπασιν ἀκοὴν ὡς πυρὶ διωκόμενον «Εἰς τὸ τῆς γεέννης ἀπάγομαι f. 49ᵛ πῦρ». ἔπειτα κελεύσαντος πρὸς διάπειραν τοῦ ἁγίου || πληροῦνται μὲν οἱ λέβητες, καθιᾶσι δὲ οἱ βαφεῖς τὸ ἔριον, καὶ ἀνεμπόδιστος ἡ βαφὴ οὐ τότε μόνον, ἀλλὰ καὶ εἰς τὸ ἑξῆς δείκνυται.

19. Οἶδ' ὅτι θαυμάζειν ἄξιον καὶ χαριέστατον ὑμῖν ἔδοξε τὸ λεχθέν· ἀλλὰ προσεκτέον· ὀφθήσεται γὰρ τὸ ῥηθήσεσθαι μέλλον κατ' οὐδὲν ἔλαττον, ὅτι μὴ καὶ μεῖζον. καιρὸς ἦν ἁλείας, καὶ οἱ μὲν ἰχθύες ἑωρῶντο τοῖς ἁλιεῦσιν ὡς ἀμόχθως ἁλώσιμοι καὶ μόνον οὐκ ἐν χερσὶν ὄντες. εἶτα τῶν δικτύων καθιεμένων ματαία ἦν ἡ σπουδὴ καὶ ἐντὸς ἄγρας τὸ παράπαν οὐδέν· τοῦτο δὲ οὐκ ἄλλως ἐγίνετο ἢ δαίμονος βασκανίᾳ οὐκ εἰς ἓν ἢ καὶ δύο τῶν ἐμπορίων, ἀλλ' εἰς col 2. ὅλην δὴ τὴν παράλιον ἀτεχνῶς ἄχρι | καὶ Ἀβύδου πονηρευόμενον. τίς οὖν καὶ ἡ τοῦ προκειμένου θεραπεία καὶ τίς ὁ δείξας καὶ νῦν ἄπρακτον τὸ δαιμόνιον; ἀθροισθέντες ἅπαντες πανδημεὶ δέονται τοῦ ἁγίου χεῖρας ὁσίας πρὸς Θεὸν ἐκτεῖναι καὶ λῦσαι τὸ οὐκ οἶδ' ὅπως αὐτοῖς ἐμποδίζον καὶ προσιστάμενον. καὶ ὃς ἐπήκουε· τίς γὰρ ἐκείνου φιλανθρωπότερος; καὶ νηστείᾳ ἑαυτὸν ἐδίδου καὶ προσευχῇ σὺν τοῖς δάκρυσιν. οὕτω τοῦ Θεοῦ δεομένῳ δήλην αὐτῷ ποιεῖ ὁ φιλάνθρωπος τὴν ἐκ τοῦ πονηροῦ πνεύματος κακουργίαν καὶ τὸ λοιπὸν ὄκνος οὐδεὶς οὐδὲ μέλλησις, ἀλλὰ περιιὼν τὴν παράλιον εὐλόf. 50 γει τὸ ὕδωρ, εἶτα καὶ ἅλας ἐμ||βάλλων καὶ διασπείρων αὐτοὺς τοῖς δικτύοις ἐπέτρεπε καὶ αὐτοῦ δὴ παρόντος ἄγρας πειρᾶσθαι, κἀκείνων οὕτω ποιούντων — ὢ καινοῦ θαύματος — ἑσμὸς ἰχθύων συνελαμβάνετο, καὶ τοῦτο δὴ τὸ τοῦ λόγου ἀγαθῶν θάλασσα τὸ θήραμα ἦν, ὡς καὶ τοῦ παρελθόντος χρόνου τὸ ἐλλεῖπον ἐκπληρωθῆναι.

20. Ψάμμου πλῆθος ἢ ἀστέρων χοροὺς ἢ θαλάττης χόας ἀριθμεῖν ἔοικα, τὰ ἐκείνου θαύματα σπουδάζων διαλαβεῖν. ταύτῃ τοι τῶν πολλῶν ἀφέμενος ὀλίγων τινῶν μνησθήσομαι μόνον καὶ ὧν ἡ παράλειψις μεγίστη ζημία.

21. Ἐδέησέ ποτε τῷ μεγάλῳ καὶ τὴν μητρόπολιν Ἡρακλείας

3 ἐθελοκάκῳ δαίμονι om. P || 4 οὖν] τοίνυν P || 11 δείκνηται P || 15 ἰχθῦες M || 22 λύσαι P || 34 χώας M || 38 ἐδέησε ποτὲ libri

τῆς Θρᾴκης κατά γοῦν | τινα χρείαν ἰδεῖν. ἐντυχὼν οὖν καὶ τῷ ταύ- col. 2 της προέδρῳ νοσοῦντι καὶ λίαν χαλεπῶς ἔχοντι, ἐπεὶ ἔγνω θείῳ φωτὶ τῆς χάριτος ψυχῆς νόσημα εἶναι τῆς νόσου τὸ αἴτιον — καὶ γὰρ εἶχε σφόδρα φιλοχρημάτως καὶ τὰ τῶν πενήτων, φεῦ, ἐνοσφίζετο — ἐπεὶ ταῦτα ἔγνω, τότε μὲν ἐπανῆκεν οὐδὲν πλέον εἰπών, εἰς δὲ τὴν ἐπιοῦσαν πρόσεισι πάλιν ἐπισκεψόμενος καὶ προσσχὼν «Ἴσθι» ἔφη «τὴν σωματικὴν ταύτην νόσον μὴ ἁπλῶς ἐπελθεῖν σου τῇ ἀρετῇ, ἀλλ᾽ εἶναι νόσου ψυχικῆς παιδείαν». κἀκεῖνον ἔξω ἔτι τοῦ σκοποῦ θέοντα οὐκ ἀγνοεῖν φάναι ἁμαρτωλὸν εἶναι καὶ διὰ τοῦτο ὑποκεῖσθαι παιδείᾳ· «Σὺ δὲ ἀλλ᾽ ὑπὲρ ἡμῶν εὖξαι» φησίν, «ὥστε ἀνε||θῆ- f. 50v ναί μοι τὰ ἐπταισμένα». πρὸς ταῦτα τὸν ἅγιον «Εἰ μὲν εἰς ἄνθρωπόν τις» εἰπεῖν «προσκεκρουκὼς τύχοι, τὸν ὑπὲρ αὐτοῦ δεόμενον εἰκὸς ἀκουσθῆναι· τὸ δὲ σὸν πρὸς Θεὸν κομιδῇ συντείνει, ὃν λανθάνει τῶν γινομένων οὐδέν, ἀλλὰ καὶ ἔτι ἐνεργούμενόν ἐστι καὶ ἰσχύον, κατὰ πενήτων ὅλως πραττόμενον. ἀπόδος τοίνυν τὰ τοῦ Θεοῦ τῷ Θεῷ, καὶ οὐδὲν ἐμποδίζον ἔσται ὑγιαίνειν σου τὴν μεγαλωσύνην, οὔ φημι κατὰ σῶμα μόνον, ἀλλὰ τὸ μεῖζον δὴ καὶ κατὰ ψυχήν». καθίκετο τὸ ῥηθὲν τῆς ἐκείνου ψυχῆς. ἦν γὰρ ὡς ἔοικε τῶν ἁμαρτανόντων μέν, οὐχ ὥστε δὲ καὶ θεραπείας ἔχειν τὴν νόσον ἰσχυροτέραν, ἀλλὰ τῶν ὅτι καὶ νοσοῦσιν εἰ|δότων καὶ τοῖς θερα- col. 2 πεύειν ἐπισταμένοις οὐχ ἥκιστα πειθομένων. ἐπὶ νοῦν τοίνυν ἐλθὼν «Ἐπ᾽ ἀληθείας ἡμάρτηκα τῷ Θεῷ» λέγει, «δίκαιος δὲ ἄντικρυς ὁ Θεός». εἶτα τὸν τὰ αὐτοῦ διοικεῖν ἐπιτετραμμένον εὐθὺς ἐκάλει, ἐνεγκεῖν τε εἰς μέσον ἐκέλευεν ὅπερ ἐκ τῶν πενήτων ἦν ἀθροισθὲν χρυσίον. καὶ ὃς ἐποίει τὸ κελευσθέν, καὶ παράγεται παραχρῆμα χρυσίον οὐμενοῦν εὐαρίθμητον. ἠξίου μέντοι αὐτὸς τὸν ἅγιον διαδοῦναι τοῖς πτωχοῖς· ὁ δὲ «Σοὶ μᾶλλον» ἔφη «προσήκει τὸ ἔργον, καὶ διὰ τοῦτο σὲ ῥωννύοντος τοῦ Θεοῦ ἀποδοτέον διὰ σοῦ πάντως τὰ πενήτων τοῖς πένησι». φορείῳ τοιγαροῦν ὁ νοσῶν ἐγκαθίσας (ἔσπευσε γὰρ δεῖξαι || τὸν μέγαν εἰς ὦτα εἰπεῖν ἀκούοντος) ἐπὶ τὸ f. 51 ἱερὸν ἀπάγεται τῆς μάρτυρος Γλυκερίας· καὶ παραυτίκα ὅσοι τῆς πόλεως ἐνδεῶς εἶχον οἷα δὴ μελισσῶν σμῆνος ἐν μέλιτι συνηθροίζοντο, καὶ αὐτὸς διεδίδου πᾶσι καὶ φιλοτίμῳ τῇ δεξιᾷ, ὥστε δὴ τὸ τοῦ ἀποστόλου ἐπὶ τῶν ἔργων ὁρᾶν ἦν· σπείρας γὰρ οὐ φειδομένως, ἀλλ᾽ ἐπ᾽ εὐλογίαις, ἀκολούθως ἅμα καὶ αὐτὸς ἐπ᾽ εὐλογίαις ἐθέριζε τὸν καρπόν· οὔπω γὰρ μετὰ τὴν εὐεργεσίαν τρεῖς παρῆλθον

6 πρόσεισιν πάλαι *M* || 9 ἀγνοεῖς || 10 παιδία *P* || 12 προσκεκρουκὸς *M* || 13 συντείνειν *M*, κομιδὴ πρὸσ θν̀ συντείνει *P* || 17 ἀλλὰ καὶ τὸ *P* || 18 καὶ γὰρ *M* || 19 οὐχ᾽ ὥτὲ δὲ *P* || 20 νοσοῦσιν] νοσεῖν *P* || 23 εὐθὺ *M* || 29 φορίῳ *M*

15—16 ἀπόδος — τῷ Θεῷ: cf. Matth. 22, 21; Marc. 12, 17; Luc. 20, 25. || 34 sq. σπείρας γὰρ κτλ. cf. 2 Cor. 9, 6.

ἡμέραι, καὶ καθαρᾶς ἐτρύφα τῆς ὑγιείας οὐ τοῦ σώματος μόνον, ἀλλὰ καὶ τῆς ψυχῆς, ὡς τῷ μεγάλῳ ἡ πρόρρησις· ἐκ ταύτης γὰρ καὶ τούτῳ αἱ τοῦ νοσήματος ἀφορμαί.

col. 2 *21. Καὶ ταῦτα | μὲν ταύτῃ· ἔργον δὲ Παρθενίῳ πρὸς Ἡράκλειαν ὄντι καὶ τόδε ἦν, οὐχ ἁπλῶς οὕτως οὐδὲ παρέργως γινόμενον· περιὼν τοὺς εὐκτηρίους οἴκους ἑκάστης εὐχὰς ἐπετέλει τὰς εἰωθυίας. εἰσελθὼν οὖν ποτε τὸ μαρτύριον, ᾧ Κατάχειλας ἐπωνυμία, ἐντυγχάνει κατακειμένῳ τινί, ὃς ἦν ὅλως ἐξηραμμένος· ἰδὼν δὲ οὐ κατὰ τὸν ἱερέα ἐκεῖνον, οὔτε μὴν τὸν λευΐτην ἀντιπαρῆλθε· πῶς γάρ, Παρθένιος ὤν, καὶ βουλόμενος ὠφελεῖν ὁμοῦ καὶ δυνάμενος; ἔλαιον οὖν αἰτήσας καὶ λαβὼν ἐπεύχεται τούτῳ, ἔπειτα καὶ γόνατα κλίνας καὶ δεηθεὶς τοῦ Θεοῦ ἀνίσταται καὶ τὰ ξηρὰ ἐκεῖνα μέλη τῷ* f. 51v *ἐλαίῳ πράως διαμαλάσσει, δάκρυα προκατασπείσας αὐτοῦ || καὶ τούτοις δραστικὸν ἐκεῖνο δείξας καὶ ἰσχυρότατον· ὅρα γάρ, ὁποῖον ἀνίστησιν εὐθὺς τὸν ἐπίσης ἀψύχῳ κείμενον καὶ ἐρρωμένον ὅλως καὶ ὑγιᾶ δείκνυσιν, εἶτα καὶ ποσὶ χρώμενον τοῖς ἰδίοις εἰς τὴν οἰκίαν ἀπιέναι παρασκευάζει.*

22. Τοῦτο κατὰ τὴν Ἡράκλειαν γεγονὸς οὐχ ἕνα ἢ καὶ δύο, ἀλλὰ τὸ πλῆθος ὅτι πολὺ τῶν νοσούντων συνῆγε, καὶ αὐτίκα πρὸς τῶν οἰκείων φερόμενοι θεραπείας ἀπέλαυον ὀξυτάτης· ὧν γινομένων καὶ Ὑπατιανός, ὃς ἀρχιδιάκονος τότε τῆς καθ᾽ Ἡράκλειαν ἐκκλησίας ἦν, συμπαρῆν, αὐταῖς ὄψεσι παραλαμβάνων τὰ θαύματα. δεῖται τοίνυν ἐν δάκρυσι τοῦ ἁγίου μὴ παροπτέαν αὐτῷ θεῖναι τὴν col. 2 *αἴτησιν μη|δ᾽ ὄκνῳ εἶξαί τινι, ἀλλ᾽ εἰς ἕνα τῶν ἀγρῶν αὐτοῦ θᾶττον ἀφικέσθαι, οὗ κατεσπάρθαι μὲν ἔφη πολλά, αὐχμοῦ δὲ δεινοῦ τυχόντα ξηρανθῆναι πάντα. «Διδάσκει δέ με» φησὶ «τὰ γινόμενα, ὡς εἰ τῷ χώρῳ παραστὰς ἐπεύξῃ, ὁ κύριος δώσει χρηστότητα, κατὰ τὸν θεῖον φάναι Δαυίδ, ὑετὸν δηλαδὴ χρηστόν, καὶ ἡ ἐκεῖσε ἅπασα γῆ δώσει τὸν καρπὸν αὐτῆς». πείθεται τῇ δεήσει ὁ μέγας κἀν τῷ τόπῳ παραυτίκα γίνεται· εἶτα καὶ χεῖρας εἰς οὐρανὸν ἐπάραντος δάκρυά τε θερμὰ σπείραντος, ὑετοῦ πάντως οὐ ᾐτεῖτο γονάς, οὔπω τῆς εὐχῆς πέρας ἐχούσης νεφῶν μὲν ὁ οὐρανὸς πληροῦται, ὑετὸς* f. 52 *δὲ κατάγεται διαρκὴς || καὶ γῆς λαγόνας πληρῶσαι δυνάμενος. τότε μὲν οὖν πρός τινι τῶν τοῦ ἀγροῦ οἰκημάτων ὁ μέγας εὐδοκεῖ διανυκτερεῦσαι, οὐχ ὕπνῳ, ἀλλὰ προσευχαῖς μᾶλλον ἑαυτὸν ἐπιτρέψας. ἕωθεν δὲ μετακαλεσάμενος τὸν ἀρχιδιάκονον, «Ἀλλὰ προσεκτέον δή σοι» φησίν, «ἐπεὶ καὶ οἶδας ὅπως διὰ φιλαργυρίαν πεπαίδευται*

5 *οὐδὲ om. M* || 9 *λευΐτην: λαΐτην libri* || 24 *εἶξαι τινὶ libri*

8—9 *ἰδὼν κτλ.: reminiscitur auctor* Luc. 10, 30—37. || 27 *ὁ κύριος — χρηστότητα:* Psalm. 84 (85), 12.

ὁ ἐπίσκοπος, ἐμοὶ δὲ ὅπερ ὑπῆρξε τῇ νυκτὶ τῇδε πρὸς Θεοῦ μαθεῖν· ἐπίσκοπος, ἴσθι, καὶ αὐτὸς ἔσῃ οὐ πολλαῖς ὕστερον ἡμέραις· ὅπως οὖν σοι διὰ προνοίας τὰ πενήτων εἴη. τοῦτο γὰρ εἴπερ τι ἕτερον θεραπεύει Θεόν». οὕτω λέγοντος ἐδίδου μὲν οὖς εὐπειθὲς ὁ ἀρχιδιάκονος, ᾐτεῖτο δὲ καὶ πρὸς τοὺς ἄλ|λους αὐτὸν ἀγροὺς ἐπιφοιτῆσαι *col. 2* καὶ ἀμπελῶνας, εὐχῆς τε τῆς ἐκείνου ἀξιῶσαι πάντας. εἴξας οὖν καὶ παραγενόμενος, ἐπεὶ μίαν ἄρουραν εἶδε μεγίστην μὲν οὖσαν, ἔρημον δὲ δοκοῦσαν εἶναι καὶ σπερμάτων κενήν, «Αὕτη δὲ ὅτου χάριν» ἠρώτα «μὴ ἔσπαρται»; καὶ ὁ ἀρχιδιάκονος πληγεὶς τῷ λόγῳ καὶ δάκρυα κατενεγκὼν ἐσπάρθαι μὲν ἔλεγεν, «Ἁγιώτατε, φιλοπόνως, αἱ ἐμαὶ δὲ» φησὶν «ἁμαρτίαι ἀφορμὴν ἀπὸ τοῦ αὐχμοῦ λαβοῦσαι πεπηρώκασί τε καὶ ἤμβλυναν, ὡς ὁρᾷς, τὰς γονάς». πρὸς τοῦτο διαπονηθεὶς ὁ μέγας καὶ συναλγήσας αὐτῷ, «Πόσων δὲ ἄρα μοδίων» ἔφη «τῆς χώρας ὁ τοκετός»; καὶ ὃς «Χιλίων» εἶπεν. «Ἀλλὰ μὴ ἀθύμει» φησὶν ὁ μέγας· || «ἐμάθομεν γὰρ εἶναι πάντα δυνατὰ τῷ *f. 52v* πιστεύοντι. πλὴν ὁ Θεὸς δι' ἐμοῦ ταῦτά σοι τοῦ ἁμαρτωλοῦ· θέρους ὥρᾳ τὸν φυέντα τοῦδε τοῦ χώρου καρπὸν ἀλοήσας χωρὶς εὑρήσεις κατὰ ῥῆμα δὴ τοὐμὸν τοὺς χιλίους, καθότι κοῦφον ἐνώπιον κυρίου τὸ ποιῆσαι ταῦτα». ἔπειτα καὶ εἰς ἀμπελῶνα νεόφυτον παρελθὼν ἑώρα καὶ τὸν σητόβρωτόν τε αὐχμῷ καταστάντα καὶ συνόλως ξηρόν· ἦν δὲ τὸ χωρίον γῆς ἱκανῶς ἔχον καὶ οἷον ὀγδοήκοντα μοδίων σπέρμασιν εἶναι διαρκές. λαβὼν τοιγαροῦν ἅλας κατεσκέδασε τούτοις, ὡς ἐγχωροῦν ἦν, ὅλου τοῦ ἀμπελῶνος καὶ τῷ ἀρχιδιακόνῳ μηδὲν τούτῳ δεῖν ἔλεγεν ἀθυμεῖν· «Καὶ γὰρ οἴσει σοι εὐλογίαν ἱκα|νὴν ὁ χῶρος Θεοῦ τοῦ ἀγαθοῦ νεύμασιν». *col. 2*

23. Ἐπεὶ δὲ καὶ εἰς Λάμψακον ἤδη ἐπανελθεῖν ἔγνω, ἀπελθὼν ὥστε καὶ τῷ ἐπισκόπῳ ἐντυχεῖν, ἀσμένως τε ὡράθη καὶ πρὸς αὐτὸν «Εὐαγγελίζομαί σοι» φησίν· «οὐ γὰρ πολὺ τὸ μεταξὺ ἔσται καὶ πρὸς κύριον ἐκδημεῖς, καλὸν ἀπολείπων τὸν μετὰ σὲ τῆς μητροπόλεως προστησόμενον, ὥς μοι περὶ τούτου δήλωσις ἐκ Θεοῦ, τὸν ἄριστον Ὑπατιανὸν τὸν ἀρχιδιάκονον». καὶ ὁ μὲν οὕτως εἰπών, εἰς πλοῖον ἐμβὰς εὐθὺς ἔπλει Λαμψάκου. ὀλίγαι δὲ παρῆλθον ἡμέραι, καὶ ὁ πρόεδρος Ἡρακλείας νόσῳ ληφθείς, ὥς γε δὴ καὶ τῷ σοφῷ προηγόρευτο, πρὸς κύριον ἐκδημεῖ, ἀκολούθως ἅμα καὶ Ὑπατιανοῦ τὸν τῆς ἐπισκοπῆς θρό||νον ἐκδεξαμένου· οὐδὲ ταῦτα διαπίπτει τῶν *f. 53* Παρθενίου προρρήσεων. θέρους ἦν ἀκμή, καὶ ὁ καιρὸς ἐκάλει πρὸς τὴν συγκομιδὴν τῶν καρπῶν. ἐξῄει τοιγαροῦν καὶ Ὑπατιανὸς ἐπίσκοπος ἤδη ὢν εἰς τὸν ἀγρὸν ἐπὶ τούτῳ. συγκομισάμενος δὲ τὸν

2 ἐπίσκοπος καὶ αὐτός, ἴσθι, οὐ πολλαῖς ἔσῃ κτλ. *P* || 3 ἤπερ *M* || 11 ἐμαὶ] ἐμὲ *M* || 17 εὑρίσεις *P* || 20 σιτόβρωτον *M* || 22 κατεσκέδασεν *libri* || 26 ἤδη *om. M*
15—16 πάντα — τῷ πιστεύοντι: Marc. 9, 23.

καρπὸν καὶ τῆς αὐχμῷ φθαρείσης ἀρούρας καὶ τῇ ἅλῳ δοὺς εὑρίσκει τοὺς χιλίους οὐδενὸς δέοντος. παραπλησίως εἶχε καὶ τῷ καιρῷ τοῦ τρυγήτου ὁ τὴν ἀκαρπίαν ἤδη καταγνωσθεὶς ἀμπελών· γόνιμος γὰρ καὶ αὐτὸς εὐχαῖς τοῦ μεγάλου γίνεται καὶ καρπὸν παρέσχεν οὔτι μεμπτόν, ἀλλ' ἱκανὸν καὶ πολύφορον. Ὑπατιανὸς col. 2 οὖν ὁ χρηστός, δεῖξαι βουλόμενος ὅτι πρὸς εὐγνώμονα | ψυχὴν ἡ εὐεργεσία, ἀμφοτέρων δὴ τῶν καρπῶν ἀπάρχεται τῷ μεγάλῳ· τοῦ τε γὰρ σίτου μοῖραν διελὼν οὐ φαύλην, ὡς δὲ καὶ τοῦ οἴνου, αὐτὸς ἐκεῖνος κομίζει ταῦτα πρὸς Λάμψακον τῷ ὁσίῳ· ὁ δὲ οὐ προσήκατο, «Θεῷ ταῦτα» εἰπών, «οὐχ ἡμῖν κομίζεσθαι δεῖ, ἐπεὶ καὶ παρ' ἐκείνου ἡ τῶν καρπῶν εὐλογία. τούτῳ τοιγαροῦν τὴν χάριν ὁμολογοῦντί σοι διαιρετέον ταῦτα τοῖς ἀδελφοῖς». οὕτως εἰπόντος Ὑπατιανὸς μὲν αὖθις εἰς Ἡράκλειαν ἐπανῄει κἀκεῖνα διελὼν ἐδίδου οἷς καὶ προστέτακτο. ἔληγε δὲ οὐδ' ὅλως τὰ τοῦ μεγάλου διεξιὼν καὶ ὅσα δὲ καὶ οἷα δι' ἐκείνου ποιήσειεν αὐτῷ ὁ Θεός.

24. Παρθένιος μέντοι ὁ πάντα χρηστός, ὁ πάντα θαυμασιώ- f. 54 τατος, οὕτω βιούς, || ὡς Θεῷ μὲν τὸν αὐτοῦ βίον καὶ λίαν ὀφθῆναι κεχαρισμένον, γενέσθαι δὲ τοῖς φιλαρέτοις εἰς μίμησιν (οὐκ οἶδα μὲν εἰ παντελῶς ὀλίγοις· τοῖς γὰρ ἄλλοις ἀπογινώσκω τὸν ζῆλον), εἶναι δὲ τῆς πρὸς τὰ καλὰ προαιρέσεως καὶ τὴν γνώμην πάντως ἐπαινετήν· οὕτω τοίνυν βιοὺς μεταβαίνει πρὸς ὃν ἐπόθει Θεόν, ἑβδόμην τοῦ Φεβρουαρίου μηνὸς ἄγοντος, ἑαυτῷ μὲν χαρᾶς αἰτίαν τὴν μετάβασιν δείξας, λύπης δὲ τοῖς αὐτοῦ στερουμένοις οὐδ' ὅσης ἄρα καὶ εἰπεῖν πρόξενον. ταύτην Ὑπατιανὸς τὴν μετάθεσιν ἐπεὶ ἤκουσεν, οὐδὲν ὅλως τῶν ἐν χερσὶν οὕτω σπουδαῖον ἦν, ὡς καὶ col. 2 μικρὸν αὐτὸν ἐπισχεῖν, ἀλλὰ πάντων ἀφέμενος εὐ|θὺς πλοῦ τε εἴχετο καὶ πνεύματι ἐπιφόρῳ χρώμενος ὀξὺς τὴν Λάμψακον εἶδεν, οὐδὲ τῶν ἄλλων ὅλως τῶν ἐν γειτόνων βλακεύειν προελομένων. καὶ ὁ Κυζίκου γὰρ αὐτίκα πρὸς ἐκείνῳ καὶ ὁ Μελιτουπόλεως, ὁ τοῦ Παρίου τε παρὼν ἦν ὁμοίως. πῶς γὰρ ἂν ἐκείνοις ἡ τελευτὴ παροπτέα, οὗ ἡ ζωὴ σφόδρα ἐπέραστος, ἐπὶ πλεῖστόν τε διαταθῆναι χρόνου εὐκτέα;

25. Τί τοίνυν τὸ μετὰ ταῦτα; τὸ ἱερὸν ἐκεῖνο καὶ παρθενικὸν ὄντως Παρθενίου σῶμα τῶν προσηκόντων ὕμνων τυχὸν ἐν τῷ εὐκτηρίῳ, ὃ δὴ καὶ αὐτὸς ᾠκοδόμησεν, ἐχόμενά που τοῦ πανσέπτου f. 54ᵛ ναοῦ κατατίθεται λίαν εὐλαβῶς τε καὶ || φιλοκάλως. οὔκουν Παρθένιος ἀφ' ἡμῶν ἀπέστη, ἀλλὰ καὶ ἔτι πάρεστι τοῖς αὐτὸν ἐπι-

8 μοίραν *libri* || 14 τέτακτο *P* || ibid. οὐδόλως *M* || 22 φευρουαρίου *M* || 29 πρὸ ἐκείνου *P* || 30 τελευτῇ *P* || 31 τε] δὲ *M* || 32 εὐκταία *libri* || 36 οὐκοῦν *M* || 37 πάρεστι] παρίστη *P*

βοωμένοις βοηθὸς ἑτοιμότατος, νόσους διώκων, δαίμονας ἀπελαύνων, πάθη ψυχῶν τε καὶ σωμάτων ἰώμενος, τοσούτων ὄντων τῶν μετὰ τέλος, ὡς αὐτῶν ἤδη τῶν προλαβόντων μαρτύριον αὐτὰ τελεῖν ἀψευδέστατον ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΚΑΙ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟ- *f. 121v* ΜΑΡΤΥΡΟΣ ΝΙΚΗΦΟΡΟΥ.

1. Οὐδὲν ἔοικεν ἀγάπης εἶναι μακαριώτερον, ὥσπερ οὖν καὶ μίσους οὐδὲν τῶν παρόντων ὀλεθριώτερον· τὴν μὲν γὰρ οὕτως ὁ Θεὸς οἰκειοῦται, ὡς τῇ ἑαυτοῦ τιμῆσαι προσηγορίᾳ καὶ ταύτῃ μάλιστα χαίρειν καλούμενος· τοῦ δὲ οὕτως ὁ πονηρὸς περιέχεται, ὡς τοῦτο εἶναι τῶν ἐκείνου τὸ γνωριμώτατόν τε καὶ ἰδιαίτατον, καὶ μισόκαλον | αὐτὸν καὶ ἀνθρωποκτόνον καὶ τὰ τοιαῦτα κατονομάζε- *col. 2* σθαι· τῆς δὲ τούτων ἑκατέρων ἐνεργείας πολλὰ μὲν καὶ ἄλλα καὶ νῦν καὶ πάλαι τὰ διηγήματα, ἥδιστόν τε ὁμοῦ καὶ καινότατον, ὡς καὶ ψυχὴν ἐκπλῆξαι καὶ χαρίσασθαι ἀκοῇ, τὸ νῦν ἡμῖν προτεθὲν ἄκουσμα, τὸ κατὰ τὸν ἱερόν φημι καὶ θεῖον Νικηφόρον τε καὶ Σαπρίκιον καὶ ὅπως ὁ μὲν ἱερωσύνης ἀξίωμα περικείμενος καὶ εἰς τυράννους ἀχθεὶς καὶ κινδύνους ὑποστὰς ὑπὲρ εὐσεβείας, ἐπεὶ τὸ πρὸς τὸν φίλον οὐ διελύσατο μῖσος, πάντων ἀθρόον ἐκείνων, καὶ τῆς ἱερωσύνης καὶ τῆς ὁμολογίας καὶ τῶν ὑπὲρ τοῦ καλοῦ κινδύνων καὶ || τῶν στεφάνων διέπεσε, Νικηφόρος δὲ ὁ θεῖος τὴν πρὸς *f. 122* αὐτὸν φιλίαν ἀνακαλούμενος καὶ μάλα ταύτην ἐπιζητῶν καὶ διαλλαγῆς οὐ τυγχάνων, ἀλλ' ἀπωθούμενος, τῶν τοῦ μαρτυρίου βραβείων παραδόξως ἐπιτυγχάνει, οὐχ ἧττον εὑρὼν τοῦ σπουδαζομένου τὸ ἀπροσδόκητον, καὶ μάρτυς ἀπονητὶ δι' ἀγάπης τῷ τῆς ἀγάπης Θεῷ προσάγεται· ἄνωθεν δὲ ἡμῖν ἀρκτέον τοῦ διηγήματος.

2. Σαπρίκιός τις ἦν, οὕτως ὑπ' αὐτῶν ἐκ βρέφους τῶν γονέων ὀνομασθείς, ἢ καὶ αὐτῆς οἰκείας καὶ καταλλήλου μᾶλλον τυχὼν τῆς κλήσεως καὶ τὴν μετὰ ταῦτα τῆς ψυχῆς ἀσθένειαν καὶ σαπρίαν

3 *μαρτύρων P*

Passio s. Nicephori. *M*[1] est codex Mosquensis bibl. Synod. 377 Vlad., *M*[2] codex eiusdem bibl. 389 Vlad. (182/CLXXXII). *E* codice *M*[1] textum exscripsit et cum *M*[2] contulit N. Novossadski. Titulus in *M*[1] rubro scriptus est.

18 *καὶ ante ὅπως om. M*[2] || 29 *κατ' ἀλλήλου M*[2]

col. 2 πόρρωθεν μηνύων ἐκ | τοῦ ὀνόματος. οὗτος οὖν ὁ Σαπρίκιος τοῖς ἱεροῖς τοῦ πρεσβυτερίου θρόνοις κατειλεγμένος καὶ βήματος οὕτω τοῦ μεγίστου ἠξιωμένος ἐτύγχανε καὶ πρὸς τὸν μακάριον Νικηφόρον γνησίως ὅσα γε εἰς φιλίας λόγον καὶ θερμότατα διακείμενος, ἱερατικοῖς ἐκείνου μὲν οὐκ ἀριθμουμένου συλλόγοις οὐδέ τινα τῶν περὶ τὸ βῆμα διακονίαν πεπιστευμένου, λαϊκῶν δὲ κατειλεγμένου συστήματι καὶ βίον θεοφιλῆ ζῶντος καὶ θείαις ἐντολαῖς ῥυθμιζόμενον. τοσαύτη τοίνυν ἀμφοῖν ἡ φιλία καὶ οὕτω τῆς πρὸς ἀλλήλους στοργῆς ἐξήρτηντο, ὡς δοκεῖν ἑκάτερον ἐν τῇ τοῦ ἑτέρου ψυχῇ ζῆν καὶ στόματι τῷ ἐκείνου φθέγγεσθαι καὶ ποσὶ τοῖς ἐκείνου κινεῖσθαι || f. 122v καὶ γνώμῃ τῇ τοῦ φίλου κεχρῆσθαι· καὶ ὅλως οὐδὲν ἦν τῶν θατέρῳ δοκούντων, ᾧ μὴ καὶ ἕτερος διετίθετο. οὕτως οὖν αὐτοὺς ἐπὶ πολὺ τοῦ πόθου συνάπτοντος καὶ τὴν εἰς ἀλλήλους θέρμην τῆς ψυχῆς συντηροῦντος καὶ ἄνθρωπον ἀμφοτέρους ἕνα δεικνύοντος, βάσκανον ὀφθαλμὸν αὐτοῖς ὁ φθόνος ἐπιβαλών, τὸ παλαιὸν τοῦ πονηροῦ καθ' ἡμῶν ὅπλον, ἡ καὶ κατὰ τοῦ πρῴην Ἀδὰμ ἰσχύσασα δύναμις καὶ χαλεπὸν αὐτὸν πτῶμα καταβαλοῦσα καὶ ζωῆς ὁμοῦ καὶ παραδείσου ἀλλοτριώσασα, οὕτως αὐτοὺς ἀπ' ἀλλήλων διέστησε καὶ πᾶσαν τὴν προτέραν ἐκείνην διέλυσε σύμπνοιαν καὶ τοσοῦτον col. 2 αὐτοῖς τὰς τῆς ψυχῆς ἤμειψε διαθέσεις καὶ εἰς | σφοδρὸν ἀμφοτέρους μῖσος ἐξέκαυσεν, ἐκ διαμέτρου τε τὴν ἀπέχθειαν πρὸς τὴν προλαβοῦσαν ἐξέμηνε φιλίαν, ὡς μηδὲ ὀφθαλμοῖς ἀλλήλων ἀνεκτὸν αὐτοὺς εἶναι θέαμα· ἀλλὰ καὶ ἀγορὰς ἐκκλίνειν αὐτοὺς καὶ περιπάτους, ὅπως μὴ ἀπευκτὸν ἀλλήλοις συνάντημα γένωνται· εἰ δέ που τὸν ἕτερον ἐν ταῖς πλατείαις ἑκάτερος καὶ μὴ βουλόμενος ἴδοι, καθάπερ τὰς ὄψεις καὶ μόνῃ τῇ ἐκείνου θέᾳ πληγεὶς οὕτω κάμψας εὐθὺς ἢ ἐκ μέσης τῆς ὁδοῦ ἀνέστρεφε, ἢ ἑτέραν ἐτρέπετο· ἐπεὶ καὶ πεφύκασί πως αἱ μεγάλαι φιλίαι πρὸς ἀπέχθειαν ἐκτραf. 123 πεῖσαι ἀνάλογον ἐκ τῆς ἐναντίας γνώμης || ἐπιδείκνυσθαι καὶ τὸ μῖσος.

3. Ὅπερ οὖν κἀκείνοις συμβέβηκεν· εἰ καὶ ὁ μακάριος Νικηφόρος, ἡ ἀγαθή φημι καὶ ἐπιεικὴς καὶ μετρία ψυχὴ καὶ πάντα τῷ φίλῳ ῥᾳδίως εἴκουσα, ταχὺ τοῦ πάθους ἀνενεγκὼν καὶ τὸν αἴτιον ὅστις εἴη μὴ ἀγνοήσας, τὸ τῆς ἀγάπης καλὸν θερμῶς αὖθις καὶ σπουδαίως ἀνεκαλεῖτο, οὐκ αὐτὸς τῷ φίλῳ προσελθὼν καὶ θαρρήσας τὴν συντυχίαν· οὐδὲ γὰρ εἶχεν ὄψιν ἐκείνην ὀφθαλμοῖς οἰκείοις ὁρᾶν, οὗ πεπληγμένην ᾔδει καθ' ἑαυτοῦ τὴν καρδίαν· ὃ δὴ

4 φιλίαν M² || 18 ἀπαλλήλων M² || 26 μόνη τη — θέα M² || 32 ἀγαθὴ φημὶ libri || 37 οὗ] οὐ M²

φιλίας ἐστὶ μᾶλλον ὑγιοῦς καὶ ψυχῆς ἐλευθέρας τεκμήριον, ἀλλ᾿ οὐ σκηνὴ καὶ ὑπόκρισις, ὅπερ ἄρτι τοὺς πολλοὺς ὁρῶ πά|σχοντας, *col. 2* ψυχῇ μὲν καὶ διαθέσει ἀποστόργως καὶ ἀηδῶς πρός τινας ἔχοντας, ῥήμασι δὲ καὶ σχήμασι καὶ ψυχροῖς καὶ ψευδομένοις δήγμασι μᾶλλον ἢ φιλήμασι καὶ τῷ ἀμειδεῖ τούτῳ καὶ πικρῷ μειδιάματι κλέπτοντας τὴν ὑπόνοιαν καὶ τὸ ψεῦδος ἐπισκιάζοντας, τούτους τε φιλίας ἐν τῷ φανερῷ παρέχοντας σύμβολα, οἷς ἀφανῶς πολλάκις παγίδας ἔκρυψαν ἐχόμενά τε τρίβου σκάνδαλα ἔθεντο· ἕνα τὸν θρῆνον ἐν τούτῳ καὶ Δαυὶδ ὁ μελῳδὸς ἐμοὶ συμπληρώσει, ὅ γε μόνου πλήθους ἔστιν ἐμῶν ἀνομιῶν, δι᾿ ἃς καὶ ψυγῆναι τὴν ἀγάπην τῶν πολλῶν τὸ ἀψευδὲς τοῦ κυρίου προηγόρευσε στόμα καὶ τοῦ νῦν καιροῦ καὶ τῆς || παρούσης εὐδοκιμήσεως. οὐκ αὐτὸς οὖν *f. 123ᵛ* πρὸς τὸν φίλον εὐθὺς χρῆται τῇ παρρησίᾳ, ἀλλὰ μεσίταις πρότερον καὶ διαλλακταῖς προσελθὼν καὶ πᾶσαν κατὰ τῆς ἑαυτοῦ κεφαλῆς τὴν τοῦ σκανδάλου περιτρέψας αἰτίαν καὶ αὐτὸς ἑαυτὸν ὑπεύθυνον καταστήσας καὶ τοιαῦτα περὶ αὐτοῦ καὶ πρὸς τὸν φίλον εἰπεῖν ἀναπείσας καὶ συγγνώμην αἰτήσασθαι παρ᾿ αὐτοῦ ἀξιώσας. οὗ δὴ γεγονότος καὶ Σαπρικίῳ διαπρεσβευσαμένων αὐτῶν, ὅσα τε ψυχὴν ἀνεστηκυῖαν ὑπ᾿ ὀργῆς καὶ φλεγμαίνουσαν ὑπολεᾶναι καὶ καταστεῖλαι δύναται διαλεχθέντων καὶ πάντα πεποιηκότων, οἷς ἂν καὶ λίθου φύσις ἐπικλασθείη, ἐκεῖνος μήτε παλαιᾶς ἀ|πομνημονεύσας *col. 2* τῷ χρηστῷ Νικηφόρῳ φιλίας, μήτε πρὸς τὴν ἐκείνῳ πρεσβείαν παθών, ἢ καὶ δεήσεις οὕτω πιθανὰς καὶ δικαίας δυσωπηθείς, μήτε τὴν ἐντολήν, ὃ καὶ δακρύειν ἔπεισί μοι, μᾶλλον εὐλαβηθείς, καὶ ταῦτα ἱερεὺς ὤν, οἴμοι, καὶ λειτουργὸς καὶ θύτης καὶ μαθητὴς τοῦ εἰρηνικοῦ τε καὶ πράου καὶ ἀγαθοῦ καὶ σφάγιον ὑπὲρ τῆς ἡμετέρας καταλλαγῆς ἑαυτὸν προσενέγκαντος, τοιαῦτά τε παρ᾿ αὐτοῦ διὰ τῆς τοῦ προφήτου γλώττης κεκελευσμένος «᾿Αναβόησον ἐν ἰσχύι καὶ μὴ φείσῃ· ὡς σάλπιγγα ὕψωσον τὴν φωνήν σου καὶ ἀνάγγειλον τῷ λαῷ μου τὰ ἁμαρτήματα αὐτῶν». καὶ διὰ τοῦτο τὰς ἱερὰς || ὑπανα- *f. 124* γινώσκων ἑκάστοτε τῷ λαῷ βίβλους καὶ νῦν μὲν τῷ μακαρίῳ Παύλῳ ἢ καὶ Σολομῶντι πρὸ αὐτοῦ συμφθεγγόμενος· «᾿Εὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν· ἐὰν διψᾷ, πότιζε αὐτόν»· καὶ πάλιν ἑτέρωθι «Μὴ νικῶ ὑπὸ τοῦ κακοῦ, μηδὲ ἐπιδυέτω» φησὶν «ὁ ἥλιος

9 *συμπληρώσηι M¹, συμπληρώση M²* || 11 *Παύλου M¹, κῦ᾿ M²* || 18 *ὅσα τὲ* **libri** || 22 *χριστῶι M²* || 23 *πειθανὰς M²* || 27 *τοιαῦτα τὲ* **libri** || 30 *διατοῦτο M¹* || 32 *πρὸς αὐτοῦ M²* || ibid. *πινᾶ M²* || 33 *ἐὰν διψᾷ, πότιζε αὐτὸν* **om.** *M¹* || 34 *μὴ δὲ M²*

8 *ἐχόμενα — ἔθεντο:* Psalm. 139 (140), 5 || 10 *ψυγῆναι κτλ.* **sunt verba Christi ap.** *Matth.* 24, 12 || 28—31 *᾿Αναβόησον κτλ.* Es. 58, 1 || 32—33 *ἐὰν πεινᾷ — πότιζε αὐτόν:* Rom. 12, 20 || 34 *Μὴ νικῶ κτλ.* Rom. 12, 21 et Eph. 4,26.

ἐπὶ τῷ παροργισμῷ ὑμῶν»· νῦν δὲ τὰ τοῦ ἐμοῦ Χριστοῦ ῥήματα περιφέρων καὶ συμπαραινῶν ἐκείνῳ καὶ συννομοθετῶν· «Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν καὶ καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς». εἶθ' ὅπερ ἐκεῖνος τοῖς ἀποστόλοις, τοῦτο καὶ αὐτὸς ἡμῖν ἆθλον ἐπαγγελλόμενος· «Ὅπως γένησθε ὅμοιοι τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς [col. 2] *οὐρανοῖς»· καὶ «Ἐὰν ἀφῆτε τοῖς ἐχθροῖς ὑμῶν, ἀφε|θήσεται ὑμῖν»· καὶ «Ἐὰν προσφέρῃς τὸ δῶρόν σου» φησὶν «ἔμπροσθεν τοῦ θυσιαστηρίου κἀκεῖ μνησθῇς, ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ὕπαγε πρῶτον, διαλλάγηθι τῷ ἀδελφῷ σου»· καὶ πάλιν· «Ἄφετε τοῖς ὀφειλέταις ὑμῶν, ὅπως καὶ ὁ πατὴρ ὑμῶν ἀφήσῃ ὑμῖν τὰ παραπτώματα ὑμῶν» καὶ «Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς». ταῦτα συνεχῶς ἐκεῖνος τοῦ λαοῦ κατεπᾴδων πρῶτος αὐτὸς παραβαίνων ἐδείκνυτο καὶ ἃ γλώττῃ καὶ χείλεσιν ὑφηγεῖτο, τούτοις ταῖς ἀληθείαις καὶ τοῖς πράγμασιν ἀντεφθέγγετο καὶ τὰς τοῦ φίλου πρεσβείας ἀπράκτους κομιδῇ καὶ* [f. 124v] *κενὰς ἀπεπέμπετο, καίτοι γε μηδὲ αὐτοῦ || τάχα σφαλέντος μηδ' αἰτίου τινὸς διαστάσεως γενομένου, ἀλλὰ Σαπρικίου καὶ πᾶσαν τὴν τοῦ σκανδάλου πρόφασιν παρασχόντος καὶ εἰκῇ πρὸς τὸν φίλον ὀργιζομένου καὶ οὐδὲ κἄν, εἰ μή τι ἄλλο, τὰ ἑξῆς δεδιότος· «Ἐὰν γὰρ ἀγαπήσητε» φησὶν «τοὺς ἀγαπῶντας ὑμᾶς, τίνα μισθὸν ἔχετε; οὐχὶ καὶ οἱ τελῶναι τοῦτο ποιοῦσι; καὶ ἐὰν ἀσπάζησθε τοὺς ἀσπαζομένους ὑμᾶς, τί περισσὸν ποιεῖτε; οὐχὶ καὶ οἱ ἐθνικοὶ τοῦτο ποιοῦσι»; τοσοῦτον ἔδει Σαπρικίῳ τοῦ τὴν ἐντολὴν ἔργῳ πληροῦν, μᾶλλον δέ, ὃ μοι καὶ πάθους πληροῖ τὴν ψυχὴν καὶ μεστὴν ἰλίγγου καὶ φρίκης ἐργάζεται, τοσούτῳ καὶ τελωνῶν καὶ τῶν ἐθνικῶν ὁ μύστης καὶ* [col. 2] *μυσταγω|γὸς καὶ τῶν μεγάλων καὶ φρικτῶν μυστηρίων διάκονος ἀπολέλειπτο, ὅσῳ καὶ τοὺς ἀγαπῶντας αὐτὸν ἐμίσει καὶ οὐδὲ τῷ Δαυὶδ ἐπείθετο λέγοντι· «Μετὰ τῶν μισούντων εἰρήνην ἤμην εἰρηνικός», ἀλλ' ὥσπερ ἐκ διαμέτρου πρὸς τὰς ἐντολὰς ἔχων καὶ τὰ δεσποτικὰ παραγγέλματα μετὰ τῶν φιλούντων μᾶλλον εἰρήνην στασιώδης αὐτὸς ἦν καὶ ὀργίλος καὶ μαχιμώτατος, δέον, εἰ καί τι προσκόπτοντα τὸν φίλον ἑώρα, ὁμαλῶς τε' καὶ ἠπίως ἀναλαμ-*

5 *ὅπως] ὅπερ libri* || 8 *μνησθεὶς libri* || ibid. *ἔχει τὶ* M^2 || 13 *καταπάδων* M^2 || 16 *μὴ δὲ* M^1 || 18—24 *καὶ εἰκῇ — τὴν ψυχὴν* **pleraeque litterae in** M^1 **novo atramento inductae sunt** || 26 *φικτ(ῶν)* M^1 || 26—27 *μεγάλων — ὅσωι καὶ* **nonnullae litterae in** M^1 **novo atramento inductae** || 32 *ἠπίως* M^1

2—3 *Ἀγαπᾶτε — ὑμᾶς:* cf. Luc. 6, 27; Matth. 5, 44 || 5 *ὅπως γένησθε κτλ.* cf. Matth. 5, 45 || 6 *Ἐὰν ἀφῆτε κτλ.* cf. Matth. 6, 14 || 7—9 *Ἐὰν προσφέρῃς κτλ.* cf. Matth. 5, 23—24 || 9—11 *Ἄφετε κτλ.* cf. Matth. 6, 14; Marc. 11, 25 || 11 *Ἀγαπᾶτε κτλ.* cf. Matth. 5, 44; Luc. 6, 28 || 19—23 *Ἐὰν — ποιοῦσι:* cf. Matth. et Luc. ll. ll. || 28 *Μετὰ — εἰρηνικός:* Psalm. 119 (120), 7.

βάνειν καὶ φθάνειν ἀεὶ τῇ θεραπείᾳ τοῦ σκανδάλου τὴν πρόφασιν, ὡς μηδὲ τὸν ἥλιον αὐτῷ ἐπιδύντα τὴν ψυχὴν τῷ ἀφεγγεῖ τοῦ μίσους νέφει καταλιπεῖν, || ἀλλ' ὧν εἶδε διαφοράν, τούτοις καὶ διαλ- f. 125 *λαγῆς γενέσθαι πρὸ τῆς καταδύσεως μάρτυρα· πρὸς ὃν ἄν τις κατὰ καιρὸν τοῖς τοῦ προφήτου ῥήμασι χρήσαιτο· «Οἱ αἰρόμενοι ἐκ κοιλίας καὶ παιδευόμενοι ἕως γήρους», τουτέστιν οἱ ἐκ νέου τὰ θεῖα παιδευόμενοι καὶ μὴ συνιέντες.*

4. *Τί γοῦν ὁ καλὸς τῷ ὄντι καὶ ποθεινὸς Νικηφόρος, ὁ πράγμασι μᾶλλον ἢ ῥήμασι τὴν κλῆσιν οἰκειωσάμενος καὶ ὅπερ ἐκλήθη γεγονώς, ἢ μηδὲ ἀξίως κληθεὶς ὃ γέγονεν, ἀλλὰ καὶ αὐτοῦ μείζων ὀφθεὶς παρὰ πολὺ τοῦ ὀνόματος; οὐκ ἀπηγόρευσε τὴν καταλλαγήν, οὐκ ὠλιγώρησε τῆς φιλίας, οὐκ ἔπαθε τὸ τῶν πολλῶν οὐδὲ φύσεως ἐφῆκεν ὁρμαῖς, μισεῖν | ἀεὶ τὸ μισοῦν καὶ πολέμιον ἡγεῖσθαι τὸ* col. 2 *ἐχθραῖνον βιαζομένης· ἡ γὰρ τῶν ἐντολῶν τοῦ Θεοῦ τήρησις πολλῷ καὶ φυσικῆς ἀνάγκης ἦν ἰσχυροτέρα· οὐδὲ τὸ ἑαυτοῦ γοῦν ποιῆσαι νενόμικεν, ἀλλ' εἰ μὴ καὶ τὴν τοῦ φίλου ψυχὴν θεραπεύσειεν, ὡς ἐπὶ τῆς αὐτῆς πάλιν αὐτὸν ἰδεῖν συμπνοίας καὶ ὁμονοίας, καὶ τὴν ἑαυτοῦ προέσθαι προῄρητο· διὸ καὶ δευτέρους πρὸς ἱκετείαν προβάλλεται καὶ τρίτων οὐκ ἀμελεῖ, καλῶς εἰδώς, ὅτι κἀκείνοις ὡς τῆς εἰρήνης καὶ τοῦ καλοῦ μεσίταις ὁ τοῖς τοιούτοις ἐπηγγελμένος μισθὸς ἀποκείσεται, καὶ τὸν φίλον αὐτὸς οὐ ζημιωθήσεται, ὃ καὶ φωτὸς ἂν αὐτοῦ καὶ ζωῆς ἡδέως ἠλλάξατο. οἱ δὲ καὶ διαπρεσβεύεσθαι περὶ διαλλα||γῆς Σαπρικίῳ καὶ νουθετεῖν καὶ ἱκετεύειν δο-* f. 125v *κοῦντες παρὰ κωφὸν ᾄδειν ἐδόκουν· ἦν γὰρ ἔτι μηνίων τῷ φίλῳ καὶ λίαν ἀπεχθανόμενος.*

5. *Πάσης οὖν ἑτέρας ὁ καλὸς τὰ πάντα Νικηφόρος ἀπογνοὺς ἐπινοίας καὶ τοῖς ὅλοις ἀπορηθεὶς ἔγνω κατὰ μόνας αὐτὸς ὀφθῆναι τῷ φίλῳ καὶ ἀμφότερα ἑαυτῷ, ἱκέτῃ τε ἅμα καὶ πρέσβει χρήσασθαι, ἐκεῖνα λογισάμενος, ἅπερ ἂν ἐννοήσειέ τις ἀγαθὴ ψυχὴ καὶ φιλάνθρωπος, ὡς ἄρα τῆς ὄψεως αὐτὸν εἰς μνήμην τῆς φιλίας ἀγούσης καὶ ὥσπερ τινὰ τύπον αὐτοῦ τῇ διανοίᾳ καὶ φαντασίαν τῆς προτέρας συνηθείας ὑπογραφούσης, οἶκτον ἐκεῖνος τοῦ φίλου λαβὼν καὶ ὅσα τῆς παλαιᾶς | ἐκείνης αἰδεσθεὶς συναυλίας, εὐθέως* col. 2 *αὐτῷ καταλύσει τὴν ἔχθραν καὶ οὕτως αὐτοῖς ἡδίων ἐκ διαφορᾶς καὶ ποθεινοτέρα πάλιν ἡ φιλία γενήσεται, ἐπεὶ καὶ ἥλιος μετὰ νύκτα*

2 et 10 *μὴ δὲ* M[1] || 6 *τοῦτ' ἔστιν* M[2] || 8 *γ' οὖν* M[1] || 13—15 *ἀεὶ — πολλῷ καὶ* *litterae novo atramento inductae in* M[1] || 21 *ἀποκήσεται* M[2] || 22 *καὶ* *ante* *ζωῆς* *om.* M[2] || 23 *περὶ ἀλλαγῆς* M[2] || 24 *μηνιῶν* M[1] || 27 *καταμόνας* M[1] || 29 *ἐννοήσειε τὶς* M[1] || 31 *ὥσπέρ τινα* M[1]

5 *οἱ αἰρόμενοι κτλ.* cf. Es. 46, 3.

γλυκύτερος καὶ μετὰ χειμῶνα ἔαρ ἐρασμιώτερον. καιρὸν τοιγαροῦν
ἁρμόζοντα τῷ σκοπῷ φυλάξας ποδί τε ἡσύχῳ καὶ ταπεινῷ καὶ
οἷον ἔλεον ἕλκοντι πρὸς αὐτὸν παραγεγονὼς πίπτει πρὸς τοῖς ἐκεί-
νου ποσί, τὸ συμπαθὲς αἰτῶν ἐκ τῆς ταπεινώσεως, «Εἴ τι καὶ λελύ-
πηκα» λέγων, «εἴ τί σοι καὶ προσέκοψα, δὸς ἤδη συγγνώμην τῷ
φίλῳ, δὸς ἄφεσιν ἁμαρτόντι». ἔτι δὲ καὶ τὰ τοῦ Ἰὼβ ἐν συνοχῇ
f. 126 καρδίας ἀποδυρόμενος, «Ἵνα || τί γάρ ἀπείπατό με ἔλεος, ἐβδελύξατο
δέ με ἡ στολή μου· τί τοῦτο»; τὸν ἐγγυτάτω δηλῶν· ἀλλ᾽ οὐδὲ
οὕτως ἔπαθέ τι πρὸς ταῦτα ἡ ἀμείλικτος ἐκείνη Σαπρικίου ψυχή,
ἀλλὰ διωσάμενος εὐθὺς ἀντιπαρῆλθε, μήτε λόγου, μήτε προσρή-
σεως, ἀλλὰ μηδὲ ψιλοῦ τινος τῷ φίλῳ μεταδοὺς βλέμματος.

6. Ἐν ὅσῳ δὲ τὰ πρὸς ἀλλήλους τοῦτον εἶχε τὸν τρόπον, καὶ
Σαπρικίῳ μὲν οὕτως ἤκμαζε τὰ τῆς ἔχθρας καὶ τὸ μῖσος ἄγριον
ἦν, μηδεμίαν ὅλως θεραπείαν λαμβάνον, Νικηφόρος δὲ ὁ καλὸς
πάντα λίθον ἐκίνει τὴν φιλίαν ἀνακαλούμενος καὶ μάλα περικαῶς
col. 2 αὐτῆς ἐπιθυμῶν καὶ γλιχόμενος, ὁ πρὸς ὀλίγον ἠρεμήσας | κατὰ
χριστιανῶν διωγμὸς σφοδρότερον αὖθις ἀνερριπίζετο, Ἰουλιανοῦ
καὶ Γάλλου τὴν Ῥωμαίων βασιλείαν ἐγχειρισθέντων καὶ γράμμασιν
εὐθὺς καὶ δόγμασι καὶ θεσπίσμασι τὴν ὑπ᾽ αὐτοὺς πᾶσαν περιλα-
βόντων καὶ φόβοις ἰσχυροῖς συγκλονούντων, ὡς ἢ τῆς αὐτῆς ἐκεί-
νοις πάντας κοινωνεῖν δυσσεβείας, ἢ χαλεπῶς πρότερον καὶ ποικί-
λως τιμωρουμένους εἶτα καὶ θανάτῳ δίδοσθαι πικροτάτῳ.

7. Τοῦ τοιούτου τοίνυν προστάγματος καὶ τὴν πόλιν καταλα-
βόντος,· ἐν ᾗ κατῴκουν ἄμφω, Νικηφόρος τε καὶ Σαπρίκιος, ὁ μὲν
διὰ τὸ τῆς ἱερωσύνης ἀξίωμα ἐπισημότερος ὤν, ὁ Σαπρίκιος, ἐπεὶ
f. 126v καὶ φιλεῖ μᾶλλον ἐκ τῶν ἐπιφανεστέρων || ἄρχεσθαι τὰ τοιαῦτα
(ὁποτέρωσε γὰρ ἂν οὗτοι νεύσειαν, ἐκεῖ καὶ τὸ λοιπὸν ἕπεται ⟨τὸ⟩
πλῆθος), χειρωθεὶς δίκας ὑπὲρ τῆς εὐσεβείας ὑπὸ τοῦ ἡγεμόνος
ἐπράττετο καὶ πρῶτον μὲν ὄνομα καὶ σέβας καὶ τάξιν εἰπεῖν ἐκε-
λεύετο· ὡς δὲ Σαπρίκιος μὲν ἔφη τὴν κλῆσιν, χριστιανὸς δὲ τὸ
σέβας, πρεσβύτερος δὲ τὸ ἀξίωμα, ἐκφοβεῖν αὐτὸν εὐθέως ὁ ἡγε-
μὼν τοῖς τοῦ βασιλέως γράμμασι καὶ ταῖς ἐγκειμέναις αὐτοῖς ἀπει-
λαῖς ἀγεννῶς ἐπειρᾶτο· καὶ ὃς «Ἀλλ᾽ ἡμεῖς, ὦ ἡγεμών», ἔφη
«διδασκαλίαις ἑπόμενοι θείαις, πολὺ πάντοθεν ἐχούσαις τὸ ἀξιό-
πιστον, ἕνα Θεὸν προσκυνοῦμεν, τρισὶ μὲν ἰδιότησι γνωριζόμενον,
col. 2 μιᾷ δὲ θεολογούμενον τῇ οὐσίᾳ, | μόνον αὐτὸν ποιητὴν ὁρατῶν τε

3 προ^δ M¹ || 5 εἴ τι σοι M¹ || 6 συνωχῇ M² || 8 δὲ *om.* M² || 11 μὴ δὲ M¹ || ibid. τινὸς M¹ || 14 μὴ δὲ μίαν M¹ || 17—18 *pro* Ἰουλιανοῦ καὶ Γάλλου M² *habet* οὐαλλεριανοῦ καὶ γαλλεριανοῦ *recentiore atramento correcta* || 19 δόγμασιν M¹ || 26—28 ἄρχεσθαι — δίκας *litteras prorsus fere evanuisse adnotat N.*

6 τὰ τοῦ Ἰώβ: cf. Iob VI, 14 et IX, 31.

πάντων καὶ νοουμένων εἰδότες, τὸν θέμενον μέτρα γῆς καὶ φράξαντα τὰς θαλασσῶν πύλας, ἐν δὲ ἴχνεσιν ἀβύσσου περιπατήσαντα, τὰ δὲ τῆς ὑμετέρας πλάνης καὶ τῶν ἐξ αὐτῆς ὑμῖν ἀναπεπλασμένων θεῶν αὐτόθεν τὸ καταγέλαστον ἔχουσιν, ἔργα τέχνης ἀνθρωπίνης ὄντα καὶ πηλίνων χειρῶν πλάσματα». πρὸς ταῦτα ὁ δεινὸς ἐκεῖνος διώκτης, ἀπογνοὺς πάσης πειθοῦς, ἐχώρει πρὸς τιμωρίας καὶ πρῶτα μὲν ἐμβάλλει κοχλίᾳ τινὶ χαλεπῷ τὸν Σαπρίκιον· οὗτος δὲ μηχανήμασι καὶ τέχναις περιελκόμενος καὶ στρεφόμενος ἐδόκει μὲν πᾶσιν ὑπολῦσαι τὸν τόνον αὐτῷ || f. 127 τῆς ἐντάσεως, ἢ γοῦν ἀλλὰ πᾶν αὐτῷ δαπανῆσαι τὸ σῶμα καὶ ἀναλῶσαι καὶ τέλος βιαιότατά τε ὁμοῦ καὶ πικρότατα τῆς παρούσης αὐτὸν ἀποστερῆσαι ζωῆς· ἐπεὶ δὲ καὶ πρὸς τὸ σφοδρὸν ἐκεῖνο τῆς βασάνου διεκαρτέρει καὶ οὐδὲν ὅλως ὑφίστατο τῆς ὁμολογίας, καλῶς ἐνταῦθα Χριστῷ διὰ τοῦ εὐαγγελίου πειθόμενος, ὅς «Μὴ φοβεῖσθε» φησὶν «ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν ἀποκτεῖναι μὴ δυναμένων», πᾶσαν ἐλπίδα μεταβολῆς ὁ διώκτης ἀπαγορεύσας τοιαύτην κατ' αὐτοῦ δίδωσι τὴν ψῆφον, ἣ ψυχαῖς ἣν τότε ποθούσαις Χριστὸν μάλα χαριεστάτη· «Σαπρίκιον» φησὶ «τὸν τῶν χριστιανῶν ἱερέα, | col. 2 τῆς ματαίας ἐκείνης ἀποστῆναι μὴ βουληθέντα λατρείας, ἀλλὰ καὶ βασιλικῶν παρήκοον γεγονότα διαταγμάτων καὶ θεοῖς θῦσαι τοῖς ἀθανάτοις οὐκ ἀνασχόμενον, τῷ διὰ ξίφους θανάτῳ παραδιδοῦμεν».

8. Ὁ μὲν οὖν ἤγετο τὴν ἐπὶ θανάτου, Νικηφόρος δὲ ταῦτα μὴ ἀγνοήσας, ἡ μεγάλη διὰ Χριστὸν ψυχὴ καὶ ὄντως φιλόσοφος, ἔμελε γὰρ αὐτῷ καὶ τοῦ φίλου σφόδρα καὶ τῆς πρὸς ἐκεῖνον διαλλαγῆς, τοῦ μὲν ὅπως εὐδοκιμήσοι παρὰ Χριστῷ, καλῶς τὸν ὑπὲρ εὐσεβείας ἀγῶνα διατελέσας, τῆς δὲ ὅπως δεσποτικὸν πληρώσειε πρόσταγμα, προτιμοτέραν καὶ αὐτῆς τὴν τοῦ ἀδελφοῦ καταλλαγὴν τῆς ἐκείνῳ προσφερομένης θυσίας ποιούμενος. || f. 127v γνοὺς οὖν αὐτὸν τὴν ἐσχάτην ἀνύοντα τρίβον καὶ νῦν αὐτοῦ μάλιστα καιρὸν ἔσεσθαι νομίσας τοῦ ποθουμένου πράγματος τῆς διαλλαγῆς, ἡνίκα τὸν περὶ ψυχῆς ἀγῶνα τρέχοι καὶ καταθύειν ἑαυτὸν ὁ φίλος ἐπείγοιτο, χαίρειν ἁπάσαις εἰπὼν βιωτικαῖς προσπαθείαις καὶ πρὸς μόνα τὰ ἐκεῖθεν ὁρῶν καὶ τῷ ἀγωνοθέτῃ ὅσον οὐδέπω παραστησόμενος, ἅπτεται τῶν ἐκείνου ποδῶν ἀθρόον ἐπιφανεὶς καὶ θερμότατα δεῖται καὶ ἱκετεύει μὴ τὸν φίλον καταλιπεῖν ἀσυγχώρητον· «Μή, πρὸς τῆς πολλῆς ἐκείνης φιλίας» φησίν, «ἣν μηδὲ θανάτῳ διαιρε-

2 ἀβύσσους M^2 (*σ littera alia manu alioque atramento addita*) || 5 πηλίνων: πήλινα? || 9 ὑπολύσαι M^1 || ibid. γ'οὖν M^1 || 13 ὑφίστο M^1 || *vv. 16—18 litteras evanidas esse adnotat N.* || 24 πρ^{ὸ} M^1 || 27 προτιμωτέραν M^1 || 36 φησιν M^1, φ ή(σι) M^2 || ibid. μὴ δὲ *libri*

14—15 Μὴ φοβεῖσθε — δυναμένων: Matth. 10, 28.

θῆναι, ἀλλὰ κοινὸν καὶ αὐτὸν ἐλέσθαι ποτὲ προῃρήμεθα, μὴ col. 2 *οὕτως ἔχον|τες ἀκαταλλάκτως διαζευχθείημεν· μή, πρὸς τῆς σεπτῆς τριάδος, τῆς κοινῆς ἡμῖν καὶ ἣν ἄμφω πρεσβεύομεν· μή, πρὸς τῶν σωτηρίων τοῦ Χριστοῦ παθῶν, τῶν ἡμετέρας ἕνεκα διαλλαγῆς, καὶ τοῦ ὑπὲρ ἡμῶν σταυροῦ καὶ τοῦ αἵματος, οὗ σὺ καθάπερ θύτης καὶ λειτουργός, οὕτω καὶ μιμητὴς ἄρτι καὶ κοινωνὸς τῆς νεκρώσεως· μή, πρὸς τῶν σῶν ἄθλων καὶ πόνων, οὓς δι' αὐτὸν ὑπέστης καὶ ᾧ διὰ τοῦ μαρτυρίου μέλλεις προσάγεσθαι, μὴ οὕτω πρὸς αὐτὸν ἀπέλθῃς ἄσπονδος, ἄσπλαγχνος τό γε πρὸς ἐμὲ τὸν φίλον καὶ ἀδιάλλακτος· ἀλλὰ δὸς ἤδη τῷ κακῷ λύσιν, δὸς συγγνώμην τῷ ἁμαρτήματι».*

f. 128 9. *Ταῦτα ὁ μὲν||τῶν ποδῶν εἴχετο λέγων καὶ θερμὰ τούτων δάκρυα καταχέων καὶ φωνῇ πάσῃ καὶ δεήσει τὸν φίλον ἀνακαλούμενος· ὁ δέ, ὢ ψυχῆς ἀφιλανθρώπου καὶ ἀνημέρου, καθάπερ φυσικῆς αὐτῷ γενομένης τῆς ἀγριότητος καὶ θηρίοις παραπλησίως ἐχούσης, οὐδ' ἐρριμμένῳ πρὸς τοῖς ποσὶν ἐπεστράφη τῷ φίλῳ, οὐδὲ πάθει τοσούτῳ καὶ ὀδυρμοῖς ἐπεκλάσθη καὶ φιλανθρώπου τινὸς ἐκοινώνησε ῥήματος, ἀλλὰ κηρῷ μνησικακίας τὰ ὦτα φραξάμενος συντονώτερον ἔτι μᾶλλον εἴχετο τῆς πορείας, τὰς συμπαθεῖς ἄγαν τοῦ φίλου δεήσεις καὶ ἀνακλήσεις καὶ ὅσα μηδὲ τὰς ἐν τῷ μύθῳ* col. 2 *σειρῆνας ἐπάγεσθαι ψυχὴν|δυναμένας ἀντιπαρελθεῖν ἐπειγόμενος· ἦν δὲ ἄρα σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτοῦ, τὸ τοῦ θείου φάναι καιρὸς 'Ησαΐου, καὶ ὁδὸν εἰρήνης οὐκ ᾔδει· ὃ καὶ πενθεῖν μᾶλλον ἐποίει τῷ Νικηφόρῳ, μανίᾳ καὶ θυμῷ καθάπαξ νενικημένον δρῶντι Σαπρίκιον καὶ μεθύοντα ἄνευ οἴνου, ὥς που πάλιν 'Ησαΐας ἀξίως ὀδύρεται, καὶ τὸ μὲν ὑπὲρ τοῦ φίλου, τὸ δὲ καὶ ὑπὲρ αὐτοῦ δεδιότι, μὴ ὁ μὲν εἰς τέλος ἀδιαλλάκτως ἔχων τῷ μαρτυρίῳ τελειωθείη, αὐτὸς δὲ ἀσύγγνωστος ὑπ' ἐκείνου καταλειφθείη, εἶτα Σαπρικίῳ μὲν οὐ καθαρῶν ἀπολαῦσαι τῶν στεφάνων καὶ τῆς λαμπρότητος γένοιτο, αὐτῷ δὲ μετὰ τῶν χαλεπῶν* f. 128ᵛ *τούτων τῆς||ἔχθρας δεσμῶν ἐπὶ τοῦ φοβεροῦ βήματος τῷ Χριστῷ παραστῆναι· διὸ καὶ τὴν ἐπιτομωτέραν τραπόμενος καὶ κατατείνας ἑαυτὸν ᾗ ποδῶν εἶχε πρὸς τὴν πορείαν, ἢ μηδὲ ποδῶν εὐπορήσας μᾶλλον ἀρκούντων τῇ τῆς ψυχῆς εὐτονίᾳ, προϋπαντᾷ πάλιν ἀνὰ τὴν πόλιν αὐτῷ, τὰς αὐτὰς ἢ καὶ περιπαθεστέρας ἱκετηρίας οὐ γλώττῃ καὶ χείλεσιν, ἀλλὰ γυμνῇ καθάπερ τῇ ψυχῇ ποιούμενος καὶ μέλεσι πᾶσι καὶ σχήμασι καὶ πλουσίᾳ δακρύων ἐπιρροῇ τὸν ἔλεον*

1 *ἐλέσθαί ποτε* M² || 16 *ἐρριμένῳ* M² || 20 *et* 33 *μὴ δὲ* M² || 23 *ἠσαΐου et* 26 *ἠσαΐας* M¹ || 28 *ὑπεκείνου* M² || 29 *ἀπολαύσαι* M² || 36 *γυμνὴ* M¹

23 *'Ησαΐου*: 59, 7—8 || 25 *μεθύοντα ἄνευ οἴνου*: cf. Es. 28, 1.

ἐκκαλούμενος· ὁ δὲ κωφὸς ἦν ἔτι πρὸς ταῦτα, νεκρός, λίθῳ παντάπασιν ἐοικώς, μήτε φωνῶν ἐκείνων ἀκούων τοῦ φίλου, μήτε τῷ ταπεινῷ τῆς θέας ἐπικαμπτόμενος, | ὡς καὶ τοὺς ἀπάγοντας αὐτὸν col. 2 δημίους τὴν πολλὴν ἐκείνην ὁρῶντας τοῦ Νικηφόρου μετριοπάθειαν καὶ τὸ περὶ τὴν διαλλαγὴν ἐπιμελὲς καὶ ἐπίπονον μυκτηρίζειν πρὸς ἑαυτοὺς τὸν ἄνδρα καὶ μωρὸν ἀποκαλεῖν καὶ εἰς οὐδὲν δέον τηλικούτους ἀνύοντα πόνους, εἶτα καὶ πρὸς αὐτὸν ἐπιστραφέντας τὸ μέν τι τῆς ἀκαιρίας ἐπιτιμᾶν, τὸ δέ τι καὶ ἀνακτᾶσθαι, ἀλόγοις οἷάπερ ἑαυτὸν λύπαις ἐκδεδωκότα· καὶ. «Τί» φασίν, «ὦ οὗτος, οὐ παύῃ κοπτόμενος καὶ ἀλγῶν καὶ σεαυτὸν ἀθλίως ἀνακλαιόμενος; κατάδικος ἄγεται Σαπρίκιος παρ' ἡμῶν, τῇ διὰ ξίφους ὑπόκειται ψήφῳ, ἐπὶ θύραις ἐστὶ τῆς σφαγῆς, καὶ πα||ρ' αὐτοῦ συγγνώμην f. 129 αἰτεῖς, ἀνθρώπου πολλῷ μᾶλλον ἐλέους τοῦ παρ' ἑτέρων αὐτοῦ δεομένου»;

10. Ταῦτα ἐκεῖνοι ἔλεγον οὐκ εἰδότες, πρὸς τί Νικηφόρῳ αἱ τοσαῦται δεήσεις καὶ ἡ πρὸς τὸ τυχεῖν τῆς καταλλαγῆς φιλόνεικος ἐπιμονή· παρ' ὃ καὶ κατόπιν ἠκολούθει τῶν δημίων ἐλεεινὸς καὶ δεδακρυμένος, θερμοτέρας ἔτι δεήσεις προτείνων καὶ πάντα ποιῶν, ὥστε τὴν λιθίνην ψυχὴν ἐκείνην πρός τινα διαλλαγὴν ἐπισπάσασθαι· καὶ οὕτως ὁ μὲν περιπαθῶς ἔχων καὶ πολλῷ τῷ συντριμμῷ τῆς καρδίας δεόμενος, ὁ δὲ δυσμενῶς καὶ ὀργίλως καὶ τῷ θυμῷ καθάπερ ἐξεστηκὼς τὸν τῆς τελειώσεως κατέλαβε τόπον· ἐπεὶ δὲ | ἤδη χεῖρες δημίων τὸ ξίφος ἐπανετείνοντο καὶ ὑποσχεῖν ὅσον οὐδέπω col. 2 ἔμελλε τὸν αὐχένα Σαπρίκιος, ἐν χεροῖν τε ἦν ἤδη τὰ ἆθλα, οἱ στέφανοί τε ὑπερῃώρηντο καὶ λαμπρῶς μεταβῆναι πρὸς τὸν ἀγωνοθέτην ηὐτρέπιστο, οἷα ποιεῖς, ὦ κοινὲ τοῦ γένους πολέμιε· πῶς μὴ τὰ ἑξῆς κλαύσομαι μᾶλλον ἢ διηγήσομαι; προεκπηδᾷ γάρ μοι τοῦ λόγου τὰ δάκρυα, τοσοῦτον ἀπαγγεῖλαι μέλλοντι πάθος καὶ οὕτω ψυχαῖς φιλανθρώποις βαρύτατον.

11. Ἐπεὶ γὰρ οὕτω Σαπρικίῳ λαμπρὰ τὰ τοῦ μαρτυρίου, καὶ ὅσον οὐκ ἐπικροτεῖν ἔμελλον ἀγγέλων ἤδη χορεῖαι, τῷ μὲν γόνυ κλῖναι πρὸς τὴν ἐκτομὴν ὑπὸ τῶν δημίων ἐπέσκηπτο, ὁ δὲ δεινῶς τὴν ψυχὴν τῷ τῆς μνησικακίας || σκότῳ πεπηρωμένος καὶ τῶν ἐν f. 129v χερσὶν ὥσπερ ἐπιλαθόμενος, ἐν οἷς τε εἴη καὶ ὅπως εἰδὼς οὐδαμῶς, τὴν αἰτίαν ἠρώτα τῆς ἀναιρέσεως, οἷά τις ἐκμανὴς καὶ φρενῶν ἐκστάσει κατεσχημένος· τῶν δὲ «Ὅτι βασιλικῶν ἀλογήσας ἐπιταγ-

5 ἐπίμονον M^2 || 8 μέν τι] μέντοι M^2 || 9 φασιν M^1 || 17 παρὸ *libri* || 22 ἐξεστηκὸς M^1 || 23—25 ἤδη — στέφανοί τε *literas evanidas esse adnotat N.* || 27 μᾶλλον ἢ διηγήσομαι *om.* M^2 || 31 ἤδη *om.* M^2 || 32 κλίναι M^1 || 36 κατισχημένος M^2 (ι *alia manu alioque atramento correctum*).

μάτων θῦσαι τοῖς ἐκείνων οὐκ ἐπείσθης θεοῖς» ἀποκριναμένων, ὦ τῶν ἐμῶν κακῶν, ὦ τοῦ χαλεποῦ τῆς μνησικακίας πτώματος, ἥτις καὶ σοῦ, Χριστὲ σῶτερ, τῆς μερίδος ἀλλοτριοῖ καὶ ὑπὸ τῆς σῆς ὁ τοιοῦτος ἐγκαταλείπεται χάριτος, ἕνα τῶν κατεχόντων αὐτὸν ἀπίστων ἀνομολογεῖ, φεῦ, ἑαυτὸν καὶ Σαπρίκιος καὶ ὑπὸ τοῖς ἁπάν- col. 2 *των ὀφθαλμοῖς ἀνέδην ἐξόμνυται τὴν εὐσέβει|αν, καθάπερ ἐπ' αὐτῷ προανειπόντος τοῦ Σολομῶντος· «Ὁδοὶ μνησικάκων εἰς θάνατον ἄγουσιν»· ἃς ἐλθών, οἴμοι, Σαπρίκιος θάνατον εὗρεν ἐλεεινὸν τὸ κατάλυμα καὶ θάνατον ὄντως ἀθάνατον, εἴπερ ἐκεῖνο πειστέον τῷ λέγοντι· «Ἡ τομὴ αὐτοῦ πρὸ ὥρας φθαρήσεται καὶ ὁ ῥάδαμνος αὐτοῦ οὐ μὴ πυκάσῃ· τρυγηθείη δὲ ὥσπερ ὄμφαξ πρὸ ὥρας καὶ ἐκπέσοι ὥσπερ ἄνθος ἐλαίας· καὶ μαρτύριον δὲ ἀσεβοῦς θάνατος».*

12. Τοῦτο μείζονα τῇ Νικηφόρου ψυχῇ τῆς ἀθυμίας ὑπανάπτει τὴν φλόγα, ὅσῳ τότε μὲν μίαν τῶν ἐντολῶν τοῦ Χριστοῦ παραβαί- f. 130 *νοντα τὸν φίλον ἑώρα, νῦν δὲ καὶ αὐτὸν ἐκεῖ||νον ἀθετοῦντα τὸν νομοθέτην καὶ εἰς φανερὰν μεταβαλόντα δυσσέβειαν. ταύτῃ τοι καὶ ἀνεφλέγετο τὰ σπλάγχνα καὶ διεπίμπρατο καὶ θερμότερον ἔτι μᾶλλον προσελιπάρει Σαπρίκιον, «Μή, ἀδελφὲ» λέγων «καὶ πάτερ (ἐποίει γὰρ καὶ ταύτην αὐτῷ τὴν κλῆσιν τὸ τῆς ἱερωσύνης αἰδέσιμον), μὴ θελήσῃς προδοῦναι Θεόν, ὅς σε καὶ εἰς τὸ εἶναι παρήγαγε καὶ πρὸς ὃν ἐπιστρέψαι μέλλεις δι' ἀναλύσεως, μηδ' εὐσεβείας θεσμὰ καθυβρίσαι, μηδὲ ὁμολογίαν ἀρνήσασθαι ἣν ὑπὸ Θεῷ καὶ ἀγγέλοις πεποίησαι. αἰδέσθητι τοὺς προτέρους διὰ Χριστὸν* col. 2 *ἄθλους, τὰς χαλεπὰς ἐκείνας τοῦ κοχλίου περιτροπάς, τὴν|καινοτάτην τοῦ σώματος κάκωσιν, ἐπὶ σοῦ πρότερον ἐπινοηθεῖσαν καὶ ἀκουσθεῖσαν, ἣν χρόνον ὑπομείνας τοσοῦτον μὴ ἀνάσχῃ οὕτω ῥοπῆς βραχείας προέσθαι θυμῷ καὶ ὀργῇ μᾶλλον ἢ κρίσει λογισμῶν ὀρθῇ γενομένην· τίμησον τὸ μέγα τῆς ἱερωσύνης ἀξίωμα, ὃ τίμιόν τε ὂν καὶ θεῖον ἀεὶ καὶ σεβάσμιον μὴ πρῶτος καὶ μόνος αὐτὸς ἀτιμάσῃς· μή, δέομαί σου τοῦ φίλου καὶ γόνυ κάμπτω καὶ ποδῶν ἅπτομαι· δεῖται δὲ σὺν ἐμοὶ καὶ τάξις ἀγγέλων καὶ μαρτύρων χορεία, ἡ μὲν τῇ ἐκείνης σε ἐναπογραψαμένη βίβλῳ, ἡ δὲ ἤδη παραλαβοῦσα καὶ οἷον ἑαυτῇ καταλέξασα. μὴ ψεύσῃ τὴν ὑπὲρ τῆς τριά-* f. 130v *δος ὁμολογίαν, μὴ τὴν||πάτριον ἐξομόσῃ εὐσέβειαν· ἤδη σοι καὶ διὰ χειρὸς τὰ βραβεῖα· μόνον οὐχ ὑπὲρ κεφαλῆς οἱ τῆς ἀθλήσεως στέφανοι».*

9 *ἐκείνῳ* M^1 || 11 *πυκάσει* M^2, *ποικάσει* M^1 || 21 *μὴ δ'* M^1 || 22 *μὴ δὲ* M^1 || 33 *ἑαυτὴ* M^1 || 35 *οὐχ' ὑπὲρ libri.*

7—8 *Ὁδοὶ — ἄγουσιν*: cf. Par. 12, 18. || 10—12 *Ἡ τομὴ — θάνατος*: Iob 15, 32—34.

13. Ταῦτα ὁμοῦ τε πρὸς τὸν φίλον ἐδεῖτο καὶ τὴν ψυχὴν διεκόπτετο, δεδιὼς ὑπὲρ ἑαυτοῦ καὶ τρέμων, μὴ καὶ Θεὸν μετὰ τῆς φιλίας ζημιωθείη ζημίαν τὴν ἐσχάτην καὶ βαρυτάτην καὶ πρὸς ἣν οὐδέν ἐστιν εὑρεῖν τοῦ κακοῦ φάρμακον· ἐπεὶ δὲ πλείων ἔτι μᾶλλον ἡ ἀπόνοια Σαπρικίῳ, καὶ σκληρύνεσθαι τούτοις τὴν φαραωνῖτιν ἐκείνην καρδίαν ἦν, οὐχ ὑφίεσθαι, εἵλετο γὰρ τῆς εὐσεβείας ἀποστῆναι μᾶλλον, ἢ μνησικακίας μεταβαλεῖν, σφοδρότερον ὁ χρηστὸς Νικηφόρος τῷ ὑπὲρ εὐσεβείας καὶ τοῦ φίλου ζήλῳ τηκόμενος καὶ οὐκ ἔχων λοιπὸν ὃ δρά|σειεν, ἑαυτὸν ἀντεισάγει τῷ μαρτυρίῳ, τὴν ἴσην col. 2 ὁμολογίαν ἐπιδεικνύς, τὸν ἴσον θάνατον ἐκκαλούμενος, καὶ τὸν αὐχένα ὑπετίθει καὶ τὸ ξίφος ἐζήτει καὶ τὰς τῶν δημίων χεῖρας λίαν καθ'ἑαυτοῦ νεανικῶς ὥπλιζεν· εἶπες ἂν τὸν ἀγωνοθέτην Χριστὸν ἐκεῖνα διὰ τοῦ προφήτου ὑποφωνεῖν κρυφίως τῷ μάρτυρι· «'Εξεγείρου, ἐξεγείρου καὶ ἔνδυσαι τὴν ἰσχὺν τοῦ βραχίονός σου· ἐξεγείρου, ὡς ἐν ἀρχῇ ἡμέρας, ὡς ἐν γενεᾷ αἰῶνος». ἀλλ' ἐκείνοις ἐπεῖχε τὴν κατ'αὐτοῦ τέως ὁρμὴν τὸ μηδέπω τὰ κατ' αὐτὸν ἀκουστὰ θέσθαι τῷ ἡγεμόνι, μηδ' ἐντετάλθαι τι τούτοις περὶ αὐτοῦ· οὐδὲ γὰρ ἐφεῖτο κολάζειν ἢ ἀναιρεῖν, εἰ μὴ αὐτὸς ἐπιτρέψειεν· ὡς δὲ ἡ πολλὴ || ἐκείνη διὰ Χριστὸν τοῦ ἀνδρὸς παρρησία f. 131 καὶ ἡ τῶν ὑπὲρ εὐσεβείας καὶ τοῦ καλοῦ κινδύνων ἐπιθυμία καὶ ὁ ζῆλος δήλη καὶ αὐτῷ γένοιτο τῷ ἡγεμόνι καί τις τῶν ἐκεῖ συνειλεγμένων δρομαῖος παρ' αὐτὸν ἀφικόμενος τὰ τοῦ καινοῦ τούτου μηνύσειε δράματος καὶ ὅπως ὁ Σαπρίκιος μὲν ἀθετήσοι μετὰ τῆς ὁμολογίας καὶ τὴν εὐσέβειαν, ἄξιά γε δράσας κομιδῇ τοῦ ὀνόματος, Νικηφόρος δέ τις ἀντεισενεχθείη μετὰ τῆς ἴσης ἢ καὶ θερμοτέρας ὁμολογίας καὶ παρρησίας, ἀπαιτῶν καθάπερ τι χρέος ἐκεῖνον τὸν θάνατον.

14. Ὡς οὖν ἀπηγγέλη ταῦτα τῷ ἡγεμόνι, ὁ μὲν ἐπὶ τὸν μάρτυρα μετάγει τὴν ψῆφον· κομισθείσης δὲ τῆς | καταδίκης τοῖς δημίοις ἐν col. 2 γραμματείῳ τὴν διὰ ξίφους ὁ καλὸς Νικηφόρος τελείωσιν δέχεται, ὀλίγου καὶ καιροῦ καὶ πόνου βασιλείαν οὐρανῶν ὠνησάμενος καὶ νικηφόρος μᾶλλον ἀναφανεὶς ἐκ τοῦ πράγματος, ἢ τοῦ ὀνόματος, καὶ νικήσας οὐ πλάνην μόνον οὐδὲ δυσσέβειαν, ἀλλὰ καὶ πάθος μνησικακίας. οὕτως οὐ στομάτων ἆθλοι καὶ πόνοι καὶ κακοπάθειαι τοσοῦτον οἰκειῶσαι Θεῷ δύνανται, ὡς ψυχῆς συμπάθεια καὶ φιλαν-

16 ὁρμὴν M^1 (*spiritus alia manu alioque atramento scriptus*) || 17 ἐντετάχθαι M^1 || 18 ἐφεῖτο] ἔφη τὸ M^2 || 21 καί τίς M^1 || 26 καθάπέρ τι *libri* || 28—29 ἐπὶ τὸν — δημίοις *litterae novo atramento inductae in* M^1 || 31 καὶ *ante* καιροῦ *om.* M^2 || 33 οὐ δὲ M^1 || 34 ἄθλοι *libri*

14—15 'Εξεγείρου — αἰῶνος: cf. Es. 51, 9.

θρωπία καὶ ἡ πρὸς τὸν πλησίον ἀγάπη, τὸ πάντων τῶν ἀγαθῶν κεφάλαιον· ἃ καὶ παρ' αὐτοῦ καλῶς ἡμῖν τοῦ κοινοῦ δεσπότου καὶ διδασκάλου νενομοθέτηται· καὶ δῆλον ἐκ τοῦ Σαπρίκιον μὲν μετὰ f. 131v *τὸ κολάσεων || τοσαύτας ἐπιφορὰς γενναίως καὶ ἀνδρικῶς ὑπομεῖναι καὶ πᾶν αὐτῷ χαλεπῶς ὑπὲρ Χριστοῦ τὸ σῶμα κατατριβῆναι, ἐπεὶ τὴν ψυχὴν ἀσυμπαθὴς ἦν ἔτι καὶ σκληρὸς καὶ ἀνάλγητος, οὐ μόνον τούτων ἁπάντων οὐδὲν ὄνασθαι, ἀλλὰ καὶ αὐτῆς, φεῦ, τῆς συντρόφου καὶ φίλης ἐκπεσεῖν εὐσεβείας, Νικηφόρον δὲ τὸν θεῖον μηδεμιᾷ τοιαύτῃ βασάνων ἰδέᾳ πρότερον ὑπὲρ εὐσεβείας ὡμιληκότα, μηδ' οὕτω πρὸς τυράννων πάλην καὶ μαρτυρίου καμάτους ἀποδυσάμενον χωρὶς ἱδρώτων καὶ κινδύνων καὶ πόνων διὰ μόνην ψυχῆς ἱλαρότητα καὶ φιλαδελφίαν μαρτυρικοῖς παρὰ τῆς ἄνωθεν δεξιᾶς,* col. 2 *ἣ καὶ δικαίως οἶδε μόνη τὰς ἀμοιβὰς διανέμειν, κοσμη|θῆναι στεφάνοις· ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ •ΒΛΑΣΙΟΥ.

1. Βλάσιος ὁ μάρτυς ἄξιον τοῦ τοιοῦδε τέλους τῆς μαρτυρίας καὶ τὸν πρὸ τοῦ βίον ἀληθῶς ἐπεδείξατο παραπλησίως τῷ μεγάλῳ Ἰώβ, ἄκακος ἀναφανείς, ἄμεμπτος, ἀληθινός, θεοσεβής, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος· ἐπεὶ οὖν φύσει τὸ καλὸν πᾶσιν ἐπαινετὸν καὶ ἡ ἀρετὴ ἀξιότιμος, οἱ ἐν τῇ πόλει Σεβαστείᾳ φημὶ τῆς Καππαδοκίας τοῦ θείου τῆς ἐπισκοπῆς βαθμοῦ καὶ τοῦ θρό- f. 132 *νου αὐτὸν ἀξιοῦσιν· •ἐκεῖνος δὲ ἡσυχίας || ὢν ἐραστὴς καὶ τὸ κατὰ μόνας Θεῷ σχολάζειν σφόδρα φιλῶν, γενόμενος ἔν τινι τῶν ὀρέων Ἀργεῖ ὄνομα, ἐγκλεισάμενός τε πρὸς τῷ ἐκεῖσε σπηλαίῳ, καθαρὰς καὶ ἀθορύβους Θεῷ τὰς εὐχὰς προσῆγεν· οὕτω δ' ἐπέραστος ἦν καὶ αἰδέσιμος οὐκ ἀνθρώποις μόνον, ἀλλὰ καὶ αὐτοῖς δηλαδὴ τοῖς θηρίοις διὰ πολλὴν πάνυ τὴν πρὸς Θεὸν οἰκείωσιν, ὡς καὶ αὐτὰ συντρέχεσθαι παρ' ἐκεῖνον καὶ παραμένειν καὶ μὴ θέλειν ἀφίστασθαι μηδ' ἀναχωρεῖν ἄχρις ἂν τῆς τῶν χειρῶν ἐπιθέσεώς τε καὶ εὐλογίας τῆς παρ' αὐτοῦ τύχοιεν.*

1 *τῶν om.* **M1** || 3 *σαπρικίου* **libri** || 7 *ὤνασθαι* **libri** || 9 *μηδὲ μιᾶι* **M1**, *μὴ δὲ μία τοιαύτη* **M2** || 10 *μὴ δ'* **libri**.

Passionem S. Blasii ex eodem codice M1 exscripsit et cum codice M2 contulit Novossadski (v. supra p. 317). Titulus in M1 rubro scriptus est.

23—24 *καταμόνας* **M1** || 30 *μὴ δ'* **M1**

2. Κατ᾿ ἐκεῖνο τοίνυν καιροῦ θηραταὶ πρὸς τὸ ὄρος κατὰ θήραν ἀγρίων ζώων ἐληλυθότες, Ἀγρι|κολάῳ τοῦτο δόξαν τῷ ἡγεμόνι, col. 2 μᾶλλον δὲ τοῦ Θεοῦ φανερὸν καὶ Ἕλλησι τὸν ἅγιον καθιστῶντος καὶ πρὸς τοιοῦτον ἀξίωμα τοῦ μαρτυρίου παρωθοῦντος αὐτόν, ὡς εἶδον αὐτό τε τὸ σπήλαιον καὶ πλήθη τῶν ζώων ἐν τούτῳ συνηθροισμένα καὶ πρὸς ἄλληλα ταῦτα διασκιρτῶντα, ἀπορίᾳ τε εἴχοντο καὶ τὸ πρᾶγμα διὰ θαύματος ἐποιοῦντο· ἐπεὶ δὲ ἡ τούτων ἄγνοια καὶ πρὸς ζήτησιν ἐκάλει τοῦ φαινομένου καὶ ἐγγυτέρω προσέβαλον, θεωροῦσι τὸν ἅγιον τῷ Θεῷ παριστάμενον καὶ μόνῳ αὐτῷ προσανέχοντα καὶ τὰς εὐχὰς ὁσίως ἀποδιδόντα, εἶτα ἐπανελθόντες ἀπαγγέλλουσιν ἃ εἶδον τῷ ἡγεμόνι· καὶ αὐτὸς οὐδεμιᾷ τὸ πρᾶγμα δοὺς ὑπερ||θέσει παραχρῆμα πέμπει ἐκεῖσε τοὺς θηρατάς, f. 132v συγκαταλέξας αὐτοῖς καὶ χεῖρα στρατιωτικὴν οὐκ ὀλίγην καὶ κελεύσας ὅσους ἂν καὶ ἄλλους τῶν χριστιανῶν εὕροιεν, πάντας συλλαβέσθαι καὶ θήραμα τούτους ποιῆσαι, μᾶλλον πολλῷ τῶν ἀγρίων ζώων αὐτῷ σπουδαιότερον· ὡς οὖν ἀφίκοντο οἱ ἀπεσταλμένοι, τὸν ἅγιον αὖθις τῇ προσευχῇ προσεδρεύοντα εὑρηκότες, «Ἔξελθε» εἶπον, «ὁ ἡγεμών σε καλεῖ». οὓς ὁ θεῖος ἰδὼν Βλάσιος οὐ διεταράχθη, οὐκ ἔπτηξεν, οὐ λύπῃ τινὶ καὶ θορύβῳ τὴν ψυχὴν συνεχύθη, ἀλλ᾿ οἱονεὶ τὸ πρᾶγμα εἰδὼς καὶ προσμένων καὶ διὰ πολλῆς ἔχων αὐτῷ τῆς ἐπιθυμίας, ἐχάρη τε σφόδρα καὶ ἡδέως εὐθὺς πρὸς αὐτοὺς «Δεῦτε, τέκνα», εἶπε, «πορευθῶμεν | ἅμα· ἐμνήσθη γάρ μου σήμερον ὁ col. 2 Θεός, ἐπεὶ καὶ κατὰ τήνδε τὴν νύκτα τὴν κλῆσίν μοι ταύτην ὁ ἀγαθὸς ἐγνώρισεν». ὡς οὖν ἤδη καὶ ὁδοῦ εἴχοντο, πολλοὶ μὲν Ἑλλήνων παῖδες ἐπέστρεφον πρὸς θεογνωσίαν, τὴν προτέραν πλάνην ἀπαγορεύοντες, οὐδενὸς ἄλλου ἢ τῆς αὐτοῦ πραότητος ῥᾳδίως τοῦτο κατορθούσης καὶ τῶν θεοπειθῶν εὐχῶν αὐτοῦ καὶ δεήσεων· πολλοὶ δὲ καὶ τῶν τὰ σώματα πονηρῶς ἐχόντων ῥᾷον ἔτι διὰ τῆς τῶν χειρῶν μόνης ἐπιθέσεως ἐξιῶντο· οὐκ ἄνθρωποι δὲ μόνον, ἀλλὰ καὶ κτήνη τῆς κοινῆς ταύτης ἀπέλαυον θεραπείας· ἐν τούτῳ συνέβη καὶ παῖδά τινα γυναικός, ἐφ᾿ ᾧ μόνῳ μήτηρ || ἐκείνη ἐγνω- f. 133 ρίζετό τε καὶ ὠνομάζετο, ἰχθὺν ἐσθίοντα τὸν λαιμὸν ἀκάνθῃ παρῆναι καὶ ἄφωνον αὐτὸν παραχρῆμα μεῖναι· ἡ δὲ μήτηρ (καὶ τί γὰρ ἡ μήτηρ;) ἀλγεινότερον ἢ ὁ παῖς κέντρῳ τῆς λύπης τὴν καρδίαν πληγεῖσα καὶ οἷα τελῶν ἦν ὁ τοῦ Χριστοῦ μάρτυς ἀναμαθοῦσα, ἐξ αὐτῆς λαβοῦσα τὸν φίλτατον πρὸ τῶν ποδῶν τίθησι τοῦ ἁγίου, οὐ μακρὰν εἶναι τοῦ θανεῖν ἐλπιζόμενον, βοῇ τε ἰσχυρᾷ ἐφώνει τὸν

4 παρωθ(οῦντος) per compendium scriptum in M² || 6 προσάλληλα M¹ || 8 ἐγγυτέρωι M¹ || 11 οὐδὲ μιᾶι M¹ || 19 οἷον εἰ M¹ || 20 αὐτὸ M² || 21 ἐχάρη τὲ M² || 28 πονήρως M¹ || 32 ἰχθῦν M¹ || 34 εἰ μήτηρ M¹

μάρτυρα καὶ τοῖς δάκρυσι μᾶλλον ἢ τῇ φωνῇ πρὸς οἶκτον ἐκάλει· ἐπεὶ δὲ πρὸς ψυχὴν ἐγίνετο ταῦτα τὴν μάλιστα συμπαθῆ, οὐ μέλλων ἦν οὐδ' εἰς ἀναβολὰς βοηθὸς ὁ μέγας, οὔτε τῆς φιλανθρω- *col. 2* πίας | αὐτῷ τοῦτο βουλομένης, οὔτε τῆς πολλὰ δυναμένης ἐκ Θεοῦ χάριτος, ἀλλ' ὃ πάθοι ὁ παῖς αὐτίκα μαθών, τὴν μὲν χεῖρα ἐπὶ τὸν λαιμὸν τίθησι τὸν ἐκείνου, ὄμματα δὲ καὶ διάνοιαν εἰς ὕψος ἐπάρας «Ὁ Θεὸς» εἶπεν «ὁ τῶν ἐν ἀληθείᾳ σε ἐπικαλουμένων τὰς αἰτήσεις προφθάνων, ὡς ὁ θεῖος προφήτης φησί· «Καὶ τὴν ἑτοιμασίαν τῆς καρδίας προσέχει τὸ οὖς σου», καὶ βοηθὸς παρίστασαι μάλα θερμός, ἐπάκουσόν μου τῆς δεήσεως ταύτης καὶ τὴν ἐμπαγεῖσαν ἄκανθαν τῷ παιδὶ ἀοράτῳ σου ἔξελε δυνάμει, Χριστέ, ταχεῖαν αὐτῷ τὴν ἴασιν παρεχόμενος· καὶ ᾧ ἂν ἀπὸ τοῦ νῦν συμβῇ τι τοιοῦτον ἢ ἐν *f. 133v* ἀνθρώποις τελείοις, ἢ βρέφεσιν, ἢ κτήνεσι, διαμνημονεύσειε || δέ τις ἐκεῖ τοῦ ἐμοῦ ὀνόματος, οὕτω λέγων· «Ὁ Θεὸς τῇ πρεσβείᾳ τοῦ θεράποντός σου Βλασίου ἐπιτάχυνον τὴν βοήθειάν σου», ταχείας ἀπολαύσοι καὶ αὐτὸς τῆς θεραπείας εἰς δόξαν τοῦ μεγάλου σου, βασιλεῦ, ὀνόματος». ἔφη, καὶ τῷ τέλει δὴ τῆς εὐχῆς τέλος συνέδραμε καὶ τῷ πάθει, καὶ ὁ παῖς ὑγιὴς ἦν ὅλος καὶ ἀπαθὴς καὶ ἀνώδυνος, πολλῆς τε εὐφροσύνης τῇ μητρὶ πρόξενος, ὥσπερ πρότερον ἀθυμίας. διαβεβόητο δὲ ὁ τοῦ Θεοῦ μάρτυς Βλάσιος οὐκ ἐν τῇ Σεβαστείᾳ μόνον, ἀλλὰ καὶ ἐν Νικοπόλει, καὶ πᾶσιν ἐπὶ στόματος ἔκειτο· ἦν γὰρ μετὰ τῆς ἄνωθεν ὀμβριζομένης αὐτῷ χάριτος καὶ τὴν ἰατρικὴν ἐκεῖνος πεπαιδευμένος.

col. 2 3. Καὶ τοῦτο δὲ ὁδοῦ πάρερ|γον ἀκολουθῆσαν ἐρχομένῳ τῷ μάρτυρι σιωπῆσαι οὐδαμῶς ἄξιον. γυναικὶ χήρᾳ καὶ πενιχρᾷ χοῖρος ἦν ἡ περιουσία καὶ πλέον οὐδέν· τοῦτον λύκος ἰδὼν κατὰ τοὺς ἀδίκους καὶ πλεονεκτικοὺς γείτονας ἅρπαγμα ἑαυτοῦ ποιεῖται. τῇ δὲ γυναικὶ πλοῦτος μέν, ὡς ἔοικεν, οὐχ ὑπῆν, πίστις δὲ πλουσία· ταύτῃ τοι καὶ παραχρῆμα τῷ ἁγίῳ κατὰ τοῦ θηρὸς πρόσεισιν· ὁ δ' ὑπομειδιάσας, ὥστε λῦσαι τῇ γυναικὶ τὴν κατήφειαν καὶ ἀγαθῶν ἐλπίδων ἐμπλῆσαι, «Μὴ λυποῦ, γύναι», φησίν· «μικροῦ γὰρ καὶ ἀποδίδοταί σοι ἀβλαβὴς ὁ χοῖρος». ὁ μὲν οὖν ἅγιος σπεύδων *f. 134* ἤνυε τὴν πορείαν, ὁ δὲ λύκος τὸ λοιπὸν οὐ λύκος || ἦν, τῷ θελήματι τοῦ μάρτυρος εἴκων· ποία δὲ στόματι λύκου φειδὼ γένοιτο τοῦ ἤδη φθάσαντος ἐμπεσεῖν; ἀλλ' ἐκεῖνος οἱονεὶ μεταμέλειαν τοῦ ἀδικήματος ἐσχηκώς, ἀπαθῆ φέρων ἀποδίδωσι τὸν χοῖρον τῇ χήρᾳ.

12 συμβῇ τί M² || 30 λῦσαι om. M² || 34 φειδῶ M²
8—9 καὶ — τὸ οὖς σου: cf. Psalm. 9, 38.

4. Εἰσελθόντα δὲ τὸν μάρτυρα τὴν μητρόπολιν Σεβαστείας ἡ φυλακὴ παραχρῆμα δέχεται, τοῦτο τοῦ δικαστοῦ προστάξαντος· αὐτὸς δὲ τὴν ἐπιοῦσαν καθίσας ἐπὶ τοῦ βήματος καὶ τὸν ἅγιον αὐτίκα παραστησάμενος θωπείαν τῶν πρὸς αὐτὸν λόγων δείκνυσι τὸ προοίμιον καὶ ἀσπασμὸν προσποιούμενος «Χαίροις» φησί, «Βλάσιε, τῶν θεῶν φίλε». καὶ ὃς «Χαίροις καὶ αὐτὸς» ἔφη, «κράτιστε ἡγεμών· πλὴν ἀλλὰ μὴ λέγε τούτους | θεούς, δαίμονας ἀκριβῶς *col. 2* ὄντας καὶ τοῦτο τοῖς σεβομένοις χαριζομένους, τὸ συγκληρονόμους αὐτοὺς τοῦ αἰωνίου πυρός, ὃ ἐκείνοις ἡτοίμασται, καθιστᾶν». θυμὸς ἐπὶ τούτοις λαμβάνει τὸν δικαστήν, καὶ κελεύει ῥάβδοις βαρείαις τὸν ἅγιον τύπτεσθαι, τοιούτοις δώροις τὸν κήρυκα τῆς ἀληθείας ὁ τοῦ ψεύδους ὁμολογητὴς ἀμειβόμενος· ἐπὶ πολλαῖς δὲ ταῖς ὥραις τυπτόμενος ὁ γενναῖος «Ἀναίσθητε καὶ ἀπατεών», ἔφη, «οἴει με τοιαύτῃ τιμωρίᾳ πείσειν πλάνην ἀλλάξασθαι ἀληθείας καὶ φωτὸς σκότος; πολλοῦ ἂν αὐτὸς θαύματος ἧς ἄξιος καὶ θρήνων ἡμεῖς ⟨καὶ⟩, οὕτως εὔκολοι πρὸς τὴν τοῦ πολλῷ χείρονος αἵρεσιν ἀποδεδειγμένοι· ἄλλως τε μὴ || εἰδὼς μηδὲ εἰδέναι ὅλως δυνάμενος, *f. 134v* οἷός μοι ὀξὺς παρίσταται βοηθὸς ὁ ἐμὸς Χριστός, κουφίζων μοι τὰς ὀδύνας». οὕτως εἰπόντα τὸν ἅγιον τῶν πληγῶν ἀνεθέντα τὸ δεσμωτήριον πάλιν εἶχεν. ἡ μέντοι εὐσεβὴς ἐκείνη χήρα καὶ πενιχρά, τὴν τοιαύτην ἔνστασιν τοῦ ἁγίου τὴν ὑπὲρ ἀληθείας ἀναμαθοῦσα καὶ τοῦτο μὲν εὐσέβειαν τιμῶσα, τοῦτο δὲ καὶ ἔργον ψυχῆς εὐγνώμονος ἐπιδείξασθαι βουλομένη, θύσασα τὸν χοῖρον, ὃν πρὸ μικροῦ διαρπάσας ὁ λύκος πάλιν ἐνεγκὼν ἀπέδωκε ταύτῃ ἀφανεῖ κελεύσματι τοῦ μάρτυρος εἴκων· τοῦτον ἐκείνη γνώμῃ πλουσίᾳ καὶ μεγαλόφρονι θύσασα καὶ ἑψήσασα, κεφαλὴν καὶ πόδας | λαβοῦσα καὶ *col. 2* κανῷ θεμένη, ἅμα δὲ καὶ τῶν σπερμάτων ὀλίγα καὶ ὀπωρῶν καὶ ἄλλων ὧν εὐπορεῖν οἶδε πενία, πρὸς δὲ καὶ κηροὺς ἅψασα πρόσεισιν ἐν τῇ φυλακῇ τῷ ἁγίῳ, μικρὰ καὶ μικροὺς φοβεῖν δυνάμενα κρίνασα τῶν τὴν φροντίδα τῆς φυλακῆς πεπιστευμένων τὰ δείματα. ταῦτα γοῦν ἡ χήρα προσενεγκοῦσα τοῖς ποσὶ προσπίπτει τοῦ μάρτυρος, δεομένη μεταλαβεῖν τῶν προσενεχθέντων· ὁ δὲ καὶ ἤκουσε καὶ μετέσχε καὶ εὐπροαίρετον οὕτω προσαγωγὴν φιλοτίμοις ἠμείψατο εὐλογίαις, ἐνετείλατό τε εἰπών· «Τούτῳ, γύναι, τῷ σχήματι ἐπίμεινον τὴν μνήμην ἑορτάζουσα τὴν ἐμήν· || καί μοι ἄψευστός *f. 135* ἐστι πρὸς Θεὸν ἐλπίς, ὅτι μὴ τὸν σὸν οἶκον ἡ αὐτοῦ ἐπιλείψει ἀγαθωσύνη· οὐ μὴν ἀλλὰ καὶ ὃς ἕτερος τὸν τρόπον τὸν σὸν ζηλώσας κατά γε τὴν ἐμὴν μνήμην παραπλησίως ποιοῖ, ἀφθόνου καὶ

15 εἰς ἄξιος M^1 || 16 καὶ *deleri* || 17 μὴ δὲ M^1 || 18 οἷος μοι M^1 || 26 ἑψήσασα M^2 || 30 δείγματα M^2 || 31 γ' οὖν *libri* || 38 ποιεῖ M^2

αὐτὸς ἀπολαύσεται τῆς ἄνωθεν εὐλογίας, ἄχρι τέλους αὐτῷ παρα-
τεινομένης».
5. Ἡ μὲν οὖν μακαρία γραῦς ἐκείνη τῆς μεγαλοδώρου ταύτης
ἐντολῆς τυχοῦσα οἴκαδε ἀπῄει, πληρωθέντος καὶ ἐπ' αὐτῇ δηλαδὴ
τοῦ κυριακοῦ παραγγέλματος, ὅτι λαληθήσεται πανταχοῦ ὃ ἐποίη-
σεν αὕτη εἰς μνημόσυνον αὐτῆς. τῷ ἡγεμόνι δὲ καὶ αὖθις ἐπὶ τοῦ
βήματος προσήχθη ὁ μάρτυς, καὶ παραστάντι «Θύεις» ἔφη, «Βλά|-
col. 2 σιε, τοῖς θεοῖς, ἢ θέλημά σοι κακῶς ἀπολέσθαι»; καὶ ὃς «Χειρο-
ποιήτοις» ἔφη «θεοῖς ὑπ' ἀνθρώπων πεποιημένοις θυσίαν προσ-
ενεγκεῖν ἀνθρώπου νοῦν οὐκ ἔχοντος οὐδὲ φρένας ἐστίν». οὕτως ὁ
μάρτυς εἰπὼν ἐπὶ ξύλου τε εὐθὺς ἀνηρτᾶτο καὶ τὰς πλευρὰς κατε-
ξαίνετο, πλὴν ἀλλὰ καὶ οὕτως ἀπτόητος ἦν, ἀκατάπληκτος, τῶν
βασάνων καταφρονῶν, τοῖς κολασταῖς μικροῦ καὶ χάριν ὁμολογῶν,
ἀγαθῶν αὐτῷ προξένοις ἀπορρήτων καθισταμένοις· διὸ καὶ τὸν
δικαστὴν πλήττειν αὐτὸν οἰόμενον καὶ τούτῳ χειροῦσθαι αὐτὸς
ἔπληττε μᾶλλον τῷ ἀχειρώτῳ καὶ ἀδεεῖ τοῦ φρονήματος καὶ τοῖς
f. 135v λόγοις ὡς κέντροις καθικνεῖτο τῆς ἐκείνου || ψυχῆς, «Οὐ πτοοῦμαι
τὰς κολάσεις σου» λέγων, «πρὸς τὰς μελλούσας ἀντιδόσεις ἀπο-
σκοπῶν». ἐπεὶ δὲ καὶ κατενεχθῆναι τοῦ ξύλου μὲν ἐκελεύετο, τῇ
φρουρᾷ δὲ καὶ αὖθις παρεπέμπετο, προϊόντι πρὸς τὴν φρουρὰν
γυναῖκες ἠκολούθουν ἑπτά, τὴν πίστιν εὐσεβεῖς, τὸν βίον τῇ εὐσε-
βείᾳ σύμφωνον ἔχουσαι· αὗται τοίνυν ἀκολουθοῦσαι τὰς πιπτούσας
ἐδέχοντο τῶν αἱμάτων ῥανίδας καὶ ταύταις ἁβρότερον ἢ αἱ φιλό-
κοσμοι τοῖς μύροις ἑαυτὰς ἔχριον· ἀμέλει καὶ μισθὸν μέγαν τῆς
μεγάλης αὐτῶν πίστεως ἐδέχοντο κατὰ πόδας, μαρτυρικῆς δόξης
ἀρχὴν καὶ πρόφασιν τόνδε τὸν τρόπον εὑροῦσαι· παραχρῆμα γὰρ
col. 2 ὡς χριστια|ναὶ συνελήφθησαν καὶ πρὸς τὸν δικαστὴν ὥς τι τῶν
ἑρμαίων ἀπήχθησαν· ἅσπερ ἐκεῖνος ἰδών, τοῦτο δὴ τὸ αὐτῷ περι-
σπούδαστον, θύειν ἐκέλευε τοῖς κιβδήλοις· αἱ δὲ οὔτε πεισθῆναι τὸ
παράπαν εἰς διάνοιαν ἔθεντο, οὔτε δὲ φανερῶς ἀπείπαντο, σοφώ-
τερον δὲ ἢ κατὰ γυναῖκας τὸ πρᾶγμα μετῆλθον· «Ἀλλ' εἰ βούλει»
φασὶν «ἡμᾶς θῦσαι, καθὼς προσῆκόν ἐστι θεοῖς, οὕτω προσενέγ-
κωμεν τὴν θυσίαν καὶ μὴ ἀνίπτοις, ὃ λέγεται, ταῖς χερσίν· ἀλλ'
ἐπεὶ λίμνη πλησίον, ἡμῖν μὲν ὡς αὐτὴν πορευτέον, ὥστε καθήρα-
σθαι καλῶς καὶ χεῖρας καὶ ὄψιν· σὺ δέ, ἡγεμών, ἐμβαλὼν τοὺς
f. 136 θεοὺς σάκκῳ καὶ || αὐτὸν σφραγῖδι τῇ σῇ πρὸς τὸ ἀκριβὲς σημη-
νάμενος ἐπίτρεψον ἐγγύς που προσενεχθῆναι, ὥστε οὕτω καθηρα-

8 *litterae in* M^1 *novo atramento inductae* || 17 πτοοῦμαι: ποιοῦμαι **libri** || 23 ταύτας **libri** || 32 φασὶν M^2, φησὶν M^1 || ibid. προσῆκον ἔστι M^1, ἐστὶ M^2
5 ὅτι λαληθήσεται κτλ. cf. Matth. 26, 13; Marc. 14, 9.

μένας ἡμᾶς προσενεγκεῖν αὐτοῖς τὴν θυσίαν». ἥσθη ὁ ἡγεμὼν τῶν λόγων ἀκούσας καὶ σπουδῇ κατὰ τὸ εἰρημένον ἐποίει· αἱ δὲ τοὺς θεοὺς ἐν χερσὶ λαβοῦσαι, φεῦ, αἱ γυναῖκες τοὺς μάκαράς τε καὶ οὐρανίωνας, θυσίαν μὲν ἢ προσκύνησιν αὐτοῖς οὐδεμίαν προσῆγον, ἀλλ' ὃ ἔδει καὶ αὐτὰς ποιεῖν κἀκείνους παθεῖν, τοῦτο λίαν εὐφυῶς καὶ κατὰ καιρὸν ἔδρασαν καὶ κακοὺς κακῶς αὐτοὺς τῷ βυθῷ παραπώλεσαν· δικαίως ἂν εἶπον αἱ φιλαλήθεις γλῶσσαι καὶ ζήλῳ τεθηγμέναι καὶ παρρησίᾳ, ἐπεὶ καὶ αὐτοὶ πολλοῖς πολλάκις τοῦ πε|σεῖν εἰς ἀπωλείας βυθὸν κατέστησαν αἴτιοι. τοῦτο μαθόντα col. 2 *τὸν ἡγεμόνα θυμὸς ἐπῄει δεινὸς καὶ φρενῶν σύγχυσις, καὶ οὐκ εἶχεν ὃ δράσειεν· ἠλλοιοῦτο τὴν ὄψιν, συνεκρότει τὰς χεῖρας, βοῆς ὅλον ἐπλήρου τὸν τόπον, παίγνιον οὕτω γυναίων γεγενημένος ὁ μεγάλα φυσῶν· τοῖς στρατιώταις ἠπείλει τὰ χαλεπώτατα, «Τί μὴ» λέγων «ἐπέσχετε τὰς γυναῖκας ὁρμηθείσας τοῦτο ποιεῖν»; οἱ δὲ «Δόλον» εἶπον «ἔδρασαν αἱ γυναῖκες καὶ τοὺς θεοὺς ἡμῶν κατεπόντισαν».*

6. Συλληφθεῖσαι τοιγαροῦν αἱ ἅγιαι καὶ δόλου κρινόμεναι παρ' αὐτῶν «Θεὸς ἀληθινὸς» ἔφησαν «πῶς ἂν ὑποσταίη δόλον»; ἐπεὶ δὲ ὁ θυμὸς ἀκμαιότερον ἔτι τοῦ ἡγεμόνος καθίκετο, κελεύει κάμινον ἐκκαῆναι, μόλυβδόν τε διὰ πυρὸς||ἀναλυθῆναι καὶ κτένας f. 136v *σιδηροῦς ἐνεχθῆναι, πρὸς δὲ καὶ ἑπτὰ χαλκᾶ ψέλλια πυρωθῆναι, εἶτα καὶ θατέρῳ μέρει ὀθόνην ἁπλωθῆναι λαμπράν, καὶ βλέψας πρὸς τὰς ἁγίας «Ἓν ὑμᾶς τῶν δύο» φησί, τὴν ὀθόνην δείξας καὶ ὅσα περὶ τὴν κάμινον, «ἑλέσθαι πρόκειται· ἢ προσκυνῆσαι τοῖς θεοῖς καὶ ζῆσαι, τῆς ὀθόνης ἐπιβάσας ταύτης, ἢ μὴ βουλομένας τοῦτο ποιεῖν ὑποβληθῆναι τούτοις δὴ τοῖς ἠτοιμασμένοις». μία δὲ ἐξ αὐτῶν, ἐπὶ δύο παισὶ ζῶσα, διαρπάσασα τὴν ὀθόνην εἰς τὴν κάμινον ἐμβέβληκε καὶ κατέκαυσεν, ἣν εἶπεν ἐκεῖνος σύμβολον εἶναι ζωῆς πυρὸς ἔργον αὐτὴ ποιήσασα καὶ πράγματι τὴν ἀπολογίαν δοῦ|σα, ὅτι τῆς μὲν παρούσης ταύτης ζωῆς προδήλως καταφρονεῖ,* col. 2 *ἐφίεται δὲ τῆς μελλούσης. ὡς δὲ τοῦτο γέγονεν, αἰσθόμενα ὥσπερ ὃ τῇ μητρὶ ἔδοξε τὰ παιδία «Μὴ ἀφῇς ἡμᾶς» εἶπον «ἐπὶ τῆς γῆς ἀπολέσθαι ταύτης, ἀλλ' ὥσπερ γάλακτος ἐνέπλησας μητρικοῦ, οὕτω δὴ καὶ βασιλείας ἔμπλησον οὐρανίου».*

7. Τὸ δὲ νῦν ἔχον κελεύει αὐτὰς ὁ ἡγεμὼν κρεμασθείσας ὑπὸ κτενίων τῶν σιδηρῶν ξέεσθαι· οὗ γινομένου γάλα μὲν ἀντὶ αἵματος ῥέειν ἐδόκει τοῖς στρατιώταις, αἱ σάρκες δὲ λαμπρόταται, χιόνι

4 *οὐδὲ μίαν* *libri* || 6 *κακῶς: κακῶν* *libri* || 9 *ἀπολείας* *libri* || 13 *μεγάλα* *M*[1], *μέγα* *M*[2] || 21 *σιδηροὺς* *M*[1] || ibid. *χαλκὰ* *libri* || 26 *ἑτοιμασμένοις* *libri* || 29 *αὔτη* *M*[2]

προσεοικυῖαι· καὶ γὰρ ἄγγελοι Θεοῦ κατελθόντες τὰ πεπονθότα τε
f. 137 τῶν μελῶν ἰῶντο καὶ αὐτὰς θάρσους ἐμπιπλῶντες || «Μὴ φοβεῖσθε»
ἔλεγον, «δεῖ γὰρ τὸν καλὸν ἐργάτην οὐκ ἄρξασθαι μόνον, ἀλλὰ καὶ
εἰς πέρας τὸ ἀρχθὲν ἀγαγεῖν καὶ οὕτως εὐλογηθέντα παρὰ τοῦ
ἐργοδότου τοῦ μισθοῦ τε τυχεῖν καὶ οἴκαδε χαίροντα πορευθῆναι·
οὕτω δὲ ὑμῖν καλῶς τὸν ἀγῶνα τελειωτέον, ἵνα καὶ τῆς αἰωνίου
ζωῆς τυχεῖν γένηται παρὰ τοῦ σωτῆρος». τότε τοίνυν ὁ ἡγεμὼν
κελεύει τοῦ μὲν ξύλου κατενεχθῆναι ταύτας, βληθῆναι δὲ εἰς τὴν
κάμινον· ὡς δὲ καὶ ἐβλήθησαν, θαῦμα τὸ τῶν τριῶν ἠκολούθει
παίδων κατ' οὐδὲν ἀνόμοιον· ἥ τε γὰρ φλὸξ ἐσβέσθη καὶ αὗται
ἀπαθεῖς ὅλως ἐξήγοντο τῆς καμίνου· ἀλλ' ἡ πονηρὰ καὶ βέβηλος
col. 2 τοῦ ἡγεμόνος ψυχὴ οὐ θείας εἶναι | δυνάμεως, ἀλλὰ γοητείας τὸ
γεγονὸς ἔκρινε καὶ τοῦτο ταῖς ἁγίαις ὠνείδιζε γυναιξί· πλὴν ἀλλὰ
τὰ τοιαῦτα φήσας «Ἀποθέμεναι πάντα θύσατε τοῖς θεοῖς». αἱ δὲ
δόξαν τῷ Θεῷ προσῆγον, ἐν μέσῳ ἐκκλησίας ὑμνοῦσαι κατὰ τὸν
θεῖον Δαυίδ, εἶτα καὶ πρὸς τὸν ἡγεμόνα «Σπεῦσον» εἰρήκασι,
«σπεῦσον ὃ βούλει ποιεῖν· κεκλήμεθα γὰρ εἰς τὴν τῶν οὐρανῶν
βασιλείαν». θυμοῦται πρὸς τὸν λόγον ὁ δικαστής, καὶ τοῦτο ταῖς
ἁγίαις αἴτιον γίνεται πληρωθῆναι τὸ ἐπιθύμημα· δίδωσι γὰρ εὐθὺς
τὴν ἀπόφασιν, τὸν διὰ ξίφους αὐτῶν θάνατον κατακρίνας· ἐπεὶ
οὖν ὁ τόπος αὐτὰς τῆς τελειώσεως εἶχε, δέονται τῶν δημίων αἱ
f. 137v ἅγιαι καιροῦ τυχεῖν προσευχῆς || καὶ τυχοῦσαι προσηύξαντο οὕτως·
«Ὁ διαχωρίσας ἡμᾶς ἐκ τοῦ σκότους καὶ καλέσας εἰς τὸ φῶς, ὁ τὸ
ὄντως γλυκύτατον φῶς, δεόμεθά σου, κύριε βασιλεῦ, σύνταξον ἡμᾶς
τῇ πρωτομάρτυρί σου Θέκλᾳ, τῶν ἱερῶν εὐχῶν τοῦ ἱερωτάτου
ἡμῶν Βλασίου τοῦτο διαπρεσβευομένων ὑπὲρ ἡμῶν, ὃς ἡμῖν ὁδη-
γὸς κατέστη πρὸς τὴν ἄθλησιν ταύτην καὶ τὴν τῆς αἰωνίου ζωῆς
ἀπόλαυσιν». οὕτω προσηύξαντο γόνυ κλίνασαι καὶ τὴν κεφαλὴν τῇ
γῇ προσερείσασαι· εἶτα διαναστᾶσαι πάλιν προσηύξαντο. τὰ μέντοι
παιδία τῇ μητρὶ προσελθόντα «Οἱ στέφανοι ὑμῶν» εἶπον «εὐτρεπεῖς
ἤδη παρὰ τοῦ ἐπουρανίου βασιλέως εἰσί· παράθεσθε ἡμᾶς τῷ |
col. 2 ἀθλητῇ τοῦ Χριστοῦ Βλασίῳ». καὶ τοῦτο μὲν οὕτω γέγονεν· ἐπι-
σπεύσας δὲ ὁ σπεκουλάτωρ ἀποτέμνει τὰς τῶν ἁγίων γυναικῶν κε-
φαλάς, καρπὸν ἀληθῶς τῶν δεσμῶν Βλασίου καὶ ἀπαρχὴν τῆς
αὐτοῦ ἀθλήσεως γενομένων, καύχημα γυναικῶν, ἀνδρῶν εἰς ἀνδρείαν
οὐκ εὐχερὲς τύπωμα.

8. Τὸ λοιπὸν καὶ ὁ θεῖος Βλάσιος ἐκβάλλεται τῆς φρουρᾶς καὶ
τῷ δικαστῇ πρὸς παράστασιν ἄγεται· καὶ αὐτῷ παραστάντι «Κἂν

Inter folia 38 et 39 in M^2 *unum folium periit, quod continebat textum a* κατελθόν||τες (v. 1) *usque ad* ἑαυ||τὸν (p. 335, 10) | 30 ἡμῶν M^1

γοῦν ἄρτι, Βλάσιε, θύεις» φησίν, «ἢ οὔ»; ὁ δὲ ἅγιος· «Ἀλλὰ νοῦν ἔχων τίς» εἶπε «καὶ τοὺς ἔνδον τῆς ψυχῆς ὀφθαλμοὺς οὐχ ὡς σὺ τυφλώττων, ἀπολιπὼν Θεὸν ζῶντα βδελύγμασι τούτοις ἀνέχει προσκυνεῖν»; || καὶ ὁ δικαστής· «Τί οὖν; εἰ κατὰ τῆς λίμνης ἀφήσω σε *f. 138* ταύτης, ἱκανὸς ἔσται ὃν σέβεις Χριστὸν ῥύσασθαί σε διαφθορᾶς»; — «Εἰ σὺ» εἶπεν ὁ ἅγιος «τούτοις προσανέχων εἰδώλοις σώζεσθαι πιστεύεις, ἐγὼ Θεῷ ζῶντι λατρεύων οὐχὶ δείξω σοι τὰς αὐτοῦ δυνάμεις φανερῶς κἀν τοῖς ὕδασι»; τότε τοίνυν τοῦ ἡγεμόνος κελεύσαντος ῥιφῆναι κατὰ τῆς λίμνης τὸν ἅγιον, φθάσας αὐτὸς καὶ τῷ τύπῳ τοῦ σταυροῦ τὸ ὕδωρ ἐπισφραγίσας ἑαυτὸν καθῆκε καὶ οὐ ταὐτὸν πέπονθε τοῖς τοῦ δικαστοῦ θεοῖς, οὓς αἱ ἅγιαι γυναῖκες καλῶς τοῖς ὕδασι παραπώλεσαν· οἱ μὲν γὰρ ὕλη καὶ σῶμα ψιλόν, οὐδὲν ἔχον θεῖον ἐπισκιάζον, χρυσὸς τυχὸν ἢ ἄργυρος ἢ χαλ|κὸς ἤ τι τῶν τοιούτων, ἀμέλει καὶ ὃ φύσει τούτοις ἐστὶν ὑπέ- *col. 2* στησαν ἀκολούθως· ὁ δὲ σῶμα μὲν ἔχων, ἀλλὰ θείᾳ χάριτι δυναμούμενον, διὸ καὶ κρείττων ὁ θαυμάσιος ἐδείκνυτο τῶν ὑδάτων καὶ ἑωρᾶτο πᾶσιν ἐπὶ τῆς λίμνης ἀσφαλῶς τε καὶ ἀδεῶς καθήμενος· ἔνθα καὶ πρὸς τοὺς παρεστῶτας δημίους «Εἴ τις» φησὶ «καὶ τοῖς ὑμετέροις θεοῖς δύναμις, ὀφθήτω τὰ νῦν, καὶ μηδὲν ὑποδειλιάσαντες εἴσιτε καὶ ὑμεῖς». ὁ μὲν οὖν οὕτως ἔφη, τῶν δὲ θράσος ἢ κουφότης ἢ καὶ ματαία ἐλπὶς τὸν νοῦν διασείσασα παρέπεισεν οὐκ ἐλάττους ἢ ὀκτὼ ἄνδρας πρὸς τοῖς ἑξήκοντα εἰσελθεῖν, καὶ παραχρῆμα τρόπαιον ὑδάτων ἢ ἀνοίας μᾶλλον γεγόνασι καὶ ἀθλίως ἀ||πώλοντο· τὸν μέντοι ἅγιον ἄγγελος κατελθὼν κυρίου ἠσπάσατό *f. 138v* τε λίαν ἐπιχαρίτως καὶ ἱλαρῶς καὶ ἐξελθὼν «Ἀπολάμβανε» ἔφη «τὸν ἡτοιμασμένον σοι παρὰ Χριστοῦ στέφανον».

9. Ἀναστὰς οὖν ὁ μάρτυς οἷα κατὰ γῆς βαδίζων ἐξῄει· ἔλαμπε δὲ τὸ πρόσωπον αὐτῷ ἡλιῶδές τι καὶ ἡδὺ καὶ ἐπαγωγὸν καὶ κομιδῇ θεσπέσιον· ἐπεὶ δὲ καὶ τῷ ἡγεμόνι παρέστη, «Τί δέ» ἐκεῖνός φησιν, «ὅλως σοι κέκριται μὴ θῦσαι μηδαμῶς τοῖς θεοῖς»; καὶ ὁ ἅγιος· «Χριστοῦ δοῦλος ὢν ἀπήρνημαι τὸ παράπαν δαίμοσι προσκυνεῖν». ἀπογνοὺς τοίνυν ὁ ἡγεμὼν τὴν μεταβολὴν δίδωσι καὶ κατ' αὐτοῦ τὴν ἀπόφασιν, εἰρηκὼς οὕτως· «Βλάσιος ὁ καὶ ἐμοὶ ἀπειθήσας καὶ βασιλέως τοῦ αὐτοκράτορος καταφρο|νήσας, τούς θεούς τε ἀτιμά- *col. 2* σας καὶ τοὺς ἑξήκοντα ὀκτὼ στρατιώτας ἀπολέσας ξίφει κεφαλὴν ἅμα τοῖς δυσὶ παιδίοις ἀποτμηθήτω». τῆς ἀποφάσεως οὖν οὕτως ἐξενεχθείσης ὁ ἅγιος εἰς εὐχὴν ἑαυτὸν συντείνας «Ὁ Θεὸς τῶν

1 γ' οὖν *libri* || ibid. φησιν (*om. acc.*) M^1 || 8 κἂν M^1 || 14 ἤ τί *libri* || 18 εἴ τι φή(σι) M^2 || 19 ὀφθείτω M^2 || 21 διαπείσασα M^1 || 22 πρὸς τοὺς M^1 || 28 ἡλιῶδες τί *libri* || 29 ἐκεῖνος φησιν M^1, φή(σι) M^2 || 36 οὖν *om.* M^2

δυνάμεων» εἶπεν, «ὁ καθήμενος ἐπάνω τῶν Χερουβὶμ καὶ ἀνοίγων καταράκτας οὐρανῶν, ὁ τὰ ἐσκοτισμένα φωτίσας, ἐπιστρέψας τε τὰ πεπλανημένα κἀμὲ τῆς τῶν εἰδώλων πλάνης ἐλευθερώσας, ἐπήκοός μου γενοῦ τοῦ δούλου σου, καὶ ὃς ἂν δεηθείη τῆς σῆς χρηστότητος καὶ τοῦ ὀνόματός μου μνησθῇ, ἢ νοσήματι συνεχόμενος, ἢ συμφορᾷ πιεζόμενος, ἢ λύπῃ τινὶ παλαίων, ἢ ὀδύνης f. 139 ἡττώμενος, || πρόφθασον αὐτόν, βασιλεῦ, ἐν εὐλογίαις χρηστότητος καὶ τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ δὸς αὐτῷ καὶ τὴν τῶν χειλέων θέλησιν μὴ ἀποστερήσῃς εἰς δόξαν τοῦ μεγαλοδυνάμου καὶ θεοπρεποῦς σου ὀνόματος».

10. Τοιαῦτα ἐκεῖνός τε ηὔξατο καὶ Θεοῦ ἔτυχεν ἐπακούοντος καὶ τὴν τῶν αἰτηθέντων πλήρωσιν ἐπαγγελλομένου· ἔπειτα καὶ ὁ σπεκουλάτωρ ἐξενεγκὼν αὐτὸν σὺν τοῖς βρέφεσι τοῖς δυσὶν ἐκ τοῦ πραιτωρίου τέμνει τὰς ἱερὰς αὐτῶν κεφαλὰς ἐπὶ πέτρας εἴσω τοῦ τείχους ἐν Σεβαστείᾳ· καὶ τότε μὲν ἐκεῖσε πιστοί τινες ἄνδρες ὡς ἐγχωροῦν ἦν διὰ τὸν καιρὸν τὸ τίμιον αὐτοῦ σῶμα μετὰ τῶν παίcol. 2 δων | κατέθεντο· μετὰ δὲ ταῦτα γυναικί τινι τῶν εὐσεβῶν τε καὶ φιλοθέων ἐπιμελὲς γέγονε τοῦ καὶ τὸν τόπον κοσμῆσαι καὶ φιλοτιμότερον πρὸς τὴν τῶν ἱερῶν τούτων λειψάνων ὑπουργῆσαι κατάθεσιν· μαθοῦσα δὲ καὶ ἡ εὐσεβὴς ἐκείνη χήρα καὶ γραῦς τὴν τοῦ ἁγίου τελείωσιν οὐ λήθην ἔσχε τῶν αὐτοῦ ἐντολῶν, ἀλλ' ὥσπερ ζῶντι εὔγνωμον, ἅτε δὴ καὶ χάριτος αὐτῇ ἄρξαντι, ἔσπευσε φυλάξαι, οὕτω πολλῷ πλέον καὶ μετὰ θάνατον (εἴπερ ὅλως μαρτύρων θάνατον δεῖ καλεῖν, ἀλλὰ μὴ ζωῆς μᾶλλον μὴ ληγούσης ἀρχὴν) καὶ σπουδαιότατα τὴν αὐτοῦ μνήμην κατὰ πολὺ τὸ περιὸν ἑορτάζειν, τὸ σχῆμα δηλαδὴ σώζουσα, ὃ τῇ φυλακῇ τότε παραμένοντι πε||f. 139v ποιήκει, οὐ συγγενεῖς μόνον ἐκ τῶν τῆς γῆς σπερμάτων, ἀλλὰ καὶ φίλους ἅπαντας δεξιουμένη, οἵτινες ὡς ἀρχέτυπον τοῦτο παραλαβόντες καὶ μιμησάμενοι αὐτήν τε τὴν εὐσεβῆ χήραν καὶ γνωστοὺς πάντας ὁμοίως ἐδεξιοῦντο· καὶ διεδόθη τοῦτο ἄχρι καὶ τήμερον πᾶσι τοῖς πιστοῖς τοῖς τὴν μνήμην τοῦ μάρτυρος πανηγυρίζουσι φιλοθέως. μαρτυρεῖ μὲν οὖν ὁ θεῖος Βλάσιος ἐν Σεβαστείᾳ τῇ πόλει Διοκλητιανοῦ μὲν βασιλεύοντος, ἡγεμονεύοντος δὲ τῆς αὐτῆς χώρας Ἀγρικολάου, ὑφ' οὗ καὶ βασάνους πλείστας καὶ θάνατον διὰ Χριστὸν ἐνεγκὼν ἔχει πρὸς αὐτὸν τὰς αὐτοῦ κολάσεις ὑπὲρ ἡμῶν col. 2 πρεσβευούσας καὶ νῦν μὲν εὐμάρειαν | βίου τοῖς δεομένοις, ἐν τῷ μέλλοντι δὲ καὶ ζωὴν τὴν ἐν Χριστῷ δι' αὐτοῦ δίδωσι τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος πάντων· ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

11 ἐκεῖνος τὶ M^2 || 15 πιστοὶ τινὲς M^1 || 17 γυναικὶ τινὶ *libri* || 22 αὐτὴ M^1

ΜΑΡΤΥΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΤΕΣΣΑΡΑΚΟΝΤΑ ΜΑΡΤΥΡΩΝ. *f. 185v*

1. *Εἶχε μὲν τὰ Ῥωμαίων σκῆπτρα Λικίννιος ὁ βασιλέων τῶν πάλαι παρανομώτατός τε καὶ δυσσεβέστατος· εἶχον δὲ καὶ χριστιανοὺς ἅπαντας θλίψεις βαρεῖαι, καὶ διωγμὸς μέγας | ἐπ' αὐτοὺς* *col. 2* *ἀνηρέθιστο; μυρία τε εἴδη βασάνων αὐτοῖς ηὐτρεπίζετο καὶ πολὺς ὁ κλύδων κατ' αὐτῶν ἐκυμαίνετο· ἐῴκει γάρ, ὡς ἐν τοῖς καιροῖς τούτοις ὁ πονηρός, τὰ μεγάλα πληττόμενος τῷ μὴ πάντας ἔχειν ἐν δυσσεβείᾳ ζῶντας, ἀλλά τινας ἐν φωτὶ τῆς εὐσεβείας πορεύεσθαι, ἀντεπάγειν τοῖς ἁγίοις τὰ λυπηρά, καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ, κατὰ τὸν θεῖον φάναι Δαυίδ, καὶ ἐλάνθανεν οὕτως ὁ πονηρὸς πολλῶν πρόξενος ἀγαθῶν τοῖς μισουμένοις ὑπ' αὐτοῦ γινόμενος· πάντες οὖν οἱ τῆς εὐσεβοῦς ἀντεχόμενοι πίστεως, ὅσοι τε στρατευόμενοι καὶ ὅσοι τὸν ἰδιώτην βίον μετήρχοντο, || δαίμοσιν ἠναγκά-* *f. 186* *ζοντο θύειν ἐπ' ὀνόματι κιβδήλων θεῶν, Ἀγρικολάου τότε ἡγεμονεύοντος, δεινοῦ καὶ ἀπηνοῦς ἀνθρώπου καὶ ὅλως τῷ ἀντικειμένῳ κεχαρισμένου.*

2. *Ἦσαν δὲ τῶν στρατιωτῶν ἔν τινι νουμέρῳ τὸν ἀριθμὸν τεσσαράκοντα, ἐκ διαφόρων μὲν ὁρμώμενοι πόλεων, μιᾷ δὲ πίστει καὶ φιλίας δεσμοῖς ἀλλήλοις συνδεδεμένοι, τὴν ἡλικίαν ἀκμάζοντες, τῶν πολιῶν εἰς σύνεσιν οὐδὲν διαφέροντες, τὸ σέβας πιστότατοι, τὴν ἀνδρείαν εὐδοκιμώτατοι· παρ' ὃ καὶ μεγάλων ἦσαν ἠξιωμένοι τιμῶν καὶ τὴν ἀρετὴν διὰ πάσης γλώττης ᾀδόμενοι· οἳ καὶ συλληφθέντες ὑπὸ | τοῦ ἡγεμόνος, ἐπεὶ τὰς βασιλικὰς διατάξεις ἐν γράμμα-* *col. 2* *σιν αὐτοῖς ὑπεδείκνυ καὶ ὑπακούειν ἐκέλευε, μηδὲν ὑποδειλιάσαντες πεπαρρησιασμένῃ καὶ ψυχῇ καὶ γλώττῃ χριστιανοὺς ἑαυτοὺς ὡμολόγησαν· ὁ δὲ σκολιὸς ὢν πειθοῖ πρότερον ἐβούλετο τοὺς ἄνδρας ἑλεῖν καὶ διὰ τοῦτο ῥήμασιν ἐχρῆτο δεινοῖς, πολλὴν ἁπαλότητα καὶ θεραπείαν τούτοις ἐνδελεάσας, «Τὸ ἐν πολέμοις ὑμῶν» λέγων «δι' ὁμονοίας σύμπνουν νίκης πολλάκις παντὶ τῷ στρατοπέδῳ γέγονεν αἴτιον. ταύτην οὖν καὶ τῷ παρόντι τὴν συμφωνίαν*

Huius passionis textum ex eisdem codicibus M^1 et M^2 (v. p. 317) nobis praestitit Novossadski. Titulus in M^2: *Μαρτύριον τῶν ἁγίων καὶ ἐνδόξων μεγάλων μ(α)ρ(τύρων) τεσσαράκοντα.* **Titulus in utroque codice rubro scriptus est.**

3 *Λικίννιος* M^1, *διοκλητιανὸς* M^2 *(alia manu alioque atramento correctum)* || 6 *εἴδη* M^1, *ἤδη* M^2 || 16 *ἀπεινοῦς ἀνοῦ* M^2 || ibid. *τῶι ἀντικειμένωι* M^1, *τῶι διαβόλω* M^2 || 28 *διατοῦτο* M^1 || ibid. *ἀπλότητα* M^2

10 *ἐψεύσατο — ἑαυτῇ:* Psalm. 26 (27), 12.

ὑμᾶς φυλάξαντας κοινῇ βούλομαι πάντας τοῖς τοῦ βασιλέως πει- *f. 186v* σθῆναι νό||μοις καὶ θυσίαν τοῖς ἀθανάτοις σπεῖσαι θεοῖς· δεῖ γὰρ ὑμᾶς νεότητος τοιαύτης καὶ ἡλικίας φείσασθαι καὶ μὴ θάνατον βίαιον τῆς ἡδίστης ἀνθελέσθαι ζωῆς». εἶτα καὶ χρήματα τὰ μὲν παρεῖχε, τὰ δὲ καὶ τὸ μετὰ ταῦτα δοῦναι διωμολόγει, τιμάς τε βασιλικὰς καὶ ἀξιωμάτων προκοπὰς ἐπηγγέλλετο. οἱ οὖν ἅγιοι πρὸς τὴν πολλὴν ταύτην τῶν λόγων δεινότητα συνετὴν καὶ ὡς μάλιστα γενναίαν τὴν ἀπόκρισιν ἐποιήσαντο· «Εἰ θνητῶν» γὰρ εἶπον «ἀνθρώπων προκινδυνεύοντες ἐνικῶμεν, ὡς σὺ μαρτυρεῖς, ἀθανάτου νῦν ὑπεραγωνιζόμενοι βασιλέως οὐ πολλῷ μᾶλλον νικῶντες ἐσόμεθα *col. 2* καὶ πλάνης καὶ κα|κοτέχνου διανοίας τῆς σῆς εἰς τέλος περιεσόμεθα; τί δὲ καὶ χρήμασιν ἡμᾶς διαφθεῖραι νομίζεις καὶ τιμῶν ὑποσχέσεσιν, οἱ μὴ χρήματα μόνον τοῦ κόσμου παντός, δόξαν τε πᾶσαν καὶ περιφάνειαν, ἀλλὰ καὶ ζωὴν αὐτὴν καὶ τὸ ἡδὺ τοῦτο φῶς τὸ εὐκταιότατον ἀνθρώποις καὶ ποθεινότατον μικρὰ ἢ οὐδὲν διὰ Χριστὸν λογιζόμεθα».

3. Πρὸς ταῦτα ὑποτέμνεται τὴν ἀντιλογίαν ὁ ἡγεμών· φησὶ γάρ· «Οὐ πολυλογεῖν δέον, ἀλλ' εἰς τὴν ἐπιοῦσαν προσελθόντας θύειν». οὕτως εἰπὼν βληθῆναι αὐτοὺς εἰς τὴν φυλακὴν ἐπιτάττει τῷ μὴ πρὸς πλείονα συγκαταβῆναι ῥήματα βουλευθῆναι, ὄγκον ἀρχοντικὸν *f. 187* ἑαυτῷ || περιάπτων καὶ φόβον οὕτως ἐπισείων τοῖς μάρτυσι· βληθέντες τοιγαροῦν εἰς τὸ δεσμωτήριον οἱ τεσσαράκοντα, τὰ γόνατα κλίναντες, ἐδεήθησαν τοῦ κυρίου, «Ἐξελοῦ ἡμᾶς» λέγοντες «ἀπὸ πειρατηρίου καὶ ἀπὸ σκανδάλων, δέσποτα, τῶν ἐργαζομένων τὴν ἀνομίαν». καὶ τότε μὲν οὕτως, ἑσπέρας δὲ ἤδη καταλαβούσης ἤρξαντο ψάλλειν τὸν ψαλμὸν τοῦτον· «Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ ὑψίστου ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται· ἐρεῖ τῷ κυρίῳ· ἀντιλήπτωρ μου εἶ καὶ καταφυγή μου· ὁ Θεός μου βοηθός μου καὶ ἐλπιῶ ἐπ' αὐτόν». καὶ οὕτω παρέτειναν ψάλλοντες ἄχρι *col. 2* μεσονυκτίου· προηγεῖτο δὲ αὐτῶν ἐν μὲν ταῖς προσευ|χαῖς καὶ ταῖς παραινέσεσιν ὁ ἅγιος Κυρίων, ἐν δὲ ταῖς ἀποκρίσεσιν ὁ ἅγιος Κάνδιδός τε καὶ Δόμνος. ἐπιφανεὶς δὲ αὐτοῖς ὁ σωτὴρ «Ἡ μὲν πρόθεσις ὑμῶν» εἶπε «καλή, ἀλλ' ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθή-

2—11 *omnes fere litterae f. 186v col. 1 in M*[1] *novo atramento inductae sunt* || 13 δόξαν τε *M*[1], δόξαντες *M*[2] || 21 π[εριά]πτων καὶ φό[βον οὕτως] *M*[1] *(litterae uncis inclusae evanuerunt)* || 27 σκέπει *M*[2] || 26—p. 339, 3 ἐν βοηθείᾳ — μὲ τῷ *omnes fere litterae novo atramento inductae in M*[1] || 33 εἶπεν *M*[2]

24—25 ἀπὸ σκανδάλων — τὴν ἀνομίαν: Psalm. 140 (141), 9 || 26—29 Ὁ κατοικῶν — ἐπ αὐτόν: Psalm. 90, (91), 1—2 || 33 ὁ ὑπομείνας κτλ. Matth. 10, 22; 24, 13; Marc. 13, 13.

σεται». οὕτως ἐγγὺς αὐτοῖς ἐπήνεγκε τὴν παράκλησιν, τά τε παρόντα σκυθρωπὰ λύων καὶ πρὸς τὸ μέλλον ἐμπιπλῶν θάρσους μετὰ τῆς ἀσφαλείας, ἅμα δὲ καὶ προαναφωνῶν τῷ λειποτακτήσαντι τὴν φυγὴν καὶ φόβον αὐτῷ ἐντιθεὶς εἰς ἀνάμνησιν· τοῦτο γὰρ ὑπέφαινε λέγων «Ἀλλ' ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται», ὥσπερ καὶ τοῖς ἀποστόλοις κοινῇ ποτε προλεγόμενον τὸ «Εἷς ἐξ ὑμῶν παραδώσει με» τῷ Ἰούδᾳ ἦν προαναστέλλων τὴν προδο||σίαν. f. 187v

4. Πάντες δέ, ὡς ἤκουσαν τῆς φωνῆς, ἔμφοβοί τε ἐγένοντο καὶ ἄγρυπνοι διετέλεσαν ἕως ὄρθρου· εἶτα συμπαραλαβὼν ἅπαντας ὁ ἡγεμὼν τοὺς φίλους αὐτοῦ, ἵνα θεατρίσῃ τάχα τὰ κατὰ τῶν μαρτύρων αὐτῷ μελετώμενα, κελεύει παρόντων αὐτῶν ἀχθῆναι τοὺς ἁγίους. ἐπεὶ οὖν ἤχθησάν τε καὶ κατ' ὄψιν αὐτῷ παρέστησαν, τοῦτο μὲν καὶ θεραπεύειν βουλόμενος καὶ οὕτως ἡδέως καὶ ὁμαλῶς ἐφέλκεσθαι, τοῦτο δὲ καὶ ἀπὸ τῶν πραγμάτων αὐτῶν καὶ τῆς ἀληθείας λαμβάνων τὰς ἀφορμὰς ἤρξατο λέγειν οὕτως· «Ἐγὼ καὶ πρότερον ἔφην, ἀλλὰ καὶ νῦν τὰ αὐτὰ λέγειν βούλομαι, οὐδὲν πρὸς χάριν καὶ θεραπείαν, ἀλλὰ πρὸς | ἀλήθειαν πάντα φθεγγόμενος· col. 2 *ὅσοι τῶν στρατιωτῶν ὑπὸ τὸν αὐτοκράτορα τυγχάνουσιν ὄντες, ἐκ τούτων οὐδένα ἰδεῖν καθ' ὑμᾶς ἔχω, οὐ συνετὸν οὕτως, οὐχ ὥρᾳ φαιδρόν, οὐκ ἀνδρείᾳ περίβλεπτον· διὰ τοῦτο καὶ τοὺς ὀφθαλμοὺς ἐπιβάλλων ἐφ' ὑμᾶς ἥδομαι καὶ τῶν ἄλλων πλέον φιλῶ· μὴ οὖν τὴν ἀγάπην εἰς μῖσος μεταβαλεῖν ἐθελήσητε· τὸ γὰρ ἢ μισεῖσθαι ἢ ἀγαπᾶσθαι σαφῶς παρ' ὑμῖν». τοιαῦτα τοῦ ἡγεμόνος νοήμασι σκολιοῖς καὶ περιουσίᾳ δεινότητος εἰρηκότος, ὁ ἅγιος Κάνδιδος, τὴν γνώμην ὥσπερ ἐκείνου χαρακτηρίζων ἀπὸ τῆς κλήσεως, «Εἰκότως» εἶπεν «Ἀγρικόλαος κέκλησαι· || ἄγριος γὰρ εἶ τῷ ὄντι κολακευτής».* f. 188 *οὕτω μὲν ὁ ἅγιος ἔφη, οὕτω δὲ καὶ ταῖς ἀληθείαις συνέβαινεν· οὓς γὰρ ἐν τῷ παρόντι κολακεύων ἐφαίνετο, πολλῇ τὸ μετὰ ταῦτα πρὸς αὐτοὺς ἐχρήσατο ἀγριότητι. αὖθις τοίνυν ὁ ἡγεμών· «Οὐκ ἔγωγε ἔφην, ὅτι παρ' ὑμῖν ὅλως κεῖται τὸ ἢ μισεῖσθαι ἢ φιλεῖσθαι ὑμᾶς»; καὶ οἱ ἅγιοι· «Εἰ οὖν παρ' ἡμῖν ἀμφότερα, μὴ λανθανέτω σου τὴν ἀγχίνοιαν, ὅτι σὲ μὲν διαφερόντως μισοῦμεν, φιλοῦμεν δὲ τὸν Χριστόν· πλὴν ἀλλ' οὐδὲ αὐτοὶ πάλιν φιλεῖσθαι παρὰ σοῦ βουλόμεθα· τίς γὰρ ἂν καὶ φιλούμενος παρὰ τοιοῦδε ἀνάσχοιτο κατὰ τὸ ὄνομα καὶ τὴν τῆς ψυχῆς διάθεσιν ἔχοντος οὐκ ἀνθρώπου | μᾶλλον, ἀλλὰ θηρός, ἐπιπλάστῳ τῆς ἐπιεικείας σχήματι πολλὴν* col. 2 *ἀγριότητα τῆς ψυχῆς συγκαλύπτοντος».*

4 *ἐντηθεὶς* M² || 6 *κοινῇ ποτὲ* M¹ || ibid. *προλεγομένων* M² || 7 *προαναστέλλον*? || 20 *ἀνδρίαι* M¹ || 28 *πολλὴ* M² || 29 *ἀγριότητα* M² || 31 *εἰ]* *οἱ* M²
6—7 *εἷς — με:* Matth. 26, 21; Marc. 14, 18; Io. 13, 21.

5. Ὀργῆς ἐπλήσθη τούτων ἀκούσας ὁ καὶ πλειόνων ἄλλων καὶ βαρυτέρων ἄξιος, καὶ κελεύει δεθέντας αὐτοὺς καὶ συρομένους εἰς τὴν φυλακὴν ἀπάγεσθαι· «Ἀλλ' οὐ δέδοταί σοι κολάζειν ἡμᾶς ἐξουσία» οἱ μάρτυρες ἔφησαν, «ἀλλὰ μόνον ἐπερωτᾶν». ὧν πάλιν ὁ ἡγεμὼν ὡς ἤκουσεν, ἐφοβήθη καὶ οὕτως εἰς τὴν εἱρκτὴν ἐπέτρεψεν ἀπαχθῆναι, μηδὲν ἄλλο τῶν ἀβουλήτων καὶ ἀηδῶν ὑπομένοντας, ὅτι μὴ μόνον Ἀγλαΐῳ τῷ δεσμοφύλακι διετάξατο ἀσφαλῆ θέσθαι τὴν φυλακὴν αὐτῶν ἔστ' ἂν ἐκ Καισαρείας ὁ δοὺξ ἐπανέλθοι. πλὴν καὶ ‖ (f. 188v) εἴσω τῆς εἱρκτῆς ὄντας τοὺς ἁγίους οὐδὲν ἐκώλυε τὰ προσήκοντα τῷ καιρῷ ποιεῖν, ἀλλὰ παρ' ὅλην ἡμέραν τε καὶ νύκτα ὑπὸ τοῦ θείου Κυρίωνος ἐδιδάσκοντο· ἔλεγε γὰρ αὐτοῖς, ὅτι «Ὥσπερ εὐδοκίᾳ Θεοῦ κατὰ τὴν πρόσκαιρον ταύτην στρατείαν οὐκ ἐχωρίσθημεν, ἀλλ' ὁμόψυχοί τε ἀλλήλοις καὶ ὁμόφρονες ἐφυλάχθημεν, οὕτω δὴ κἀν τῇ ὁμολογίᾳ ταύτῃ Χριστοῦ τὴν ἴσην ὁμόνοιάν τε καὶ συμφωνίαν φυλάξαι σπουδάσωμεν· καὶ ὥσπερ ἐνταῦθα φθαρτῷ βασιλεῖ γεγόναμεν δόκιμοι, οὕτω δὴ καὶ τῷ αἰωνίῳ γενέσθαι διὰ σπουδῆς ποιησώμεθα, ὡς ἂν καὶ τοὺς ἀπεράντους αἰῶνας σὺν αὐτῷ ζήσωμεν».

6. Ἑπτὰ δὲ τὸ μεταξὺ διελθου|(col. 2)σῶν ἡμερῶν ἐπάνεισι καὶ ὁ δοὺξ ἀπὸ Καισαρείας καὶ εἰς τὴν Σεβάστειαν ἀφικόμενος κελεύει τοὺς μάρτυρας κατὰ τὴν ὀγδόην ἡμέραν, συμπαρόντος αὐτῷ καὶ τοῦ ἡγεμόνος, ἀχθῆναι· ὡς οὖν ἀπήεσαν, αὖθις ὁ μέγας Κυρίων ἥπτετο παραινέσεως, «Ἀδελφοί», λέγων, «μὴ φοβηθῶμεν τὰς ἀπειλὰς τῶν ἀρχόντων, ὧν ἡ δόξα ὡς ἄνθος χόρτου καὶ ὧν ἡ εὐημερία, τὸ τοῦ θείου φάναι Δαυίδ, ὡς ἐνύπνιον ἐξεγειρομένου· οὐκ ἴστε, ὅπως ἀεί ποτε, ὅταν ἐν πολέμοις ἐτύχομεν, οὐκ ἐπὶ τῷ τόξῳ ἐλπίζοντες ἦμεν, οὐδ' ἐπὶ τὴν ῥομφαίαν τὴν σωτηρίαν ἡμῶν ἐτιθέμεθα, ἀλλ' ἐπεβοώμεθα τὸν Θεόν, καὶ εὐθὺς εἰσήκουε τῆς ‖ (f. 189) δεήσεως ἡμῶν καὶ ὀξὺς παρίστατο βοηθός, καὶ τοὺς ἐχθροὺς ἐτροπούμεθα· οὐ μέμνησθε, ὅτε τὴν προσβολὴν κατὰ τὸν μέγαν ἐποιησάμεθα πόλεμον, ὅπως πάντων πρὸς φυγὴν βλεψάντων ἐν μέσοις ἡμεῖς οἱ τεσσαράκοντα μόνοι τοῖς ἐχθροῖς ἀπελείφθημεν, εἶτα δάκρυσι τὸν Θεὸν ἐπικαλεσάμενοι πολλῆς τῆς παρ' αὐτοῦ ῥοπῆς ἀπελαύσαμεν; ἔθετο γὰρ ἡμῶν τόξον χαλκοῦν τοὺς βραχίονας καὶ τοὺς ἐχθροὺς ἔδωκεν εἰς νῶτον καὶ τοὺς μισοῦντας ἡμᾶς ἐξωλότρευσε, μηδενὸς ἡμῶν

6 *ἀβουλεύτων* *M*[2] ‖ 8 *ἐς τ' ἂν* *M*[1], *ἔς τ' ἂν* *M*[2] ‖ 26 *ὅτ' ἂν* *M*[1] ‖ 27 *τὴν σωτηρίαν om.* *M*[2] ‖ 32 *ἀπελήφθημεν libri* ‖ 35 *ἐξολότρευσε* *M*[2]

24 *ἄνθος χόρτου:* Es. 40, 6 ‖ 25 *ὡς — ἐξεγειρομένου:* Psalm. 72 (73), 20 ‖ 26 sq. *οὐκ ἐπὶ τῷ τόξῳ κτλ.* cf. Psalm. 43 (44), 6 ‖ 33 sq. *ἔθετο — βραχίονας* cf. Psalm. 17 (18), 34 et 40.

μηδὲ τὴν βραχεῖαν δεξαμένου πληγήν· εἰ οὖν ὑπὲρ θνητῶν ἀνθρώπων καὶ βασιλέων ἀσεβῶν μαχομένοις ἡμῖν ⟨βασιλέων⟩, μηδὲ | *col. 2* αὐτὸ τοῦτο γινωσκόντων, ὅθεν ἔσχον τὸ βασιλεύειν, αὐτὸς ἐπίκουρος ἦν καὶ παρεῖχε βοήθειαν ἐξ ἁγίου καὶ ὑπερασπισμὸν ἐδίδου σωτηρίας, νῦν ἐκείνου μέλλοντας προκινδυνεύειν ἡμᾶς ὑπερόψεται; οὐχὶ πρὸς πλῆθος πολὺ πολλάκις τῶν πολεμίων ἀντέστημεν; νῦν δὲ τρεῖς εἰσιν οἱ πολεμοῦντες ἡμᾶς· ὁ ἀφανὴς καὶ ἀσώματος καὶ δι' αἰῶνος πολέμιος, ὁ δοὺξ τέ φημι καὶ ὁ ἡγεμών, μᾶλλον δὲ εἷς ὁ ἀόρατος· τί οὖν; ὁ εἷς ὅλως περιέσται τῶν τεσσαράκοντα; μή, παρακαλῶ· ἀλλ' ἐπικλητέον ὡς ἀεὶ καὶ νῦν τὸν Θεόν, καὶ οὔτε βασάνων ὀδύναι, οὔτε θωπεῖαι λόγων, οὐκ ἄλλο τι τῶν ἐπὶ γῆς φοβερῶν ἢ τερπνῶν τὴν ἡμετέραν κάμψει διάνοιαν· οὐχ, ὅταν ἤ||δη *f. 189v* πολέμου ἠρχόμεθα, σύνηθες ἡμῖν τὸν ψαλμὸν τοῦτον ᾄδειν· ὁ Θεός, ἐν τῷ ὀνόματί σου σῶσόν με καὶ ἐν τῇ δυνάμει σου κρινεῖς με· ὁ Θεός, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου. πολλῷ οὖν μᾶλλον ἡμᾶς εἰς τοὺς ὑπὲρ Χριστοῦ νῦν εἰσιόντας ἀγῶνας ταῦτα λέγειν χρὴ καὶ ὅλους ἑαυτοὺς τῆς θείας ἀναρτᾶν δεξιᾶς, ἵνα καὶ ἐν τῇ σκέπῃ ὦμεν τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλιζόμενοι, ὃς ῥύεται παντὸς χαλεποῦ τοὺς ἐπ' αὐτὸν ἠλπικότας, σκέπει τοὺς τὸ ὄνομα αὐτοῦ τὸ θεῖον ἐπιγινώσκοντας, τῶν πρὸς αὐτὸν κεκραγότων ἐπακούει, σύνεστιν ἐν θλίψει, ἐξαιρεῖται, δοξάζει, μακρότητος ἡμερῶν | *col. 2* ἐμπίπλησι καὶ τούτοις αὐτοῦ τὸ σωτήριον ἐπιδείκνυσιν».

7. Καὶ ταῦτα μὲν τὰ τοῦ θείου Κυρίωνος· ἐπεὶ δὲ καὶ πρὸς τοὺς τυράννους ἀπήγοντο, τοὺς μὲν πόδας ἡ πορεία εἶχε, τὰ χείλη δὲ ὁ ψαλμός· πολλῶν οὖν συνδραμόντων ἐπὶ τῇ θέᾳ ἔμπροσθεν οὗτοι τοῦ δουκός τε καὶ τοῦ ἡγεμόνος ἔστησαν· καὶ προσσχὼν αὐτοῖς ὁ βέβηλος δοὺξ «Δοκεῖτέ μοι» ἔφη «μὴ οὕτως ἀπειθεῖς καὶ ἰσχυρογνώμονες εἶναι, ὡς μηδ' ὅλως εἶξαι τοῖς τοῦ βασιλέως προστάγμασιν, ἀλλὰ τοῦτο βούλεσθε, τὸ ἀξίωσιν πρότερον ἡμετέραν ἀναλαβεῖν, εἶτα καὶ βασιλεῖ πειθαρχῆσαι καὶ τοῖς θεοῖς θυσίαν προσενεγκεῖν· || *f. 190* πλὴν ἀλλὰ συνετοὺς ὄντας μὴ τοῦτο ὑμᾶς λανθανέτω, ὅτι τοὺς μὲν εὐπειθῶς ἔχοντας δωρεαὶ καὶ τιμαὶ μείζονες περιμένουσι, τοὺς δέ γε μὴ πειθομένους κολάσεις ἐκδέχονται καὶ

1 et 2 μὴ δὲ M^1 || 2 *alterum* βασιλέων *delevi* || 7 εἰσὶν M^1 || 8 δούξ τε φημὶ M^1 || 11 ἄλλό τι M^1 || 12 οὐχ' ὅτ' ἂν M^1 || 14 σῶσον με M^1 || 16 εἰς *om.* M^2 || 21 ἐξαιρεῖται, δοξάζει *in* M^2 *a scriba omissa in margine alia manu alioque atramento adscripta sunt* || 29 μηδόλως εἶξε M^2

4 ὑπερασπισμὸν — σωτηρίας: cf. Ps. 17 (18), 35 || 13—15 ὁ Θεός — μου: Psalm. 53 (54), 3—4 || 18 ἐν τῇ σκέπῃ κτλ.: cf. Psalm. 90 (91), 1.

τιμωρίαι· ὥσπερ οὖν καὶ ὑμῖν ἓν τῶν δύο τούτων βεβαίως πρόκειται· ἢ θύσαντας τιμῆς μεγίστης ἀξιωθῆναι, ἢ μὴ πεισθέντας τὴν στρατείαν τε καὶ τὴν ζώνην ἀφαιρεθῆναι κἀντεῦθεν ἤδη παραδοθῆναι ταῖς τιμωρίαις». πρὸς ταῦτα ἀπέσχον οἱ ἅγιοι φοβηθῆναι καὶ ταῖς τοῦ δουκὸς ἀπειλαῖς βραχύ τι τῆς ἀνδρείας ὑφεῖναι, ὥστε καὶ μᾶλλον ἐλοιδοροῦντο καὶ ὕβρεσιν αὐτὸν χαλεπαῖς ἔβαλλον, [col. 2] ἐξά|πτοντες αὐτῷ τὸν θυμὸν καὶ πρὸς τιμωρίαν τὴν κατ' αὐτῶν ἐκκαλούμενοι· οἵαις γὰρ ἀποκρίσεσιν ὁ θεῖος Κάνδιδος ἠμείψατο τοὺς ἐκείνου λόγους· «Ὁδηγὲ τοῦ σκότους, ἀνομίας πάσης διδάσκαλε, τί ποιεῖν οἴει τοὺς ἀπτοήτους; τί κολάσεων ἀπειλαῖς καταπλήττειν πειρᾷ τοὺς ἐν ἀγαθοῦ μοίρᾳ τὰς κολάσεις ἐκδεχομένους; ἐπάγαγε τιμωρίαν, καὶ ὄψει Θεοῦ πάντως ἀληθινοῦ προστασίαν· καίτοι οὐκ ἀβούλητον ἡμῖν τὸ ὑπὲρ τῆς ἀληθείας παθεῖν, ἀλλὰ καὶ λίαν διψώμενον». τούτων ἀκούσας ὁ δοὺξ λίθοις κελεύει τὰς σιαγόνας αὐτῶν θλάττεσθαι· διαμελλόντων δὲ τῶν στρατιωτῶν ὁ [f. 190ᵛ] ἡγεμὼν οὐκ ἐνεγκὼν τὸν θυμὸν «Ὦ κα||κῶς ἀπολούμενοι στρατιωτῶν» ἔφη, «τί μὴ τάχει πολλῷ τὰ κεκελευσμένα ποιεῖν βούλεσθε»; ἀράμενοι τοίνυν οἱ ὑπηρέται λίθους τοὺς μὲν ἁγίους ἔπαιον οὐδαμῶς, ἀλλήλους δὲ παραδόξως ἔτυπτον· ὃ τοῖς μὲν ἁγίοις πολύ τι θάρσους ἐνῆκε θεασαμένοις, τῷ δουκὶ δὲ θυμὸν ἄσχετον ἀνῆψεν· ἄρας οὖν λίθον ὥστε κατά τινος ὑπενεγκεῖν τῶν ἁγίων, κατὰ τῆς τοῦ ἡγεμόνος ἐπήνεγκεν ὄψεως καὶ πληγὴν χαλεπὴν αὐτῷ ἐνέτριψεν· οὕτως οἴκοθεν ἦν ἡ κόλασις τοῖς ἀθέοις, μεῖζόν τι καὶ χαριέστερον εἰς τιμωρίαν τῆς θείας δίκης ἐκ παραδόξου καινοτομούσης. ὁ οὖν ἅγιος Κυρίων «Οἱ πολεμοῦντες ἡμᾶς» ἔφη «καὶ οἱ ἐχθροὶ [col. 2] ἡμῶν αὐτοὶ ἠσθένησαν καὶ | ἔπεσον· ὄντως ἡ ῥομφαία αὐτῶν εἰσῆλθεν εἰς τὰς καρδίας αὐτῶν, καὶ τὰ τόξα αὐτῶν συνετρίβη». πρὸς ταῦτα ὁ ἡγεμὼν «Οὐδεὶς νοῦν ἔχων» εἶπεν «ἀμφιβαλεῖ, ὅτι μὴ γοητεία ἐστὶ περιφανὴς τὸ γενόμενον». ὁ ἅγιος Δόμνος «Οὐ γοητεία» ἔφη, «ἀλλὰ τοῦ ἀληθοῦς μᾶλλον Θεοῦ δικαιοκρισία· τὰ γὰρ πρόσωπα ὑμῶν τὰ λαλοῦντα κατ' αὐτοῦ ἀνομίαν ἐν ὑπερηφανίᾳ καὶ ἐξουδενώσει ἀτιμίας ἐπέπλησε». πρὸς τούτοις ὁ μάρτυς αὐτῷ τε καὶ τῷ δουκὶ διεγκαλεῖ τὴν ἀσέβειαν καὶ τὸ περὶ τὴν θεογνωσίαν ἀδιόρθωτον πικρότερον αὐτοῖς ὀνειδίζει· ἐφ' οἷς ὁ δοὺξ [f. 191] ἀντεπῆγε πάλιν ὡς ἔγκλημα τοῖς ἁγίοις τὴν ἀγαθὴν ἔνστασιν || καὶ ὅτι μὴ θύουσι τοῖς χειροποιήτοις κατὰ τὸ τῶν βασιλέων αὐτῶν θέλημα· οἱ δὲ ἅγιοι «Ἡμεῖς ἑνὶ Θεῷ προσοικειούμεθα» εἶπον «διὰ

2 θύσαντα — πεισθέντα M² || 7 ἐξ ἅπτοντες M² || 8 ἡμείψατο M² || 13 αβούλητον (om. spir.) M² || 17 τάχειον πολλῷ M²

31 τὰ λαλοῦντα — ἐξουδενώσει: cf. Psalm. 30 (31), 18.

Ἰησοῦ Χριστοῦ, σπεύδομέν τε πληρῶσαι τὴν προθεσμίαν τοῦ δρόμου καὶ τοὺς τῆς ἀφθαρσίας στεφάνους ἀπολαβεῖν».

8. Ταῦτα εἰπόντας ἡ φρουρὰ πάλιν αὐτοὺς εἶχε κατὰ τὸ τοῦ δουκὸς πρόσταγμα· καὶ πάλιν ὁ ἅγιος Κυρίων εὐχῆς ἤρχετο, «Πρὸς σὲ ἤραμεν» λέγων «τοὺς ὀφθαλμοὺς ἡμῶν, τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ» καὶ τὰ ἑξῆς. οὕτως εὐξαμένοις περὶ μέσας νύκτας καὶ αὖθις ἐπιφαίνεται αὐτοῖς ὁ σωτήρ, «Ὁ πιστεύων εἰς ἐμὲ» λέγων «κἂν ἀποθάνῃ ζήσεται· θαρσεῖτε καὶ μὴ πτο|εῖσθε [col. 2] τὰς βασάνους αὐτῶν, ὅτι πρόσκαιροί εἰσι· νομίμως ἀθλήσατε, ἵνα καὶ δικαίως στεφανωθῆτε». διῆγον οὖν καὶ τὴν νύκτα ἐκείνην πᾶσαν χαίροντες καὶ ἀγαλλιώμενοι ἐπὶ τῇ προτροπῇ τοῦ Χριστοῦ. ἀλλὰ τὰ μὲν τῶν ἁγίων οὕτως, καὶ τοιαύτην παρὰ Χριστοῦ δέχονται τὴν πρὸς τὸν ἀγῶνα παράθηξιν· τὰ δὲ τοῦ ἀντικειμένου καὶ τῶν αὐτοῦ θεραπόντων ὁποῖα; πρωΐας γενομένης μετακληθεῖσι τοῖς ἁγίοις πάλιν καὶ τῷ τοῦ ἡγεμόνος βήματι παραστᾶσιν ἐθεωρεῖτο αὐτοῖς ὁ διάβολος τῇ δεξιᾷ μὲν μάχαιραν, τῇ δὲ ἀριστερᾷ δράκοντα κατέχων, λέγων τε πρὸς τὸ οὖς τῷ Ἀγρικολάῳ· «Ἐμὸς εἶ, ἀγωνίζου». οὕτως ἡ κακία, οὕτως ὁ ψεύστης τοὺς ἐκείνου θερά||ποντας [f. 191v] κατὰ τῆς ἀληθείας ἤλειφε· λέγει τοίνυν τοῖς ἁγίοις ὁ ἡγεμών· «Εἰκός ἐστι κἂν μὴ πρότερον, ἀλλ᾽ οὖν μετὰ ταῦτα τῇ πείρᾳ τῶν πραγμάτων διδασκάλῳ χρωμένους ὑμᾶς ὀψὲ γοῦν καὶ μόλις τὸ συμφέρον ἑλέσθαι· τί ποτ᾽ οὖν ἔσκεπται ὑμῖν; προσελθεῖν καὶ θῦσαι τοῖς θεοῖς, ἢ ἀπαλλαγῆναι τοῦ βίου»; Κάνδιδος λέγει· «Ὥσπερ τῆς ζώνης ὑμῖν, οὕτω δὴ καὶ προθύμως καὶ τῆς ζωῆς ἐξιστάμεθα· οὐδὲν γὰρ προτιμότερον ἡμῖν τοῦ Χριστοῦ». ἀκούσας ταῦτα ὁ ἡγεμὼν κελεύει σχοινίοις αὐτοὺς τῶν τραχήλων ἀποδεθέντας ὁμοῦ πάντας ἐπὶ τὴν λίμνην ἀπάγεσθαι· ἔστι δὲ κατὰ τὴν Σεβάστειαν λίμνη ὕδατι πολλῷ πλή|θουσα· [col. 2] κατὰ δὲ τὸν καιρόν, ὃν τοῖς ἁγίοις τῆς ἀληθείας μαρτύριον διηνύετο, τῆς ὥρας χειμερίου οὔσης, τοῦ ἀέρος τε ὡς μάλιστα πικροτάτου, δριμύτατον καὶ τῇ λίμνῃ ψῦχος ἐπέπνει· κατὰ μέσης οὖν αὐτὴν ἀγαγόντες τοὺς μάρτυρας ἔστησαν, τῆς ἡμέρας ἤδη πρὸς ἑσπέραν κλινούσης, φύλακάς τε αὐτοῖς ἐπέστησαν στρατιώτας, πρὸς δὲ καὶ τὸν δεσμοφύλακα τὴν ἐπιμέλειαν τῆς φυλακῆς σὺν τούτοις ἐξακριβούμενον, οὕτως τῆς θείας προνοίας οἰκονομούσης καὶ προδιανοιγούσης αὐτῷ τοῦ μαρτυρίου τὴν εἴσοδον· καὶ ἄλλο δέ τι ἐπιβουλότατον τοῖς ἁγίοις ὁ κακότεχνος || [f. 192] ἡγεμὼν κατὰ

8 ἀποθάνει *M*², ἀποθάνῃι *M*¹ || 17 τὸ *ante* οὖς *om.* *M*¹ || 19 ἤλειφε *M*² || 21 γ᾽ οὖν *libri* || 22 καὶ *om.* *M*² || 24 προτιμώτερον *M*² || 29 τε ὡς *M*², τέως *M*¹

4—6 πρὸς σὲ — ἐν οὐρανῷ: Psalm. 122 (123), 1 || 7—8 Ὁ πιστεύων — ζήσεται: Io. 11, 25.

πολύ τι περιὸν τῆς δεινότητος ἐξευρίσκει· ἐγγὺς γάρ που τῆς λίμνης βαλανεῖον ἦν, ὅπερ ἐπίτηδες ἐκπυρωθῆναι κελεύει, ὡς ἂν πηγνυμένους αὐτοὺς καὶ τῷ κρύει πιεζομένους ἐγγὺς ὂν ἐφέλκηται πρὸς ἑαυτὸ καὶ παρακαλῇ, ἅτε παραμυθεῖσθαι διὰ τῆς θέρμης δυνάμενον, καὶ οὕτω μαλακωτέραν αὐτοῖς παρασκευάσῃ τὴν ἔνστασιν.

9. Κατὰ πρώτην οὖν τῆς νυκτὸς ὥραν τῷ κρύει ἤδη πηγνυμένων αὐτῶν τὸ δέρμα τε διετείνετο καὶ ἡ σὰρξ ἐρρήγνυτο καὶ τὸ αἷμα κατέρρει. τῶν μὲν οὖν ἄλλων ἀξιοθαύμαστος ἡ ὑπομονὴ καὶ col. 2 *ἡ καρτερία τῶν τεσσαράκοντα | μία· εἷς δὲ τῶν ὀδυνῶν ἡττηθεὶς καὶ φιλοψυχότερον πρὸς τὴν τῶν ἐχθρῶν παγίδα τὸ βαλανεῖον εἰσβλέψας, εὐθὺς αὐτῷ πρόσεισι· καὶ ὡς μόνον αὐτῷ τὸ σῶμα τῆς θέρμης ᾔσθετο, τάχιστα διελύετο καὶ τῇ λύσει θάνατος ἠκολούθει. τοῦτο τοῦ κρύους μᾶλλον καὶ τῶν ἀπορρήτων ὀδυνῶν τῶν ψυχῶν καθίκετο τῶν ἁγίων, πολύν τε ἐπέσεισε φόβον αὐτοῖς καὶ ἀθυμίαν ἐνέβαλε. ταύτῃ τοι μιᾷ φωνῇ πρὸς οὐρανὸν ἰδόντες ἀνέκραγον· «Μὴ ἐν ποταμοῖς ὀργισθῇς, κύριε, μὴ ἐν ποταμοῖς ὁ θυμός σου, ἢ ἐν θαλάσσῃ τὸ ὅρμημά σου· ὁ γὰρ ἀφ' ἡμῶν ἀποστὰς ὡσεὶ ὕδωρ ἐξεχύθη, καὶ διεσκορπίσθη πάντα τὰ ὀστᾶ αὐτοῦ· ἡμεῖς δὲ* f. 192ᵛ *οὐ μὴ ἀποστῶμεν ἀπὸ σοῦ· ζωώσεις ἡμᾶς, || καὶ τὸ ὄνομά σου ἐπικαλεσόμεθα, ὁ Θεός, ὃν ὑμνοῦσι πᾶσαι ἄβυσσοι, πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον σου, ὁ καὶ θάλασσαν ἀγριαίνουσαν τῷ νεύματί σου καταπραΰνων, τῷ βλέμματί τε ξηραίνων ἀβύσσους καὶ τῇ ἀπειλῇ τήκων ὄρη. καὶ νῦν αὐτὸς εἶ, κύριε, καὶ αὐτὸς ἄκουσον ἡμῶν, καὶ μὴ καταποντισάτω ἡμᾶς καταιγὶς ὕδατος, μηδὲ καταπιέτω ἡμᾶς βυθός· ἐβάφησαν, κύριε, οἱ πόδες ἡμῶν ἐν τῷ αἵματι ἡμῶν· αὐτὸς ἐλάφρυνον τὸ βάρος καὶ τὴν πικρότητα τοῦ ἀέρος, καὶ γνώτωσαν πάντες, ὅτι πρὸς σὲ ἐκεκράξαμεν καὶ ἐσώθημεν, ἐπὶ σοὶ ἠλπίσαμεν, καὶ οὐ κατῃσχύν-* col. 2 *θη|μεν».*

10. Καὶ τοιαύτη μὲν ἡ εὐχὴ τοῖς ἁγίοις· ἐπεὶ δὲ ἀληθὴς ὁ ταῦτα περὶ Θεοῦ λέγων, ὅτι χρηστός ἐστι τοῖς ὑπομένουσιν αὐτὸν ἐν ἡμέρᾳ θλίψεως καὶ γινώσκων τοὺς εὐλαβουμένους αὐτόν, τρίτης ὥρας ἤδη τῆς νυκτὸς οὔσης φαιδρὸν αὐτοῖς ὁ Θεὸς ἥλιον ἐπιλάμπει· ᾧ καὶ λυθεὶς ὁ παγετὸς εἰς ὕδωρ θερμὸν μετεβλήθη· πάντας μὲν οὖν τοὺς φυλάσσοντας ὕπνος εἶχε, μόνῳ δὲ τῷ δεσμοφύλακι

1 *πολὺ τὶ* M¹ || 4 *ἑαυτῶι* M¹ || 15 *ἀνέβαλε* M¹ || 21 *κρύταλος* (λ supra) M² || 25 *μὴ δὲ* M¹ || 28 *κατηισχύνθημεν* M¹, *καταισχύνθημεν* M²

16—17 *Μὴ ἐν ποταμοῖς - ὅρμημά σου:* cf. Hab. 3, 8 || 24—25 *μὴ καταποντισάτω — βυθός:* cf. Psalm. 68 (69), 15 || 28 *ἐπὶ σοὶ - κατῃσχύνθημεν:* cf. Psalm. 21 (22), 5.

ὑπῆν γρηγορεῖν· ὃς καὶ προσευχομένων αὐτῶν ἀκροώμενος καὶ κατανοῶν, ὅπως τῷ λειποτακτήσαντι μὲν καὶ προσφυγόντι τῷ βαλανείῳ λύσις εὐθὺς ἐπῆλθε καὶ θάνατος, οὗτοι δὲ καίτοι παγετῷ παραδοθέν||τες τοιούτῳ ζῶσί τε ἔτι καὶ φυσικῆς ἀνάγκης ὁρῶνται f. 193 *κρείττονες, καὶ ὅτι μὴ μόνον οὐδὲν στυγνότητος ἐπιδείκνυνται, ἀλλὰ καὶ τῷ Θεῷ μᾶλλον, ᾧ πεποίθασιν, ἀγάλλονται. ταῦτα ἐκεῖνον διασκοπούμενον εἰς οὐρανὸν ἐπᾶραι τοὺς ὀφθαλμούς, ἰδεῖν ἄρα βουλόμενον, ὅθεν εἴη τὸ φαινόμενον φῶς, καὶ εὐθὺς κάλλη στεφάνων ἰδεῖν εὐθὺ τῶν μαρτύρων καταπετόμενα, καὶ οἱ στέφανοι τὸν ἀριθμὸν ἀκριβῶς τεσσαράκοντα, ἑνὸς δέοντος· πάλιν ἔκπληξις αὐτὸν εἰσῄει διανοούμενον, τί ποτε δὴ πρὸς τοὺς ἀγωνισαμένους ἐνδέων τῶν στεφάνων ὁ ἀριθμός· καὶ συνῆκεν, ὅτι τῆς αὐτῆς οὐκ ἠξιώθη τιμῆς τοῖς ἕως τέλους | καρτερήσασιν ὁ λειποτακτήσας, ἀλλὰ τό γε* col. 2 *οἴκτιστον, ὅτι καὶ τιμῆς ἐστέρηται πάσης καὶ σὺν αὐτῇ τῆς ζωῆς. παραχρῆμα γοῦν διυπνίσας τοὺς σὺν αὐτῷ φύλακας ῥίπτει τε τὰ ἱμάτια καὶ τῇ λίμνῃ ἐφάλλεται μέγα κράζων «Χριστιανός εἰμι». στὰς δ' ἐν μέσοις αὐτοῖς «Δέσποτα» ἔφη «Χριστέ, ὁ ἑαυτὸν τοῖς ἀνθρώποις ἐμφανῆ θέμενος, καὶ ἐμοὶ τῷ ἀναξίῳ φανερὰν τὴν δόξαν σου ποίησον καὶ τῷ χορῷ τῶν σῶν ἁγίων κἀμὲ συναρίθμησον».*

11. Ταύτην οὐκ ἐνεγκὼν τὴν ἧτταν ὁ σατανᾶς, μεταβαλὼν ἑαυτὸν εἰς ἄνδρα καὶ τοῖς γόνασι τὼ χεῖρε συμπλέκων, ὅλως τε τὸν κοπτόμενον καὶ θρηνοῦντα ὑποκριθεὶς εἰς ἐπήκοον πάντων, «Οὐαί μοι» γεγωνοτέρᾳ ἔκραζε τῇ φω||νῇ, «νενίκημαι παρὰ τῶν f. 193ᵛ *ἁγίων, ἀσθενὴς δέδειγμαι, εἰς γέλωτα πᾶσι πρόκειμαι· τοῦτο δὲ πέπονθα τῷ μὴ τυχεῖν με πάντως οἵων αὐτὸς ὑπουργῶν βούλομαι· τί οὖν ἐμοὶ ποιητέον λοιπόν; τί ἕτερον, ἢ διαστρέψαι τὰς τῶν ἀρχόντων καρδίας καὶ παρασκευάσαι καυθῆναί τε τὰ σώματα τῶν μαρτύρων καὶ τῷ ποταμῷ δοθῆναι, ὥστε μηδὲ λείψανόν τι αὐτῶν μηδὲ μικρὸν εὑρεθῆναι». καὶ ταῦτα μὲν τὰ τοῦ πονηροῦ πονηρὰ ῥήματα· ὁ δέ γε θεῖος Κυρίων «Τίς Θεὸς μέγας ὡς ὁ ἡμέτερος» ἔφη «Θεός; σὺ εἶ ὁ Θεὸς ὁ ποιῶν θαυμάσια· τοὺς γὰρ καθ' ἡμῶν ὑπὲρ ἡμῶν ὀφθῆναι παρασκευάσας καὶ τὴν παραθραυσθεῖσαν τῆς τετάρτης δεκάδος ὁλοκλη|ρίαν θαυμαστῶς ἀνεπλήρωσας, τὸν σατανᾶν* col. 2 *ᾔσχυνας καὶ ἡμᾶς ἐν χρηστότητι ἐπεσκέψω». καὶ ἤρξαντο κοινῇ ψάλλειν οὕτως· «Σῶσόν με, κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος» καὶ τὰ ἑξῆς τοῦ ψαλμοῦ.*

2 *τῶι βαλανίωι* M² || 8 *φαινόμενον om.* M² || 22 *τὼι χεῖρε* M¹ || 23 *ἐπίκοον* M² || 29—30 *ὥστε — εὑρεθῆναι om.* M² || 33 *παραθραυθεῖσαν libri* || 36 *σῶσον μὲ* M¹

31—32 *Τίς — θαυμάσια:* Psalm. 76 (77), 13 || 36 *σῶσον — ὅσιος:* Psalm. 11, 1.

12. Ἕωθεν δὲ προσελθόντες οἱ ἄρχοντες καὶ τὸν δεσμοφύλακα ἐν μέσοις αὐτοῖς ἑστῶτα ἰδόντες ἐπυνθάνοντο παρὰ τῶν στρατιωτῶν, τί πάθοι καὶ τί ἰδὼν τοῦτο δράσειεν· οἱ δὲ «Ἡμεῖς μὲν» εἶπον «τοῦ ὕπνου ἡττηθέντες ἐκείμεθα, ἐκεῖνος δὲ παρ᾽ ὅλην τὴν νύκτα διεγρηγορὼς ἦν· ἄφνω δὲ διύπνισεν ἡμᾶς, καὶ ὁρῶμεν φῶς μέγα περὶ αὐτούς· ἐκεῖνος δὲ τὰ ἱμάτια παραχρῆμα ῥίψας εἰσπεπήδηκεν [f. 194] εἰς τὴν λίμνην, «Χριστιανός εἰμι» κράζων, || «Χριστιανός εἰμι». τούτων οὐδὲν πλέον ἡμεῖς οἴδαμεν». ταῦτα ἀκούσαντας θυμὸς αὐτοὺς λαμβάνει πολύς, κελεύουσί τε συρομένους ἐπὶ τὸν αἰγιαλὸν ἄγεσθαι καὶ ῥοπάλοις τὰ σκέλη συντρίβεσθαι. ἑνὸς δὲ ἡ μήτηρ παρέμενε τοῖς ἁγίοις, τὸν παῖδα τὸν ἑαυτῆς βλέπουσα· καὶ γὰρ ἦν οὗτος ὑπὲρ πάντας τὴν ἡλικίαν νεώτατος, καὶ ἐδεδοίκει, μή ποτε δειλίαν αὐτῷ ἐμποιήσῃ τὸ νεαρὸν καὶ φιλόζωον, καὶ ἀνάξιος τῆς τῶν συστρατιωτῶν τάξεώς τε καὶ τιμῆς εὑρεθῇ, καὶ διὰ τοῦτο ὅλοις ἦν ὀφθαλμοῖς εἰς αὐτὸν ἀτενίζουσα, μή τι καὶ μαλακὸν ἴδοι, μή τι καὶ ἀγεννὲς φθέγξηται, μὴ τὴν ὄψιν ἐλεεινὸς ὀφθείη καὶ τῶν κακῶν [col. 2] ἡττώ|μενος· ἵστατο οὖν ἀτενὲς ὁρῶσα, σχήματί τε καὶ βλέμματι, ὅπως εἶχε, θάρσος αὐτῷ ἐμβάλλουσα, χεῖρας ὡς αὐτὸν ἐκτείνουσα καὶ «Τέκνον ἐμοὶ γλυκύτατον» λέγουσα, «τέκνον ἤδη πατρὸς οὐρανίου, τέκνον ἐν εὐσεβείας λόγῳ πολλῷ τῆς μητρὸς τιμιώτερον, μικρὸν ὑπόμεινον, ἵνα τέλειος καταστῇς· μὴ φοβηθῇς τὰς βασάνους· ἰδοὺ γὰρ παρίσταταί σοι βοηθὸς ὁ Χριστός· οὐδὲν τὸ λοιπὸν ἀηδές, οὐδὲν ἐπίπονον, οὐδὲν ἀλγεινὸν ἀπαντήσῃ· πάντα ἐκεῖνα παρῆλθε, πάντα ταῦτα τῇ σῇ νενίκηκας γενναιότητι· χαρὰ τὸ μετὰ ταῦτα, ἡδονή, ἄνεσις, εὐφροσύνη, ὧν μεθέξεις συμβασιλεύων Χριστῷ καὶ πρέσβυς ἐμοὶ τῇ τεκούσῃ τὰ πρὸς αὐτὸν γινόμενος».

[f. 194v] 13. Κα||τακλωμένων δὲ τῶν ποδῶν τῶν ἁγίων, «Ἡ ψυχὴ ἡμῶν» ἔλεγον «ὡς στρουθίον ἐρρύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων· ἡ παγὶς συνετρίβη, καὶ ἡμεῖς ἐρρύσθημεν· ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν». καὶ πάντες ὁμοῦ τὸ ἀμὴν εἰπόντες τῷ Θεῷ παρέθεντο τὰς ψυχάς, ἐνάτην τότε τοῦ Μαρτίου μηνὸς ἄγοντος· ἁμάξας οὖν ἐνεγκόντες καὶ ταύταις τὰ ἱερὰ σώματα ἐπιθέντες παρὰ τὸ χεῖλος τοῦ ἐν γειτόνων ποταμοῦ ἄγουσι· τὸν μέντοι νέον ἐκεῖνον, ᾧ Μελίτων ὄνομα, ἐμπνέοντα ἔτι οἱ περὶ ταῦτα ὑπηρετούμενοι κατιδόντες καταλεί- [col. 2] πουσιν οὕτως ἐν ἐλπίσιν ὄντα τοῦ ζήσεσθαι· ὃν ἡ | μήτηρ ὑπολειφθέντα μόνον θεασαμένη καὶ τοῦτο μᾶλλον θάνατον αὐτῆς καὶ τοῦ

3 δράσειε *libri* || 14 τάξεως τε *M*[1] || ibid. διατοῦτο *libri* || 15 εἰς *om.* *M*[2] || 17 σχήματι τε *M*[1]

27—30 ἡ ψυχὴ — γῆν: Psalm. 123 (124), 7—8.

παιδὸς εἶναι λογισαμένη καὶ ὥσπερ οὐδὲ μήτηρ ἀνεχομένη εἶναι τοῦ τὸν ὑπὲρ Χριστοῦ θάνατον μετὰ τῶν συστρατιωτῶν ὑποστῆναι ζημιουμένου, ἀλλ' ἀκλεῶς ζήσεσθαι κινδυνεύοντος, ὑπεριδοῦσα γυναικὸς ἀσθενείας, ὑπεριδοῦσα φύσεως ἀναγκῶν ἀφύκτων, σπλάγχνων τε μητρικῶν ἐπιλαθομένη, τὸν υἱὸν ἐπ' ὤμων ἀραμένη ταῖς ἁμάξαις ἠκολούθει μεγαλοψύχως, τότε ζήσειν αὐτὸν οἰομένη, ὅταν νεκρὸν μᾶλλον καὶ ἐκλελοιπότα θεάσαιτο· ἐπεὶ οὖν οὕτως ὑπ' αὐτῆς φερόμενος ἀφῆκε τὸ πνεῦμα, τότε δὴ τῶν φροντίδων ἡ μήτηρ ἑαυ||τὴν λύσασα, μέγα τι καὶ ὑπερήδιστον ἐπὶ τῷ τέλει τοῦ υἱοῦ f. 195 *σκιρτήσασα, μέχρι τοῦ τόπου, οὗ τὰ σώματα τῶν ἁγίων ἦν, ἀπενέγκασα τὸν τοῦ φιλτάτου νεκρὸν ἐπάνω αὐτῶν τίθησι καὶ τοῖς ἄλλοις συναριθμεῖ, ἵνα μηδὲ σῶμα σωμάτων ἀπολειφθῇ, οὗ τὴν ψυχὴν ἔσπευδε ταῖς ψυχαῖς ἐκείνων συνηριθμῆσθαι. μέγα δὲ πῦρ ἀνάψαντες οἱ τῷ ἀντικειμένῳ προθύμως ὑπηρετούμενοι τὰ τῶν ἁγίων σώματα κατακαίουσιν· εἶτα τῶν λειψάνων χριστιανοῖς φθονήσαντες καὶ τῷ δοκεῖν ἀφανίζειν αὐτὰ βουλόμενοι εἰς τὸν ποταμὸν εὐθὺς ἀφιᾶσιν· ἀλλ' ἐκεῖνα θειοτέρᾳ πάντως οἰκονομίᾳ ἐχόμενα κρημνοῦ συνήχθη τινός, μη|δὲν ὅλως τοῦ ποταμοῦ λυμή-* col. 2 *νασθαι τούτοις δυνηθέντος· τρισὶ δὲ ὕστερον ἡμέραις ἀποκαλυφθὲν Πέτρῳ τῷ ἐπισκόπῳ, καί τινας τῶν κληρικῶν ἐκεῖνος εὐλαβεῖς καὶ φιλαρέτους παραλαβών, νυκτός τε ἀφικόμενος ἔστη παρὰ τὸ χεῖλος τοῦ ποταμοῦ περὶ τὸν τόπον, ὃς ὄναρ αὐτῷ ἐκκεκάλυπτο· καὶ ἰδοὺ μέγα τι καὶ χάριεν καὶ οὐδὲν ἧττον ἀστέρων ἀπέλαμπε τὰ σώματα τῶν ἁγίων καὶ ἔνθα ἄν τι καὶ ὑπελείφθη, διὰ τοῦ περὶ αὐτὰ φέγγους τρανότερον γλώττης κατεμηνύετο.*

14. Οὕτως οὖν συλλεξάμενοι ταῦτα καὶ καθαραῖς θήκαις ἐγκαταθέμενοι πλοῦτον ἄσυλον, θησαυρὸν ἀναφαίρετον, ἀγαθῶν σωρὸν χριστιανοῖς ἐδωρήσαντο εἰς δόξαν πατρός, || υἱοῦ καὶ ἁγίου πνεύμα- f. 195v *τος, τῆς μιᾶς δυνάμεώς τε καὶ κυριότητος, ᾗ πρέπει πᾶσα τιμὴ καὶ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

---

16 *τὸ δοκεῖν* M² || 21 *νυκτὸς τὲ* M¹, *νυκτός τε* M²

Index nominum.

Ἄβαροι, ἔθνος. 263.
Ἀβησάκ, ὁ πρωτοσύμβουλος τοῦ Ἰσμαηλιτῶν ἔθνους. 190.
Ἄβιβος, μάρτυς. 289.
Ἀβραάμ. 60. 68.
Ἀβραάμ, ἀφηγούμενος. 93.
Ἀβράμιος, ἱερόμαρτυς. 10—12.
Ἄβυδος, πόλις. 23. 25. 309. 312.
Ἀγάθη, μεγαλόμαρτυς. 14—18.
Ἀγαθόδωρος, ἐπίσκοπος Χερσῶνος. 200.
Ἀγεώριος (Γεώργιος?) Λυδός. 72.
Ἀγαπητός, ὅσιος. 93 106.
Ἀγάπιος, μαγιστριανός. 311.
Ἄγαρ: χώρα τῶν τῆς Ἄ. 10; οἱ τῆς Ἄ. 197.
Ἀγαρηνοί. 18. 92. 106. 158. 255. 288. 300.
Ἄγαροι (Ἀγαρηνοί?). 294.
Ἀγλάϊος, δεσμοφύλαξ. 211. 340.
Ἀγλαΐς, μήτηρ Ἀλεξίου τοῦ ἀνθρώπου τοῦ Θεοῦ. 245.
Ἀγρικόλαος, ἡγεμών. 53. 209. 210. 212. 329. 336. 337. 339. 343.
Ἀγρίππας, ἡγεμών. 177.
Ἀγρίππας, μάρτυς. 96.
Ἀγρός, μονή. 228.
Ἀδάμ. 318.
Ἀδερφορᾶς, ἀρχιμάγος. 10.
Ἅιδης. 153.
Ἀδριανός, βασιλεύς. 284. 285. 287.
Ἀδριανός, πάπας Ῥώμης. 134.
Ἀδριανοῦ πόλις. 108.
Ἀειμνητῶν πόλις. 84.
Ἀζάνιος, στρατιώτης. 310.
Ἀθανασία, ὁσία. 166—173.
Ἀθανάσιος, ἀββᾶς. 171. 172.
Ἀθανάσιος, ὁ τῆς Γάγγρας πρόεδρος. 185.
Ἀθηνᾶ. 257.
Ἀθῆναι. 65.
Αἰγαῖον πέλαγος. 221.
Αἰγιαλός, τῆς Σικελίας. 114. 115.
Αἴγυπτος. 8. 84. 140. 170. 196. 218. 252.
Αἰθαλία, Ἡρακλείδους γαμετή. 115.
Αἰθέριος, ἐπίσκοπος Χερσῶνος. 200.
Αἰθίοπες δήμιοι. 196.
Αἰθίοψ. 116.
Αἰλία. 134.
Αἰλιάς, γυνή. 145.
Αἰνείας, Γαζαίων ἐπίσκοπος. 142.
Αἰπόλιος, ἡγεμών. 151.
Αἴτνη, ὄρος. 18.
Ἀκακία. 23. 309.
Ἀκάκιος ἐπίσκοπος Μελιτηνῆς, ἱερόμαρτυς. 298-300.
Ἀκάκιος, στρατιώτης. 180.
Ἀκυλῖνος, ἔπαρχος. 3—6.
Ἀκυντῖνος. 18 (v. Κυντιανός).
Ἀλαμᾶς, Σύρος. 24. 310.
Ἀλεξάνδρεια, πόλις. 19. 134. 172.
Ἀλεξανδρεύς. 256.
Ἀλεξανδρία, Ἀβυδηνή. 23. 309.
Ἀλέξανδρος, ἀνὴρ πονηρός. 238.
Ἀλέξανδρος, ὁ ἐκ Μακεδονίας. 143.
ἡ Ἀλεξάνδρου (sc. πόλις). 169—172.
Ἀλέξιος, ὁ ἄνθρωπος τοῦ Θεοῦ. 245—252.
Ἄλσος, νῆσος. 200.
Ἅλυς ποταμός. 187.

Ἀμάντιος, εὐνοῦχος. 146. 147.
Ἀμάσεια, πόλις. 87. 92. 174. 177.
Ἀμασεῖς. 91.
Ἀμασηνοί. 177.
Ἀμόριον, πόλις. 190. 194.
Ἀμφιλόχιος δούξ, μάρτυς. 284—288.
Ἀνατόλιος, πατριάρχης. 75.
Ἀνατόλιος ὁ συνεπόμενος τῇ ἁ. Φωτεινῇ. 263.
Ἀνδρέας, ὁ πρωτόκλητος τῶν ἀποστόλων. 234. 235.
Ἀνδροκλῆς, ἡγεμών. 118.
Ἀνδρόνικος, ὅσιος. 166—173.
Ἄνθιμος, ὀρδινάριος τοῦ παλατίου καὶ δεκανός. 68.
Ἄννα, προφῆτις. 9.
Ἄννα, μήτηρ τῆς Θεοτόκου. 272.
Ἄννα, μήτηρ Σαμουήλ. 245. 269.
Ἀντινούπολις. 220.
Ἀντιόχεια, πόλις. 43. 47. 120. 121. 134. 149. 166.
Ἀντιοχεῖς. 122.
Ἀντίοχος, κεντυρίων. 34.
ἡ Ἀντιόχου (sc. πόλις). 275.
Ἀντώνιος ὁ μέγας. 252—255.
Ἀπάμεια, πόλις. 1. 4.
Ἀπαμεύς (Τρύφων). 3. 6.
Ἀπόλλων. 45. 178. 182. 204. 205. 258.
Ἀπφία, μάρτυς. 118. 119.
Ἀρβήλ, πόλις. 10.
Ἀρεθούσιοι. 293.
Ἄρειος, αἱρετικός. 121. 135. 187.
Ἀρζάνιος, στρατιώτης. 23.
Ἀρκάδιος, βασιλεύς. 145. 245.
Ἀρμενία. 154.
Ἀρμένιοι. 231.
Ἀρμένιος (Λέων). 227. 228.
Ἀρτάκιος, κώμης. 73.
Ἀρτεί, ὄρος. 48. 328.
Ἄρτεμις. 31. 283 (γέφυρα).
Ἀρτεμίσιος, ὁ ἐκ Στρατονικείας. 268.
Ἄρχιππος, ἀπόστολος. 118. 119.
Ἀσία. 42. 124. 151. 236.
Ἄσιρμος, κώμη. 23. 309.
Ἀσκάλων, πόλις. 141.
Ἀσκληπᾶς, ἐπίσκοπος. 143.
Ἀσκληπιάδης, ἀθλητής. 236. 239.
Ἀσκληπιοδότη, ἡ ἁγία. 106—111.
Ἀσκληπιόδοτος, Φρύξ. 174. 175.
Ἀσκληπιόδοτος, ἡγεμών. 266.
Ἀσχόλιος, Κυζίκου πρόεδρος. 305 (cf. Ἀχόλιος).
Ἀτταλέων πόλις. 12.—ἡ Ἀττάλου πόλις. 173.
Αὔγαρος. 246.
Αὔγουστος, βασιλεύς. 1.
Αὐξέντιος, ὅσιος. 68—79.
Αὐρηλιανός, βασιλεύς. 161. 179. 183.
Αὐσίτης (Ἰώβ). 167.
Ἀφροδισία, γυνὴ Καταναία. 15.
Ἀφροδίτη. 16. 148.
Ἀχόλιος, Κυζίκου πρόεδρος. 21 (cf. Ἀσχόλιος).

Βαβύλας, τριβοῦνος. 162.
Βάκχος, μάρτυς. 227.
Βαραχήσιος, μάρτυς. 288—292.
Βαρβάρα, μήτηρ Ἡλιοδώρου τοῦ μάγου. 113.
Βαρδιαβώχ, κώμη. 289.
Βαρουχᾶς, ὑπηρέτης. 143. 144. 150.
Βασίλειος, ἀσκητής. 76.
Βασιλεύς, ἐπίσκοπος Χερσῶνος. 197—202.
Βασιλική, τόπος ἐν Ἡρακλείᾳ. 32.
Βασιλίσκος, μάρτυς. 174—179.
Βασιστά, κόρη (ἥτις καὶ Μαριάμμη διωνύμως ὠνόμαστο). 154.
Βασόης, μάρτυς (XLII). 190—197.
Βελόνικος, ἀνὴρ συγκλητικός. 177.
Βηδανά, κώμη. 203.
Βηθλεέμ, πόλις. 61. 62.
Βηρίνη, βασίλισσα. 77.
Βηρυτός, πόλις. 83.
Βίδανα, κώμη. 207 (cf. Βηδανά).
Βιδανῶν κώμη. 204. 205 (cf. Βηδανά).
Βιζύη, πόλις. 24. 310.
Βιθυνία. 69. 224.
Βικέντιος, ἡγεμών. 165.
Βίκτωρ, τῆς ἁ. Φωτεινῆς υἱός. 263. 264.
Βικτωρῖνος, μάρτυς. 96.
Βισαμών, δικολόγος. 219.
Βλάσιος, ἱερόμαρτυς. 47—53. 328—336.
Βονιφάτιος, μάρτυς. 251.
Βουκολέων, τόπος. 115.
Βουκόλος, ἐπίσκοπος Σμύρνης. 124.
Βοώδης, προδότης Ἀμορίου πόλεως. 194.

Βρίγγας, πραιπόσιτος. 87.
Βρίον, τόπος. 110.
Βυζάντιον. 134.
Βυζαντίς. 114.
ἡ Βύζαντος (sc. πόλις). 114.

Γαβριήλ, ἀρχάγγελος. 278. 279.
Γάγγρα, πόλις. 185. — Γαγγρῶν μητρόπολις. 186.
Γάζα, πόλις. 140. 143. 145. 147—149.
Γαζαῖοι. 142. 143. — Γαζαίων πόλις. 145.
Γαϊανή, γυνὴ πλουσία. 186.
Γαλήνη, ἡ Σευήρου θυγάτηρ. 45—47.
Γαλιλαῖοι. 43. 125. 152. 157. 161. 241. 273. 284.
Γαλλία. 263.
Γάλλος, βασιλεύς. 38. 322.
Γελασία, βασιλέως Αὐρηλιανοῦ θυγάτηρ. 163.
Γεννάδιος, ἀρχιμανδρίτης. 130.
Γερμανός, μοναχός. 158—160.
Γερμανός, περιοδευτής. 100.
Γεώργιος, πατὴρ τοῦ ὁ. Ταρασίου. 132.
Γλυκερίας μάρτυρος τὸ ἱερόν. 25. 313.
Γόμορρα. 237.
Γορδιανός, βασιλεύς. 1—3.
Γρηγόριος, γέρων. 223.
Γρηγόριος ὁ Νύσσης. 279.
Γρηγόριος, πάπας. 233—236.
Γυρίτης, τόπος. 77.

Δαβίδ, v. Δαυίδ.
Δακόνζαρ, κώμη. 177.
Δαμιανός, ἐπίσκοπος. 98.
Δάναπρις ποταμός. 200.
Δανιὴλ Αἰγύπτιος. 84.
Δανιήλ, γέρων. 169—172.
αἱ Δανιὴλ κρίσεις. 98.
Δαρεία, μάρτυς. 256—262.
Δαρώμιον, μονή. 130.
Δαυίδ. 60. 93. 194 (Δαβίδ). 255. 314. 319. 320. 334. 337. 340.
Δάφνη, Διονυσίου θυγάτηρ. 23. 309.
Δεκέμβριος μήν. 200.
Δέκιος, βασιλεύς. 3. 12. 15. 112. 123. 124. 151. 236. 241. 298. 300.
Δίγραμμον ὄρος. 205.
Διογένης, Ἡλιουπόλεως ἄρχων. 162. 164.
Διόδωρος, ἅγιος. 12. 13.
Διόδωρος, κόμης. 164.
Διόδωρος, μάρτυς. 262.
Διοκλητιανός, βασιλεύς. 19. 20. 53. 83. 93. 197. 198. 218. 266. 273. 281. 336.
Διονύσιος, μάρτυς. 216—218.
Διονύσιος, τῶν Σμυρναίων πρωτεύων, πατὴρ Δάφνης. 23. 309.
Δομέτιος, μάρτυς. 275—278.
Δόμνος, μάρτυς (XL). 210—215. 338. 342.
Δωρόθεος, κόμης. 72.
Δωρόθεος, μάρτυς. 96.

Ἕβδομον, τόπος ἔξω τῆς Κωνσταντινουπόλεως. 68. 69. 74.
Ἑβραῖος. 99.
Ἔδεσα, πόλις. 246. 247.
Εἰρηναῖος, ἐπίσκοπος Γάζης. 143.
Εἰρηναῖος, ἐπίσκοπος Σιρμίου, μάρτυς. 281—283.
Εἰρήναρχος, ὁ ἐπὶ τοῖς στρατιώταις τεταγμένος. 151.
Εἰρήνη ἡ καὶ Μεγαλώ. 223 (v. Μεγαλώ).
Εἰρήνη, βασίλισσα. 132. 136. 223. 227.
Εἰρήνη, ἐκκλησία. 143.
Εἰρήνη, κόρη. 150.
Εἰρήνης ναός. 68.
Ἐλευθέρα γυνή, Στεφανὶς τὸ ἐπώνυμον. 77.
τὰ Ἐλευθερίου ἀνάκτορα. 228.
Ἐλιαῖοι. 84.
Ἐλισάβετ, γυνὴ Ζαχαρίου. 280.
Ἕλληνες. 1. 6. 18. 48. 84. 102. 112. 125. 143. 144. 146. 149. 150. 164. 194. 199. 200. 237. 244. 270. 299. 329.
Ἑλλήσποντος. 97. 200. 224. 241.
Ἐλπίδιος, ἐπίσκοπος Χερσῶνος. 200.
Ἔμεσα, πόλις. 127.
Ἐμεσηνοί. 131. — ἡ Ἐμεσηνῶν πόλις. 128.
Ἐνώχ. 60.
Ἑρμῆς. 258.
Ἑρμουπολῖται. 219.
Ἕρμων, πρόεδρος Ἱεροσολύμων. 198.
Ἐρυθρὰ θάλασσα. 255.
Εὔα, προμήτωρ. 278.
Εὐγένιος, ἐπίσκοπος Χερσῶνος. 200.
Εὐγένιος, πατὴρ τῆς ὁσίας Μαρίας. 54.

Εὐδοκία, μάρτυς. 158—165.
Εὐδοξίας ναός. 149.
Εὐκαρπίων, μάρτυς. 273—275.
Εὐκλάσιος, ὁ ἐπὶ τῶν ὑπομνημάτων. 174.
Εὐκρατία, μήτηρ τοῦ ὁ. Ταρασίου. 132.
Εὐκτήμων. 239.
Εὐρώπη. 91. 106.
Εὐσεβία γυνή. 29. 91.
Εὐσεβία, γυνὴ Ἀσκληπιοδότου τοῦ ἡγεμόνος. 268.
Ευσέβιος ὁ Καισαρείας. 121.
Εὐσέβιος, ὁ Νικομηδείας πρόεδρος. 121.
Εὐστάθιος, μοναχὸς καὶ πρεσβύτερος. 128.
Εὐστάθιος, πατριάρχης. 120—123.
Εὐστάθιος, χαλκεύς. 122.
Εὐτυχής, αἱρετικός. 72.
Εὐτρόπιος, κουβικουλάριος. 145.
Εὐτρόπιος, μάρτυς. 174—179.
Εὐτυχιανός. 23. 239. 308.
Εὐφημιανός, πατὴρ Ἀλεξίου τοῦ ἀνθρώπου τοῦ Θεοῦ. 245. 249.
Εὐφράτης ποταμός. 196.
Εὐχάϊνα, τόπος. 28. 35. 87. 90. 92.
Εὐχαρία, ἡ Ἀγαπίου τοῦ μαγιστριανοῦ γαμετή. 311.
Ἔφεσος, πόλις. 151. 239.
Ἐφραίμ, ἐπίσκοπος. 198.

Ζανιθᾶς, μάρτυς. 289.
Ζαχαρίας. 280.
Ζεύς. 5. 6. 16. 45. 143. 145. 146. 240. 258.
Ζήνων, βασιλεύς. 122.
Ζήνων, νεανίσκος. 165.
Ζωΐλα γυνή. 23. 309.
Ζώσιμος, ὁ ἐκ Στρατονικείας. 268.

Ἠλίας Αἰγύπτιος. 84.
Ἠλίας Θεσβίτης, προφήτης. 124.
Ἡλίας, πατριάρχης τῆς Αἰλίας. 134.
Ἠλίας, μάρτυς. 289.
Ἡλιόδωρος, μάγος. 113. 114. 116. 117.
Ἡλιούπολις. 158.
Ἡράκλεια, πόλις τῆς Θρᾴκης. 25—27. 98. 312. 314—316.
Ἡράκλεια τοῦ Πόντου. 29. 30.
Ἡρακλείδης ἄρχων. 114. 115.
Ἡρακλῆς. 258.
Ἡρακλειώτης, v. Κάλλιστος.
Ἡρῴδης, εἰρηνάρχης. 124.
Ἡρῴδης, βασιλεύς. 127.
Ἠσαΐας Αἰγύπτιος. 84.
Ἠσαΐας, προφήτης. 193. 324.

Θαλᾶς, χῶρος. 295.
Θαλάσσιος, ὁ ἀπὸ Συαδίας. 24. 311.
Θαλελαίου τοῦ μάρτυρος ναός. 73.
Θαλλός, μάρτυς. 266. 269.
Θέκλα, πρωτόμαρτυς. 51. 135. 334.
Θέλαμος, τόπος. 11.
Θέογνις ὁ Νικαίας. 121.
Θεοδόσιος ὁ μέγας, βασιλεύς. 156.
Θεοδόσιος ὁ νέος, βασιλεύς. 68. 72. 147.
Θεοδότη, μήτηρ τοῦ ὁ. Θεοφάνους. 221.
Θεοδότη (ὄνομα κίβδηλον Σαβίνης). 238.
Θεόδοτος, ἅγιος. 106—111.
Θεόδουλος, μάρτυς. 85. 96.
Θεοδώρα, βασίλισσα. 232.
Θεοδώρητος, πατριάρχης Ἀντιοχείας. 134.
Θεόδωρος, μάρτυς. 174. 175.
Θεόδωρος, μάρτυς (XLII). *190. 197.*
Θεόδωρος ὁ ἐπιλεγόμενος Κρατερός, μάρτυς (XLII). *196. 197.*
Θεόδωρος ὁ Μονόχειρ, προεστὼς τῆς μονῆς. 224.
Θεόδωρος Στρατηλάτης, μάρτυς. 28—36.
Θεόδωρος Τήρων, μεγαλόμαρτυς. 86—92.
Θεοκλία, μήτηρ Καλλιοπίου τοῦ μάρτυρος. 269. 270.
Θεομήτωρ. 247.
Θεόπομπος, ἐπίσκοπος. 19.
Θεοπρεπής (Θεοπρόπιος), μάρτυς. 284—288.
Θεός passim.
Θεοτόκος. 9. 74. 231. 246. 247.
Θεούπολις. 120.
Θεουπολίτης. 120.
Θεοφάνης ὁ ὁμολογητής, ὅσιος. 221—229.
Θεοφίλα, ἐκ κώμης Ἀσίρμου. 23. 309.
Θεόφιλος, βασιλεύς. 190. 232.
Θεόφιλος, μάρτυς (XLII). *190—197.*
Θεόφιλός τις. 72
Θεόφιλος, ὕπαρχος. 239.
Θερμά, κτῆμα Βελονίκου. 177.
Θεσβίτης v. Ἠλίας.

Θεσσαλονίκη, πόλις. 96. 140. 141.
τὰ Θεωνᾶ, τόπος ἐν Χερσῶνι. 202.
Θεωνᾶς, ἄρχων. 201. 202.
Θεωνᾶς, μάγος. 19.
Θρᾴκη. 24. 25. 107. 122. 310. 313.
Θωμᾶς, μοναχός. 134.

Ἰακώβ. 60. 263.
Ἰάκωβος, ἐπίσκοπος. 154. 155.
Ἰαννῆς, μάγος. 227.
Ἴασσα, κώμη. 289.
Ἰάσων, υἱὸς Κλαυδίου καὶ Ἱλαρίας. 260.
Ἰγνάτιος ὁ Θεοφόρος. 124.
Ἱδροῦντες, πόλις. 115.
Ἱερεῖα, κτῆμα. 228.
Ἱερεμίας Αἰγύπτιος. 84.
Ἱερεμίας, προφήτης. 23. 310.
Ἱεροσόλυμα. 7. 8. 57. 61. 121. 127. 140. 142. 197. 200.
Ἱερουσαλήμ. 8. 9. 84. 271.
Ἰησοῦς passim.
ἡ Ἰκονιέων (sc. πόλις). 207.
Ἱλαρία, Κλαυδίου τοῦ τριβούνου γαμετή. 260.
Ἱλάριος, ὑπηρέτης. 145,
Ἰλλυρικόν. 284. 287.
Ἰλλυριοί. 284.
Ἰξίων. 237.
Ἰορδάνης ποταμός. 140.
Ἰουδαῖοι. 8. 125. 200. 237. 268. 284. 290. 298. 299.
Ἰούδας (ὁ προδότης). 210. 339.
Ἰουλιανή, γυνή τις ἐξ Ἀντιοχείας. 149.
Ἰουλιανή, μάρτυς. 179—184.
Ἰουλιανός, βασιλεύς. 38. 91. 92. 275. 277. 293. 322.
Ἰουλιανὸς Καππαδόκης, μάρτυς. 85.
Ἰουλιανός, μοναχός. 131.
Ἰουλιανοῦ τοῦ ἁ. μάρτυρος ναός. 167.
Ἰουστινιανός, βασιλεύς. 234.
Ἰσάκιος, ἀνὴρ δαιμονῶν. 297.
Ἰσάκιος, μοναχός. 129.
Ἰσάκιος, πατὴρ τοῦ ὁσίου Θεοφάνους. 221. 222.
Ἴσαυροι. 203. 204. 207.
Ἰσίδωρος, νέος δαιμονῶν. 73.
Ἰσμαήλ, υἱὸς Ἄγαρ. 194.
Ἰσμαηλῖται. 190. 193.
Ἱσπανία. 156.
Ἰσραήλ. 8. 9. 41.
Ἰωάννης, ἀρχιερεύς. 143.
Ἰωάννης ὁ Θεολόγος. 124.
Ἰωάννης ὁ τῆς κλίμακος. 294—298.
Ἰωάννης, μητροπολίτης. 142. 146.
Ἰωάννης, μοναχός. 68. 69.
Ἰωάννης, μοναχὸς πρεσβύτερος καὶ σύγκελλος. 134. 137.
Ἰωάννης ὁ Χρυσόστομος (ἡ χρυσῆ γλῶσσα) 122. 145. 146.
Ἰωάννης ὁ Πρόδρομος. 126—131. 186. 278.
Ἰωάννης, υἱὸς Ἀνδρονίκου καὶ Ἀθανασίας. 166.
Ἰώβ. 47. 167. 322. 328.
Ἰωνᾶς, μάρτυς. 288—292.
Ἰωσῆς, υἱὸς Φωτεινῆς. 263. 264.
Ἰωσήφ, μνηστὴρ τῆς Θεοτόκου. 8. 278. 279.

Καῖσαρ. 3. 6. 267.
Καισάρεια πόλις. 58. 59. 84. 121. 143. 211. 340.
ἡ Καισαρέων (sc. πόλις). 83.
Καλλιόπη, γυνὴ πενιχρά. 23. 309.
Καλλιόπιος, μάρτυς. 269—272.
Κάλλιστος, μάρτυς (XLII). 190—197.
Κάλλιστος Ἡρακλειώτης. 24. 311.
Καλώνυμος, νῆσος. 223.
Καμψάδου κώμη. 1. 6.—Καμψάδος. 4.—Καμψάδων κ. 7.
Κάνδιδος, μάρτυς (XL). 210—215. 338. 339. 342. 343.
Καπετώλιον. 246.
Καπίτων, ἐπίσκοπος Χερσῶνος. 197—202.
Καππαδόκης 85. 174.—ἡ Καππαδοκῶν (sc. χώρα). 93.
Καππαδοκία. 48.
Καρίνη, κώμη. 239.
Καρποφόρος, χριστιανός. 256.
Καρταγένη, πόλις. 263.
Καταβόλου μέρη. 97.
Καταναῖοι. 17. 115. — ἡ Καταναίων (sc. πόλις). 117.
Κατάνη. 15. 18. 111. 113. 114. 115.
Κατάχειλας, μαρτύριον. 26. 314.
Κελερῖνος, ἔπαρχος. 259. 261.

Κελλίον, κτῆμα. 23 (cf. Κιλλόον).
Κέστος, μάρτυς. 34. 35.
Κῆτρος, τόπος. 115.
Κιβωτοῦ Τόπος, ὄρος. 58.
Κιλικία. 247. 270.
Κιλλόον, κτῆμα. 309 (cf. Κελλίον).
Κλαυδιανός, ἅγιος. 12. 13.
Κλαύδιος, τριβοῦνος. 259. 260.
τῆς Κλαυδίου πολῖται. 71.
Κλεόνικος, μάρτυς. 174—179.
Κλεόνικος, τήρων. 90.
Κλῖμαξ, σπήλαιον. 204.
Κλιοσκαύρη, μονή. 234.
Κοβάρων χωρίον. 189.
Κοδρᾶτος, μάρτυς. 216—218.
Κοδρᾶτος, στρατιώτης. 180.
Κόϊντος, ἀνὴρ συγκλητικός. 177.
Κολαζίας κλῖμα. 189.
Κολασαέων πόλις. 118.
Κόμανα, πόλις. 177. 178.
Κόνων Ἴσαυρος, ἅγιος. 203—208.
Κόπης, ἀρχιληστής. 205.
Κορνήλιος, διάκονος. 144.
Κοσμία, γυνή. 78.
Κουλκιανός, δούξ. 42.
Κρατερός, v. Θεόδωρος.
Κρίσκης, μάρτυς. 216—218.
Κρισπῖνος, συγγραφεύς. 303.
Κρίσπος, ἔπαρχος. 44. 45.
Κρονίδης κεντυρίων, μάρτυς. 284—288.
Κρονίδης, λογιστής. 88.
Κρόνος. 258.
Κύζικος, πόλις. 21. 27. 97. 223. 305. 316.
Κυνήγιος, ἀνήρ. 147. 148.
Κυντιανός, ἡγεμών. 15. 16 (idem Ἀκυντῖνος audit p. 18).
Κυντιλιανός, ἀνθύπατος. 240.
Κυπριανός, μάρτυς. 216—218.
Κύπρος, νῆσος. 132.
Κυριακή, ἀδελφὴ Φωτεινῆς. 263.
Κυριακή, κόρη δαιμονῶσα. 23. 309.
Κυριακή (ἡμέρα). 131.
Κυριακός, διάκονος καὶ ἀρχιμανδρίτης. 130. 131.
Κυριεστηνοί. 277.
Κύριλλος διάκονος, ἱερόμαρτυς. 293. 294.
Κυρίων, μάρτυς (XL). 210—215. 338. 340—342. 345.
Κωνσταντῖνος ὁ μέγας, βασιλεύς. 91. 94. 96. 97. 120. 154. 201. 202. 288. 293. 306.
Κωνσταντῖνος (II), βασιλεύς. 187.
Κωνσταντῖνος (V, Κοπρώνυμος), βασιλεύς. 114. 132. 134. 136. 222.
Κωνσταντῖνος, μάρτυς (XLII). 190—197.
Κωνσταντῖνος, στρατηλάτης. 73.
ἡ Κωνσταντίνου (sc. πόλις). 68. 75. 91. 97. 99. 132. 145. 227. 230. 232.
Κωνσταντινούπολις. 132. 138. 145. 230.

Λάζαρος, μάρτυς. 289.
Λαμψακηνοί. 22. 305. 306.
Λάμψακος, πόλις. 20. 21. 24. 27. 303. 306. 310. 315. 316.—Λάμψακοι. 99. 104.
Λαοδίκεια, πόλις. 246. 247. 266.
Λέπιδος, ὁ εἰδωλολατρήσας. 239.
Λέσβιος, ἀνὴρ ἐξ Ὥας τῆς νήσου. 24. 311.
Λέων, ἅγιος ἀρχιεπίσκοπος Κατάνης. 111—119.
Λέων (I), βασιλεύς. 77. 78.
Λέων (IV), βασιλεύς. 222.
Λέων (V) ὁ Ἀρμένιος, βασιλεύς. 139. 227. 228. 231. 232.
Λέων (VI), βασιλεύς. 114.
Λικίννιος, βασιλεύς. 28—32. 34. 35. 94—96. 209. 337.
Λῖνος, χριστιανός. 239.
Λουκᾶς, εὐαγγελιστής. 8.
Λουκία, ἡ μεγάλη μάρτυς. 112.—Λουκίας τῆς μάρτυρος ναός. 117.
Λουκιανός, ἡγεμών. 42.
Λούκιος, ἡγεμών. 41. 43.
Λούκιος, ὕπαρχος. 114. 116.
Λυδία, μάρτυς. 284—288.
Λυδοί. 72.
Λυκία. 151.

Μαγναύρας οἶκημα. 135.
Μαγνησία, πόλις. 43.
Μάγνος, ἡγεμών. 207.
Μάδα, μήτηρ Κόνωνος τοῦ μάρτυρος. 203.
Μαϊτᾶς, τόπος. 148.
Μακεδονία, γυνή. 239.
Μακεδονία, χώρα. 143.
Μακεδών, μάρτυς. 284—288.

Μάλα, ὄρος. 187.
Μάλχος, πρεσβύτερος. 131.
Μάνης, ἀρχηγὸς τῆς Μανιχαίων αἱρέσεως. 149.
Μανιχαῖοι. 149.
Μαξέντιος, κεντυρίων. 31.
Μαξιμιανός, βασιλεύς. 86. 93. 106. 107. 174. 177. 266. 269. 273. 281.
Μαξιμιανὸς ἐκ Βιζύης. 26. 310.
Μαξιμῖνος, βασιλεύς. 86.
Μάξιμος, ἅγιος. 106—111.
Μάξιμος, ἡγεμών. 270.
Μαρία ἡ Θεοτόκος. 8. 9. 192. 231. 278—281. 299.
Μαρία, θυγάτηρ Ἀνδρονίκου καὶ Ἀθανασίας. 166.
Μαρία, ὁσία, ἡ μετονομασθεῖσα Μαρῖνος. 53—57.
Μαριάμμη (v. Βασιστά). 154. 155.
Μαριανὸς διάκονος, μάρτυς. 262.
Μαρῖνος, χρηστὸς ἀνήρ. 178.—v. Μαρία.
Μάρις, μάρτυς. 289.
Μάρκελλος, ἀνεψιὸς τοῦ ὁσίου Ἀγαπητοῦ. 98.
Μάρκελλος, προστάτης μονῆς. 128.
Μαρκιανός, βασιλεύς. 72. 128. 131.
Μαρκιανός, ἐπίσκοπος. 249.
Μαρκιανός, Λαμψάκων πρόεδρος. 99.
Μαρκιανὸς ὁ μέγας. 68. 69.
Μαρκιανός, ὕπατος Μελιτηνῆς. 298.
Μαρκιανούπολις. 106. 108.
Μάρκος, ἀρχιεπίσκοπος Ἀρεθουσίων, ἱερόμαρτυς. 293. 294.
Μάρκος, μοναχός. 141. 142.
Μαρμαριτῶν λεγεών. 87.
Μαρνᾶς, θεὸς Γαζαίων. 143. 145. 148. 149.
Μαρουθᾶς, ἅ. ἐπίσκοπος Σοφανινῶν τῆς Ἀρμενίας. 154—158.
Μαρουθᾶς, μάρτυς. 289.
Μαρτινιανός, ὅσιος. 58—68.
Μάρτιος μήν. 158. 165. 184. 194. 200. 214. 217. 228. 233. 243. 251. 261. 292. 346.
Μαρτυρόπολις. 154. 156.
Ματθαῖος ὁ εὐαγγελιστής. 8.
Μαῦρος, υἱὸς Κλαυδίου κ. Ἱλαρίας. 260.
Μεγαλώ, γαμετὴ Θεοφάνους. 222. 223.
Μεθόδιος, πατριάρχης Κ-πόλεως. 232.
Μελιτούπολις. 20. 27. 303. 304. 316.
Μελίτων, μάρτυς (XL). 215. 346.
Μένιγνος, μεγαλόμαρτυς. 241—245.
Μέρπας, ἀνήρ. 35.
Μέρσης, μάρτυς. 289.
Μεσοβηδάνη, κώμη. 203.
Μεσοποταμία. 246.
Μηνᾶ τοῦ μεγαλομάρτυρος ναός. 169.
Μηνᾶς εἴδωλον. 118.
Μιχαὴλ ὁ ἀρχιστράτηγος. 203.
Μιχαήλ (I), βασιλεύς. 230.
Μιχαήλ (II), βασιλεύς. 139. 228. 232.
Μιχαήλ (III), βασιλεύς. 227. 232.
Μονόχειρ, v. Θεόδωρος.
Μωάμεδ. 192—196.
Μωσῆς. 60. 297.—Μωσέως νόμος. 7.
Μωσῆς, μοναχός. 296.
Μωυσῆς. 225.

Ναυάτου αἵρεσις. 189.
Νέρων, βασιλεύς. 118. 263. 265.
Νεστόριος, αἱρετικός. 72.
Νέστωρ, ἐπίσκοπος Πέργης, ἱερόμαρτυς. 151—153.
Νέστωρ, πατὴρ Κόνωνος τοῦ μάρτυρος. 203.
Νήσιος, χριστιανός. 207.
Νίκαια, πόλις. 4—6. 121. 134. 202. 224.
Νικηφόρος, ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως. 230—233.
Νικηφόρος, βασιλεύς. 138. 230.
Νικηφόρος, μεγαλόμαρτυς. 36—41. 317—328.
Νικηφόρος, μυστογράφος. 134.
Νικομήδεια, πόλις. 19. 29. 98. 121.
ἡ Νικομήδους (sc. πόλις). 70. 274.
Νικόπολις. 330.
Νίκων, νεανίας δαιμονῶν. 23. 309.
Νισσίβη, πόλις. 154. 155.
Νουμεριανός, βασιλεύς. 256. 260—262.
Νύσσα, πόλις. 279.

Ὀκτώβριος μήν. 131.
Ὀκτωκαιδέκατον, καταγώγιον. 171. 172.
Ὀνήσιμος, ἀπόστολος. 79—83.
Ὀνώριος, βασιλεύς. 245.
Ὀξεῖα, ὄρος. 69. 70. 73. 75.
Ὁρμαί (?), τόπος. 23.
Ὀρναί (?), τόπος. 309.

Οὐαλεντινιανός, βασιλεύς. 128. 131.
Οὐάλης διάκονος, μάρτυς. 83.
Οὐράνιος, πρόεδρος Ἐμεσηνῶν. 128. 131.

Παλαιστίνη. 58. 140.
Πάμφιλος, ἱερόμαρτυς. 83—86.
Παμφυλία. 12. 151. 173. 269. 270.
Πανορμῖται. 14.
Παπίας, ἅγιος. 12. 13.
Παπίας, στρατιώτης. 80.
Παρασκευή, ἀδελφὴ Φωτεινῆς. 263.
Παρθένιος, ἅγιος ἐπίσκοπος Λαμψάκου. 20—28. 99. 104. 303—317.
Παρθένιος κόλπος. 221.
Παρθένος (Θεοτόκος). 29. 247.
Παρθενών, σπήλαιον ἐν Χερσῶνι. 198. 202.
Πάριον, πόλις. 27. 241. 316.
Πάσχα. 155.
Πατρίκιος, κεντυρίων. 34.
Παῦλα, παρθένος ἁγία. 61. — Παύλας μοναστήριον. 62.
Παῦλος ὁ ἁπλοῦς. 252—256.
Παῦλος, ἀπόστολος. 3. 7. 79. 80. 118. 119. 141. 182. 252. 263. 265. 319.
Παῦλος, ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως. 132.
Παῦλος, μάρτυς. 84. 179—184.
Παφλαγόνες. 185.
Πειροζγέρδης, Περσῶν βασιλεύς. 156.
Πέργη, πόλις τῆς Παμφυλίας. 151. 152. 269. 270.
Περίτιος μήν. 128.
Πέρσαι. 23. 156. 157. 194. 288. 309.
Περσίς. 154. 156.
Πέτρος, ἀπόστολος. 3. 17. 60. 202. 263. 265.
Πέτρος, ἀρχιδιάκονος. 235.
Πέτρος, ἐπίσκοπος Ἀλεξανδρείας. 19.
Πέτρος, ἐπίσκοπος Σεβαστείας. 215. 347.
Πέτρος, μοναχός. 134.
Πέτρος, πρεσβύτερος. 134.
Πιλᾶτος. 125.
Πιόνιος ἱερόμαρτυς. 236—240.
Πισιδία. 43.
Πολέμων Ἀλεξανδρεύς, πατὴρ Χρυσάνθου τοῦ μάρτυρος. 256. 257.
Πολέμων, νεωκόρος. 237. 238.
Πολιτιανός, πατρ. Ἀλεξανδρείας. 134.
Πολιχνίου μονή. 223. 226.
Πολύκαρπος, ἐπίσκοπος Σμύρνης, μάρτυς. 123—126.
ἡ Πομπηΐου (sc. πόλις) τῆς Κιλικίας. 270.
Πομπιανός, ὕπαρχος. 2. 4.
Πόντος. 29. 87.
Πόπλιος, ἡγεμών. 12. 88. 174. 175.
Πορφύριος, ἐπίσκοπος Γάζης. 140—150.
Πορφύριος, νεανίας. 85.
Ποσειδώνιος, δουκηνάριος. 88.
Ποτίλλα, γυνή. 238.
Ποτίολοι, πόλις. 81.
Πουλχερία, βασιλίς. 77.
Πραδίων, φίλος Θεοφάνους. 222.
Πραΰλιος, πρόεδρος Ἱεροσολύμων. 142.
ὁ ἐν Πριγκήπῳ παρθενών. 223.
Πρόβος, ἡγεμών. 282. 283.
Πρόκλος, κομενταρήσιος. 267.
Προκόπιος ὁ ἐν Ῥόδῳ. 146. 147.
Προτεστᾶτος, ὕπαρχος. 2.
Πτολεμαΐς, πόλις. 179.
Πυριφλεγέθων. 237.

Ῥαβεννησιωτῶν μητρόπολις. 111.
Ῥαόνων κλῖμα (ἐν Ἀρμενίᾳ). 154.
Ῥήγιον, πόλις. 115.
Ῥοδίων. 284 (adnot. crit.).
Ῥόδος, νῆσος. 146. 147.
Ῥουφῖνα, γυνὴ ἐξ Ἀσίρμου. 23. 309.
Ῥουφινιαναί (προάστειον τῆς Κωνσταντινουπόλεως) 74. — τὰ Ῥουφινιανοῦ. 75.
Ῥωμαῖοι. 79. 81. 118. 120. 123. 151. 156. 179. 190. 193. 194. 197. 209. 221. 236. 261. 298. 322. 337.
Ῥώμη. 2. 80. 134. 135. 218. 233. 234. 235. 245. 246. 247. 256. 263. 288.
Ῥωμύλος, στρατιώτης. 80.

Σάβας, μάρτυς. 289.
Σαβῖνα, μάρτυς. 236. 238.
Σαβῖνος, μάρτυς. 218—221.
Σαβῖνος, Κατάνης πρόεδρος. 111.
Σαβώριος, Περσῶν βασιλεύς. 288—290.
Σαλαμίς, πόλις τῆς Κύπρου. 132.
Σαλτός (?), κώμη. 110.
Σαμάρα, γυνὴ Ἰουδαία. 268.
Σάμαρα, πόλις. 196.
Σαμαρεῖται. 158. 159.

Σαμαρεῖτις. 262.
Σαμοθρᾴκη, νῆσος. 228.
Σαμουήλ, Αἰγύπτιος. 84.
Σαμουήλ, προφήτης. 245.
Σαμψών. 145.
Σάξων ἔθνος. 235.
Σαπρίκιος, πρεσβύτ. 36—40. 317—328.
Σαρακηνοί. 193. 194. 196.
Σατανᾶς. 91. 109. 121.
Σεβάστεια, πόλις. 48. 49. 52. 53. 211. 328. 330. 331. 336. 340. 343.
Σεβαστιανός, δούξ. 263—265.
Σεβαστός (Καῖσαρ). 6.
Σέλευκος Καππαδόκης, μάρτυς. 85.
Σέργιος, μάρτυς. 227.
Σευῆρος, βασιλεύς. 41. 43. 47.
Σιγριανή (χώρα). 223. 224. 229.
Σιγριανὸν ὄρος. 223.
Σίδη, πόλις. 151. 152.
Σικελία. 14. 113. 114.
Σικελοί. 15. 111.
Σιλανδοί, πόλις. 98.
Σιλβία, μήτηρ Γρηγορίου τοῦ πάπα. 233. 235.
Σιλουανός, ἄρχοντος σύμπονος. 17.
Σιμβεήθης, μάρτυς. 289.
Σίμων. 113.
Σιναῖον ὄρος. 295.
Σίρμιον, πόλις. 282.
Σίσυφος. 237.
Σίττας, ἀνὴρ θεοφιλὴς καὶ κόσμιος. 68.
Σκῆτις, τόπος ἐν Αἰγύπτῳ. 140.
Σκοπός, ὄρος. 75.
Σκυθῶν βασιλεύς. 43.
Σμύρνα, πόλις. 123. 124. 236. 239. - Σμύρνη. 240.
Σμυρναῖοι. 23. 309.
Σόδομα. 237.
Σολομῶν. 40. 319. 326.
Σορόβων κώμη. 207.
Σοφανινή, χώρα. 154—156.
Στεφανίς. 77 (v. Ἐλευθέρα).
Στέφανος, ἀρχιμανδρίτης Δαρωμίου. 130.
Στρατήγιος, μοναχός. 223.
Στρατοκλῆς, συμπάρεδρος Τήρεως. 109.
Στρατονίκεια, πόλις. 266. 268.
Στρατόνικος, μάρτυς. 181.
Συαδία (τόπος). 24. 311.
Συκίδες, κώμη. 72.
Συμεὼν ὁ δίκαιος. 8.
Συμεὼν ὁ μέγας. 77.
Συνάδιος Ἀβυδηνός. 23. 309.
Συναός, ὄρος. 93. 100.
Συνέσιος, προτέκτωρ. 19.
Συράκουσα. 117.
Συρία. 68. 179. 246. 247.
Σύρος. 24. 310.

Ταβεννησιωτῶν μονή. 169. 170.
Τάνταλος. 237.
Ταράσιος, ὅσιος ἀρχιεπίσκοπος Κ-πόλεως. 132—140.
Ταρσός, πόλις τῆς Κιλικίας. 247.
Τάρταρος. 237.
Ταῦρος, ὄρος. 207.
Ταυροσκυθῶν ἐπαρχία. 198.
Τειχίον, τόπος. 243.
Τέρτυλος, ὕπαρχος. 80. 82.
Τετράμφοδον, τόπος Γάζης. 148.
Τῆρις, ἡγεμών. 107. 108.
Τιμοθέου τοῦ μάρτυρος ναός. 143.
Τοῦβα, ἀδελφὴ Μαρουθᾶ. 156.
Τουρκία. 198.
Τραιανός, βασιλεύς. 158.
Τραλιανός, ἀνθύπατος. 124.
Τρόφιμος, μάρτυς. 266—269. — ἄλλος 273—275.
Τρύφων, μεγαλόμαρτυς. 1—7.
Τρωγλοδυτῶν πόλεμος. 3.
Τρωϊανή, γυνή. 177.

Ὑπατιανός, ἀρχιδιάκονος, ὕστερον ἐπίσκοπος. 26. 27. 314—316.
Ὑπάτιος, ἐπίσκοπος Γάγγρων, μάρτυς. 185—190.—Ὑπατίου μονή. 74.

Φαλκώνιος, σύμβουλος. 17.
Φεβρουάριος μήν. 1. 27. 78. 82. 105. 110. 131. 139. 150. 303. 316.
Φέρτης, διάκονος. 24. 310.
Φιάλης φροντιστήριον. 73.
Φιλήμων, μάρτυς. 118. 119.
Φιλήμων Ῥωμαῖος. 79.
Φιλητός, ἐπίσκ. Μελιτουπόλεως. 20. 304.
Φιλητός, μάρτυς. 284—288.
Φίλιπποι, πόλις. 122.

Φίλιππος, ὁ τῶν εἰδώλων ἀρχιερεύς. 124. 125.
Φίλιππος, βασιλεύς. 3.
Φιλιππούπολις. 109. 110.
Φιλόστρατος, ἐραστὴς τῆς ἁ. Εὐδοκίας. 160. 162.
Φιρμιλιανός, ἡγεμών. 84.
Φιρμίνη, Διοδώρου κόμητος γαμετή. 164.
Φλόρου μονή. 132.
Φοῖβος. 45.
Φρόντων, τοπάρχης. 4.
Φρύγες, ἔθνος. 1. 174. 239.
Φρυγία. 2. 71. 118.
Φωτεινὴ ἡ Σαμαρεῖτις, μάρτυς. 262—266.
Φωτεινός, μάρτυς. 265.
Φωτίς, ἀδελφὴ Φωτεινῆς, μάρτυς. 263. 265.
Φωτώ, ἀδελφὴ Φωτεινῆς. 263.
Χαλκηδών, πόλις. 69. 72. 74.
Χαραλάμπης, μάρτυς. 41—47.
Χερουβίμ. 336.
Χερσών, πόλις. 198—202.
Χουμιάλας κώμη. 177. — Χουμιάλων κώμη. 174.
Χριστόδουλος, μάρτυς. 265.
Χριστόδουλος, πατὴρ Παρθενίου τοῦ ἐπισκόπου. 303.
Χριστός passim.
Χριστοφόρος, ὅσιος. 224.
Χριστοφόρος, υἱὸς βασιλέως Νικηφόρου. 230.
Χρύσανθος, μάρτυς. 256—262.
Χρύσης, νεανίας. 115.
Χρυσόστομος (Ἰωάννης). 146.
Ψίμυθος, ποταμός. 18.
Ὦα, νῆσος. 24. 311.

Addenda et corrigenda.

Pag.	Vs.	
24,	19	lege *δεηθεὶς*, mutato accentu.
42,	21	lege *διακοπείσας* et in adn. crit. adde: *διακοπήσας cod.*
45,	2	lege *καταρρήγνυνται*
46,	20	lege *τοι*, deleto accentu.
49,	4	lege *ὑγιὴς*, mutato accentu.
75,	12	post *τῶν ἡμετέρων* pone comma.
76,	8	lege *ἐξαιτούμενοι*
78,	6	an *σφενδόνῃ πίστεως βάλλουσα*?
93,	14	lege *[ἐπὶ] τῶν κτλ.*
94,	29	lege *λειτουργίαις*
99,	26	*προσθετέον:* an *προθετέον*?
124,	1	lege *νέος*
177,	20	*ὑποδυθῆναι:* an *ὑποδεθῆναι*?
185,	10	legendum videtur *Ὑπάτιος ὁ πάνυ*
197,	8	Nikitinus quod coniecerat *οἱ ἄλλοι* pro *οἱ ἅγιοι*, ipse damnavit pag. 127.
209,	15	inter *σύνεσιν* et *διαφέροντες* insere *οὐδὲν* operarum neglepentia omissum.
283,	15	*προέφην:* an *προέφη* (scil. *Πρόβος*)?
287		nota «*36 ἢ γὰρ*» pertinet ad p. 288, v. 1.
291,	18	lege *σπείρω, ἐπ' εὐλογίαις κτλ.*
306,	24	post *ἄνωθεν* pone comma.

Pag. Vs.
308, 15 post *συνωθεῖ* pone comma.
309, 28 lege *ἀνήρ—ὢ καινοῦ πράγματος, | τό γε εἰς Παρθένιον ἥκον,—οὐδὲν κτλ.*
322 in adnot. crit. adde: *27 extr. τὸ delevi.*
387, 31 *καὶ τῷ παρόντι:* an *κἀν τῷ παρόντι?*

Iota mutum et accentus signa operarum neglegentia aliquot locis omissa lector benevolus ipse ponet (veluti p. 32, 33 *μάρτυς*, p. 41, 20 *τῷ*, p. 43, 24 *παροξυσμῷ*, p. 48, 36 *συμβῇ*, p. 65, 28 *τῶν*, p. 88, 26 *ῥαθύμως*, p. 338, 18 *οἷ μή*).

Variae lectiones et coniecturae Pii Franchi de' Cavalieri.

(V. praef. p. VI).

In passione Ss. Papiae, Diodori, Claudiani.

Pag. Vs.
12, 12 *ὑπὸ Ῥωμαίων C.*
» 13 «*μὴ θύειν:* f. *θ. μή*». *C.*
» 19 «*ἐκέλευσεν* scrips., sed. *ν* del.» *C.*
» 21 *Ἀττάλων πόλιν C.*
» 30 «post *ἐκείνου* v. excidisse suspicor *λόγων, παρακλήσεων* simile». *C.*
» 31 *κελεύει, Ἐμοί, [φησι] λέγων* cum nota: «*[φησι]* inclusi». *C.*
13, 8 *ἄρχον* invito codice *C.*
» 12 «*καὶ μὴ μωραίνειν ἐθέλετε* f. post *ἐπιτηδεύματα* conlocanda». *C.* Quam mutationem ego quidem non dixerim esse necessariam.
» 25 «f. post *ἀσθενεῖς* v. intercidit». *C.* Ego huius coniecturae nullam video idoneam causam, cum pateat *ἀσθενεῖς* ad *ἐπινοίας* pertinere.
» 28 «*ὑμῶν* inclusi; f. scribendum *μήν*». *C.* Item sine idonea causa.
» 34 *εἰ καὶ μὴν ταῖς βασάνοις C.*, addita nota: «*μή*, correxi» et v. 35 post *πάντως* posito puncto. Nos hoc enuntiatum longe aliter intellegimus.
» 36 *μιαρὰν] μικρὰν C.*
14, 4 *αἷμασιν C.*

In passione S. Nestoris.

Pag. Vs.
151, 5 *πολιοῦχον τὲ* in codice scriptum esse adnotavit *C.*
» 25 *εἰρήναρχον C.* (cf. quae dixit p. 98, n. 3).
152, 3 *αὐτῷ προκαθίζεται] αὐτοῦ προκαθέζεται C.*
» 22 *ἀλῶντα C.*, addita nota: «*ἀλῶντα* cum spir. l.»
» 27 *φῆις C.*, addita nota: «*φῆς*».
» 37 *ἵν' ἀπαλλάξῃι C.*
153, 3 *τῶν* ante *λόγων* om. *C.*
» 11 *ἀνδρίαν C.*, codicis scriptura retenta.

Variae lectiones in vita S. Auxentii a L. Clugnet edita.

(V. praef. p. VI).

Textus codicis Marciani cl. VII n° 25 a Clugneto editus nostro adeo similis est, ut pleraeque lectiones variantes exscribentis incuriae tribui posse videantur. Interpunctionis et accentus signa a Clugneto permultis locis aliter posita enotare supersedi.

Pag. Vs.
68, 8 ἐξήγησις] διήγησις *C.*
» 27 σοφοῖς. ἐκ τούτων *C.*
» 34 ὁ σύνηθες ἐκείνοις ποτόν et ὁ ξένον τούτοις uncis inclusit *C.*
69, 8 Θεοῦ. Καὶ μάρτυς ὁ ἐν τῷ Κανὰ γάμῳ *C.*
» 21 ἱνατί *C.*
» 24 τῇ ante μεγαλόφρονι om. *C.*
» 27 ἐξεῖλε τότε *C.*
» 37 Ὀξεῖαν τοῦτο καλοῦσι uncis inclusit *C.*
70, 2 καὶ κατευθύνας *C.*
» 8 Μὴ φοβῆσθε *C.*
» 28 sq. οὐδὲ γὰρ ... ὄρους e Matth. V, 14 sumptum esse adnotat *C.*
» 32 καὶ προσεκτέον ὅπως τῶν συνήθων κτλ., mox παρακαλεῖν *C.*
» 37 καὶ ante ἐπεὶ om. *C.*
71, 3 ὁ λοίδορος habet *C.*, ut nos coniecimus.
» 5 σύναμα *C.*
» 7 δρομαίαν αὐτὴν *C.*
» 8 ἄρα ἀπώσατο *C.*
» 9 οὐ μὲν οὖν ἀλλὰ *C.*
» 12 ἔχουσαν, ὑπὲρ κεφαλῆς τῇ πασχούσῃ *C.*
» 31 γοῦν] οὖν *C.*
72, 25 αὐτῷ προσβαλοῦσα] αὐτῇ προσκαλοῦσα *C.*
» 29 παρελάσεως] παρελεύσεως *C.*
73, 2 μαστιγομένην *C.*
» 10 διόλου *C.*
» 20 κρατῦναι *C.*
» 21 δόγματα. Καὶ *C.*
» 23 φησὶν *C.*
» 31 γνῶναι λέγοντες *C.*
» 35 ὑπερφυῶς *C.*
74, 6 μονῇ προτραπείη ὁ μέγας ἡσυχάσαι καὶ παρέβαλεν εἰς αὐτήν, μετὰ κτλ. *C.*
» 12 τε om. *C.*
» 19 καὶ ὅρα μοι, ταπεινοφροσύνης ὑπερβολή, *C.*
» 28 σάρκα *C.*
» 32 ὀλίγος] ὁ λόγος, mox πνεύματι γέγονεν. *C.*
» 36 τἄλλα *C.*

Pag. Vs.
75, 4 εἰσάπαν — τούτοις C.
» 15 παραβαλόντων C.
76, 9 τρύχινον C.
» 23 «᾽Απόδος ... Κυρίῳ Nah. I, 15». C.
» 24 «δέδοται ... ἡ ἐξουσία Luc. IX, 1». C.
» 25 κατ᾽ αὐτῷ C.
» 25 «δυνηθῶμεν ... πονηροῦ Ad Ephes. VI, 16». C.
77, 1 διδάσκων «῾Ως ἐμεγαλύνθη» κτλ. C.
» 3 Μιᾷ δὲ C.
» 8 ἐκδηλότερόν πως, «῾Ο πατὴρ, εἶπε, Συμεὼν κτλ. C. (fortasse rectius).
» 12 ἐκείνη ἡμέρα C.
» 20 δι᾽ ἀπώλειαν C.
» 21 ὢ τῆς — χάριτος uncis inclusit C.
» 23 ὦ ἄνθρωπε C.
» 26 ἕν] ἑνὸς C.
78, 2 ἦν δὴ C.
» 5 ἥτις δὴ C.
» 6 σφενδόνι C.
» 8 τρυχίνοις C.
» 14 αὐτὰς] αὐταῖς C.
» 15 δὲ δεῖ C.
» 17 οὕτως C.
» 28 οὐρανίαις C.
» 36 ἀνηοπέρου C.